ipse vel alios expilans iterat Plutarchus et variat locos aliunde adscitos. complura huius consuetudinis ad fontes Plutarchi indagandos perquam idoneae exempla congessi mus. Rhen. XLV p. 550 cf. huius vol. p. 551, 16

p. 551, 9 cf. gnomol. Par. 172, ubi *λαβὼν τοῦτον ἔφη*

p. 552, 18 cf. gnomol. Par. 174

p. 554 adn. 2 quod ex Iacobsii coniectura scripsi *πείσεσθαι δ' οὔ, οὐ σωφρονεῖ,* id ipsum habet S, ut nuperrime mihi scripsit Mekler

p. 554 adn. 21 prae ceteris placet inventum Buecheleri *ὡς τέκνα μήτηρ οὐκ ἀστεῖα.* talia praeiverant tragici, velut Soph. Phil. 1360 *οἷς γὰρ ἡ γνώμη κακῶν Μήτηρ γένηται κτέ.* trag. fr. adesp. 357 N.² *τῆς δειλίας γὰρ αἰσχρὰ γίγνεται τέκνα,* ubi *τέκνα* non recte suspectavit Nauck, fortasse ne *τέκνωμα* quidem Aesch. fr. 315 *τῷ πονοῦντι δ' ἐκ θεῶν Ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος.* frequens in hoc dicendi genere verbum *τίκτειν*

p. 556 adn. 12 *ἴδῃς* gnomologus, certe consentit cum Stobaeo Orio, *εἰδῇς* Cobet mnemos. IV p. 272 Meineke praef. Stob. I p. XXVII

p. 556 adn. 15 tamquam Menandri (cf. monost. 173) exhibent versum *χρησμοὶ τῶν Ἑλληνικῶν θεῶν* ed. Buresch *Klaros* p. 125

p. 557, 7 vehementer discrepat gnomol. Par. 276

p. 558, 1 gnomol. Par. 277 *Δημῶναξ ἐρωτηθεὶς παρά τινος, ὁπηνίκα φιλοσοφεῖν ἤρξατο, 'ὅτε' κτέ.*

p. 573 adn. 6 immo *τῶν* etiam S. monuit nuper Mekler

p. 576, 7 lege *ὄν;*

p. 592 adn. 6 tolle verba *sed deleto—scriptum erat*

p. 593, 3 cf. gnomol. Par. 206

p. 593, 15 cf. gnomol. Par. 207

p. 594, 1 *κενοδοξίην* vel potius *κεινοδοξίην* Buecheler. sed exspectes *κενεοδοξίην,* nam *κενεά* supra p. 236, 10. ceterum *κενοδοξία* non legi videtur ante saeculum tertium. *ὑπομνήματα ὑπὲρ κενοδοξίας* Aristoni Chio adsignantur Laert. VII 163. cf. etiam Praechter de Cebetis tab. p. 124

p. 597, 4 cf. gnomol. Par. 152

p. 604, 10 Plutarchi eclogam (15) debui post Isocrateam (16) collocare MA libros secutus, cf. proleg. p. LX

p. 606, 3 sqq. per Gesnerum decepti sumus. vidit interim Buecheler omnia recte procedere, si scribatur: *οὗ φάντασμα εἰκών· οἷον ὅταν γένηται ἡ αἴσθησις, ἀνεδόθη ἐπὶ τὴν φανταστικὴν κατασκευὴν τὸ γενόμενον, ἐν ᾗ φανταστικῇ τὸ πάθος ὅ τι δή ποτε ὂν φάντασμα καλεῖται· ἔτι οὖν κτέ.*

p. 610, 1 ad gnomologos pervenisse videtur ecloga ex Stoicorum commentariis. prior certe versus legitur in Plutarchi de curiositate libro p. 522 D, quem plenum esse Aristonis Chii facundia demonstravimus mus. Rhen. XLV p. 541 sqq., nec ibi discrepat versus cum Stobaeo

aut Euripide. alio ex fonte hauserit Plutarchus symp. I p. 612 D *τῶν μὲν ἀτόπων ἡ λήθη τῷ ὄντι σοφὴ κατ' Εὐριπίδην* et in eis quae horum admodum similia servavit Stobaeus III p. 520, 16

p. 610, 5 an *Λήθην τ' ἄγει* (vel *τρέφει*) *τὴν πάντ' ἀπ. κτἑ.*? sed interim *Λήθην τεκεῖν τὴν πάντ' ἀπ.*, quasi praecesserit *λέγεται* sim., Buecheler collato Hes. theog. 227 *Ἔρις τέκε Λήθην*

p. 613 adn. 13 extr. lege *post ecl. 11 Mein.* (*Χρησμός*)

p. 618 adn. 14 L post ecl. 28, 3 Mein. habet, non post 28, 4

p. 619, 6 = Democr. fr. 126 Mull. 162 Nat.

p. 621, 4—20 'memorabilest, cum aperte eiusdem scriptoris haec sint, *ὀμνύντα* et *ὀμνύοντα*, *ὄμνυσι* et *ὀμνύει* utraque in libris legi' Buecheler

p. 624, 9 quod restitui *ἀναβαλλόμενος* sero vidi praeceptum esse a Cobeto mnemos.[2] II p. 99, qui etiam Herodoti verba recte comparavit. quamquam nollem ille addidisset coniecturam *διηρείδετο νάρθηκα νοσεῦντι δὴ ἐπιφέρων σώματι*

p. 626 adn. 3 *περὶ φιλοπονίας καὶ μελέτης καὶ ὅτι ἀσύμφορον τὸ ὀκνεῖν* etiam S

p. 628, 6 sqq. ordinem eclogarum quem e libris revocavi comprobat Alexander in Aristot. anal. pr. p. 303, 19 Wallies: *πᾶν γὰρ ὠφέλιμον μετὰ πόνου καὶ ἐπίπονον· ἀληθὲς γὰρ τὸ 'ἀντὶ τῶν πόνων διδοῦσιν ἡμῖν πάντα τὰ ἀγαθὰ οἱ θεοί' καὶ 'ἐκ τῶν πόνων τὰ ἀγαθὰ αὔξονται βροτοῖς'*. cf. Elter de gnomol. Gr. hist. p. 118. in adnotatione mea (6) dele v. *quae coll. — ignoti. nam*

p. 628, 7 lege *fr. 364 N.*[2], ita recte typotheta infra p. 631, 1

p. 629, 10 sq. me etiam severius interim iudicavit Wilamowitz de trag. gr. fr. p. 28 totum distichum tribuens interpolatori

p. 630 adn. 14 *δαιμόνιε* Buechelero videtur 'simplex error scribae propter *θεός* a *καμνον-* aberrantis ad *δαιμον-*'

p. 631, 4 '*οὐδέν*' paulo aptius' Buecheler

p. 633 adn. 6 lemma *Εὐριπίδου μὲν ἐν Τημένῳ* quod praebet Clemens Al. l. c. ita explicandum videtur ut Eur. fr. 745 N.[2] *τολμᾶν δὲ χρεών· ὁ γὰρ ἐν καιρῷ Μόχθος κτἑ.*, quod exstat Stob. flor. 51, 3, in antiquiore commentario vel *περὶ φιλοπονίας* gnomologio lectum fuisse sumamus idque capitis 29 eclogae 33 fere vicinum

p. 634, 11 an *τὸν ἥξοντ' εἰς ἔπαινον οὐ κενῶς* (i. *ὄντως*)?

p. 636 adn. 17 scrupulo de ecloga intra minorem ambitum a Stobaeo iterata non iam moveor nec magis nunc p. 632, 5

p. 637, 3 sententiam meam confirmat S, ubi revera nulla est post *πατρὶς* distinctio

p. 639 adn. 23 de Macario vide p. 653 adn. 10

p. 640, 4 *ἑαυτοῦ συνηθείη* etiam Mac. fortasse immerito scripsi *συνηθίη* cum S cf. Natorp l. c. p. 32

p. 640, 12 eclogam sine lemmate habet Mac. Chrys. post ecl. 29, 64: *Σωκράτης ἐν γήρᾳ κιθαρίζων παρ' ἀκοὴν ὢν* (sic) *τῶν κιθαρωδῶν καί τινος κτἑ.*

p. 641, 7 gnomol. Par. 167 *Λάσος ὁ Ἑρμιονεὺς* (*ἑρμηνεὺς* cod.) *ἐρωτηθείς, τί εἴη σοφώτατον* (*-ώτερον* cod.), '*ἡ πεῖρα*' *ἔφη* cf. proleg. p. XXII

p. 653, 11 huic eclogae subiciatur tamquam 83[a] *Δημοκρίτου· Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέρην παρασκευάζουσι.* minus recte iudicavi p. 639 adn. 23. non 'altera recensio' agitur, sed ecloga intra unum caput bis ab ipso ut videtur Stobaeo prolata

p. 658, 21 gnomol. Par. 274

p. 665 adn. 4 '*ἔσθειν* pro *ἐσθίειν* non solum Hom. Aesch. sed etiam Philippides com. corruptela fortasse ex *ΔΙΠΛΑCΙΑ* (superscr. *ΟΥΝ*) orta est (*διπλάσια ἢ διπλοῦν*)' Buecheler

p. 669 adn. 4 archetypi est distributio eclogarum capitis 31 quam servarunt SM, cf. proleg. p. LXI

p. 670 adn. 9 lege *Democrates qui dicitur n. 50 Orell.: Ἑαυτὸν πρῶτον αἰσχύνεσθαι χρεὼν τὸν αἰσχρὰ ἔρδοντα*

p. 679, 9 cf. gnomol. Par. 271

p. 681, 6 cf. gnomol. Par. 272 ubi quod legitur *κακοδαίμων,* inde explicari videtur discrepantia librorum *κακοδαιμον* (sic M) et *κακόδαιμον ὢν* (S). fuit in antiquiore libro *ΚΑΚΟΔΑΙΜΟΝ* (superscr. *ΩΝ*) ut aut *κακοδαιμονῶν* aut *κακοδαίμων* voluerit archetypi librarius

p. 682, 3 recipiendum fuit *ὦ ἄνδρες Ἀθηναῖοι* ex S ubi *ω* (superscr. *ΘΘ*) de quo compendio confer p. 666, 16 adn. Gardthausen *gr. pal.* p. 258

p. 684, 4 cf. gnomol. Par. 58

p. 685, 12 gnomol. Par. 59

p. 686, 10 cf. gnomol. Par. 60

p. 687, 3 melius scripsissem *ἀείδουσι, κἤν.* nam ut recte monet Buecheler *ΜΟΥCΙΚΗΝ* et *ΑΔΟΥCΙΚΗΝ* (*ᾀδ-* pro *ἀειδ-*) iuxta posita dittographiae speciem praebebant. ibid. 4 *παραδέκνυνται* praeferendum videtur Buechelero, ut apud Clementem *οὐ τιθέμενοι ἐν σαφέι* (*σαφηνείῃ*) *γνώμην αἰτίην ἔχουσι μωρίης*

p. 689, 1 lemma tollatur, certe in archetypo librorum SMA non denuo signatum erat

p. 693, adn. 8 *δ'* revera S, nunc ut testatur mihi Mekler

p. 693 10 Menandreae eclogae fragmentum in Plutarchi (de garrul. p. 507 A amator. 750 B) verbis *λαιψηρὰ κυκλώσας πτερά* inesse suspicatur Elter de gnomol. Gr. hist. p. 104

p. 694 adn. 18 *εἴρηκε* S

p. 695, 5 gnomol. Par. 61

p. 695, 8 gnomol. Par. 270 vide proleg. p. LI

p. 696, 2 gnomol. Par. 244 (v. l. *τῶν ἐν Ἀ. νεανίσκων τις περὶ ἑ. — ὁ δὲ Ζήνων ἔφη· 'ἐὰν μὴ τὴν γλῶτταν εἰς τὸν νοῦν — πολὺ ἔτι πλείω ἐν τοῖς λόγοις πλ.'*)

p. 696, 9 cf. gnomol. Par. 236 ubi inepte *Ἰσ. ὁ ῥ. τινὸς τῶν πλουσίων ὄντος λάλου κτἑ.*

p. 702, 3 lege *'πειστικὸν λόγος'*, exciderunt notulae dicti alieni

p. 703 adn. 14 *ὁ* ante *βίος* ex Democrate add. Meineke

p. 710, 16 interim de S haec accuratiora me docuit Mekler: eclogam 13 ab Agathonis versibus seiungit quidem S¹ per signum: ∽ sed intervallum reliquit solito minus

p. 712, 9 propius aberis ab archetypo, si MA libris oboediens eclogas ordinaveris sic: 21. 21ᵃ *Ἀγάθωνος. Ὄλοιτο τοῖς ἔχουσι τἀγαθὰ ὁ φθονῶν.* 23. 22. 24. item infra dispositio 38. 39. 42. 40. 41. 43 (cf. p. 716 adn. 19) confidenter restituenda est

p. 715 adn. 12 eclogam habent SMA post ecl. 38, 33

p. 719, 1 cf. gnomol. Par. 242

p. 722 adn. 12 punctum posuit post *ὅμως* S

p. 722 adn. 14 lege *usque ad ecl. 39, 9 Mein.*

p. 728, 2 cf. gnomol. Par. 67

p. 738, 2 sq. recipiatur *αὐταρκείην* (ut supra p. 264, 3) et *ἰήματα*

p. 738 adn. 4 Freudenthalii sententiam merito reprobavit Natorp *die eth. des Demokr.* p. 117 adn. 41

p. 750 adn. 14 lege *cf. p. 506, 4*

restat ut moneam aut operarum socordia aut typorum quibus uti illi coacti sunt ipsa indole factum esse, ut permultis locis accentuum spirituumve notulae dilapsae sint. quod ut in verborum contextu incommodum est ita plane intolerabile fuit ac perniciosum in adnotationibus. sed malo, quod antequam liber prelo subiceretur praedixeram, ut obviam iret, frustra petivi a bibliopola honestissimo

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ

ΕΚΛΟΓΩΝ ΑΠΟΦΘΕΓΜΑΤΩΝ ΥΠΟΘΗΚΩΝ

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ

ADNOTATIO CRITICA

Titulum addidi secutus Photium qui tertii libri numerum servavit solus. sed quarti memoriam habet etiam S in calce folii 53r *ἰωάννου στοβαίου ἐκλογῶν ἀποφθεγμάτων ὑποθηκῶν ἄρχεται βιβλίον δ'.* titulum *ΙΩΑΝΝΟΥ — ΥΠΟΘΗΚΩΝ* saepius offert Tr. p. 1. 24. 35. 48 sed libri indiculo detracto utque titulus generalis aut cum capitum inscriptionibus male coniunctus sit aut cum eclogarum lemmatis. vide mus. Rh. XXXIX p. 397. alios Trincavellianae classis exemplarium in titulo errores explicavi l. c. p. 367. 374 sqq. 553 adn. et XLI p. 49

CAPVT I.

ΠΕΡΙ ΑΡΕΤΗΣ.

1 *Σοφοκλῆς ἐν Ἐριφύλῃ* (fr. 195 N.^{2}).

Ἀρετῆς βέβαιαι δ' εἰσὶν αἱ κτήσεις μόναι.

2 *Εὐριπίδου ἐξ Ἀνδρομάχης* (761—764).

Οὔ τοι λείψανα τῶν ἀγαθῶν

---

2 *περὶ ἀρετῆς* Photius, M in capitulorum indice quem confecit manus antiqua in duobus primis foliis non numeratis, Br, habuerat etiam A opinor, sed periit huius codicis quod olim erat folium primum. de Tr. eiusque similibus libris proletariis vide quae enarravi mus. Rh. XXXIX p. 366 sqq. 395 sqq. denique *περὶ ἀρετῆς. καὶ τίνα τρόπον κατὰ ἀρετὴν βιωτέον ὑποθῆκαι τῶν τε τοῖς παλαιοῖς πραχθέντων μνήμη βιωφελεστάτη* in ipsius capitis limine M f. 1^r. quae interpolatio iteratur etsi minus emendate corp. Par. 550 Elt. vide mus. Rh. XLI p. 63 adn. — In digerendo huius capitis eclogarum ordine, quem sursum deorsum versaverat Gesneri temeritas, ad librorum manuscriptorum fidem redii ita ut MA librorum quibus longe plurima huius capitis pars debetur imaginem repraesentarem suoque loco eas insererem eclogas quae accedunt ex Tr. et Br. codice autem per Trincavellium adhibito huiusque similibus compensatur quadamtenus magnus ille libri S ab initio defectus cuius manus vetusta incipit f. 6^r intra septimum demum florilegii caput ab eclogae 74 Mein. enuntiato paenultimo. brevitati ut consulatur, ex solo de hoc aliisve codicibus meo silentio volo concludi hanc illam capitis primi eclogam in illis libris esse omissam. memoro ubi sunt, non ubi desunt eclogae huius capitis nisi certis causis coactus. ceterum minus quam primo quidem videtur obtutu farraginem Trincavellianam cum MA libris discrepare demonstravi mus. Rh. XXXIX p. 395 sqq. qua commentatione etiam rationem quam in singulis sequi par erat exposui accuratius || **3** ecl. cum lemm. hab. M; *Σοφοκλέους Ἐριφύλης* Gaisford libro invito || **4** *μόνης* recte Naber mnemos.^{2} IX p. 242. || **5** ecl. cum lemm. hab. M; *Εὐριππί* (δ suprascr.) ut solet M. iteratur ecloga corp. Par. 550 Elt. (*Εὐριπίδου ἐξ Ἀνδρομάχου* sic). verba *ἡ δ' ἀρετὴ καὶ θανοῦσι λάμπει* cum lemm. *Εὐριπίδου* habet Orio anth. VII 7 p. 51 Schneidew. || **6** *οὔτοι* M corp. Par. cf. mus. Rh. XLI p. 63 adn.

ἀνδρῶν ἀφαιρεῖται χρόνος· ἁ δ' ἀρετὰ
καὶ θανοῦσι λάμπει.

3 *Εὐριπίδου Οἰδίποδος* (fr. 542 N.^{2}).

*Οὔ τοι νόμισμα λευκὸς ἄργυρος μόνον
καὶ χρυσός ἐστιν, ἀλλὰ χἀρετὴ βροτοῖς
νόμισμα κεῖται πᾶσιν, ᾗ χρῆσθαι χρεών.*

4 *Εὐριπίδου Τημενίδαις* (fr. 734 N.^{2}).

*Ἀρετὴ δέ, κἂν θάνῃ τις, οὐκ ἀπόλλυται,
ζῇ δ' οὐκέτ' ὄντος σώματος· κακοῖσι δὲ
ἅπαντα φροῦδα συνθανόνθ' ὑπὸ χθονός.*

5 *Εὐριπίδου* (Suppl. 914—919).

*Αἰσχύνεται δὲ τἀγάθ' ἀσκήσας ἀνὴρ
κακὸς κεκλῆσθαι πᾶς τις· ἡ δ' εὐανδρία
διδακτόν, εἴπερ καὶ βρέφος διδάσκεται
λέγειν ἀκούειν θ', ὧν μάθησιν οὐκ ἔχει.
ἃ δ' ἂν μάθῃ τις, ταῦτα σῴζεσθαι φιλεῖ
πρὸς γῆρας. οὕτω παῖδας εὖ παιδεύετε.*

---

2 *καὶ θανοῦσι* M corp. Par. sed *θ* ex *τ* corr. M m. rec. ‖ **3** ecl. cum lemm. hab. M. eundem locum sine fab. n. inter alios Euripideos praebet Orio anth. VIII 20 p. 57. v. 1 et 2 affert Philodemus de rhet. p. 237 ed. Gr. (Herc. vol. V 1 col. 27): *ἄξιον Εὐριπίδῃ λέγοντι πιστεύειν* '*οὔτοι — βροτοῖς*'. cf. Clemens Alex. strom. IV p. 574 P. *οὔκουν μόνον τοῦτο νόμισμα λευκὸς ἄργυρος ἢ χρυσός ἐστιν, ἀλλὰ καὶ ἡ ἀρετὴ βροτοῖς, ὥς φησιν ὁ Σοφοκλῆς* ‖ **4** *οὔ τοι* Scaliger apud Grotium dict. poet. p. 518 et sic Philod. et Or.: *οὐ τὸ* M | *βροτοῖσι κέρδος* pro *νόμισμα λευκὸς* Or. | *μόνος* Or. ‖ **5** *καὶ ἀρετὴ* M Philod.: *καὶ ἡ ἀρετὴ* Clem. *χ' ἡ ἀρετὴ* Or. | *μέγα* pro *βροτοῖς* Or. ‖ **6** '*ἣν κτᾶσθαι* malim, sed fortasse ipse versus ab Euripide alienus est' Nauck ‖ **7** ecl. cum lemm. hab. M. *Τημενίδαις* scripsi (vide Nauck trag. gr. fr.^{2} p. 589): *τημενίσιν* M ‖ **9** *οὐκ ἔτ'* M, inde vulg. ‖ **10** *συνθανόντ'* M ‖ **11** ecl. cum lemm. hab. M; *Ἱκετίδων* addit Gaisford. legebatur supra ecloga II 31, 3 p. 200, 3 Wachsm. (*τοῦ αὐτοῦ Ἱκετίδων*) ‖ **12** *δὲ*] *γὰρ* Ecl., ubi praemittitur versus *τὸ γὰρ τραφῆναι μὴ κακῶς αἰδῶ φέρει* (Eur. Suppl. 913) ‖ **13** *κεκλῆσθαι* M et Ecl.; *γενέσθαι* Eur. ‖ **14** *διδακτόν* M et Ecl.: *διδακτὸς* Eur. | *βρέφος* M et Eur.: *βρέφει* (ubi *βρέφη* corr. Meineke) Ecl. ‖ **15** *τ'* post *λέγειν* add. Ecl. | *μάθησις ἐν λόγῳ* Ecl. ‖ **16** *μάθοι* Eur. ‖ **17** *εἰς γῆρας* Ecl.

6 (Eur. fr. 1029 N.[2])

Οὐκ ἔστιν ἀρετῆς κτῆμα τιμιώτερον.
οὐ γὰρ πέφυκε δοῦλον οὔτε χρημάτων
οὔτ' ἀσφαλείας οὔτε θωπείας ὄχλου.
ἀρετὴ δ' ὅσῳ περ μᾶλλον ἂν χρῆσθαι θέλῃς,
τοσῷδε μᾶλλον αὔξεται τελουμένη.

7 (5, 12 Mein.) *Σοφοκλῆς Αἴαντι* (1352).

Κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει.

8 (1, 16 Mein.) *Θεόγνιδος* (315—318).

Πολλοί ⟨τοι⟩ πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται,
ἀλλ' ἡμεῖς τούτοις οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

9 (1, 13 Mein.) *Φιλιππίδου Ἀνανεούσης* (fr. 3 com. IV p. 469).

---

1 ecl. habet lemmate non iterato M. eosdem versus habet inter alios Euripideos Orio anth. VIII 21 p. 57 sq. primum respicit Georg. Lapith. poem. mor. v. 235 ‖ **2** cf. Men. mon. 416 et 482; Soph. Ant. 702 ‖ **4** *οὔτ' εὐγενείας οὔτε θωπείας ὄχλων* Or. ‖ **5** v. *ἀρετὴ δ' κτλ.* a praegressis diremit et tamquam novam constituit eclogam Meineke; *αὕτη* pro *ἀρετὴ δὲ* (sic M) olim Nauck | *θέλῃς* quod tacite scripserat Gesn.[2] p. 1 Orio: *θέλῃ* M ‖ **6** *μᾶλλον* M, *μεῖζον* Or. *μείζων* scripsit Nauck coll. Theodectae fr. 12, 5 (Stob. flor. 32, 6 Mein.) | *τελουμένη* Or.: *τελειουμένη* M; *μειουμένη* Wordsworth quod commendat Gomperz *nachlese* p. 41, *καθ' ἡμέραν* Meineke flor. v. IV p. LI ex Theodecta ‖ **7** ecl. cum lemmate hab. M post ecl. 1, 6: post ecl. 5, 11 Mein. temere traiecit Gesn.[2], traiectam in marginem relegarunt Gaisford et Meineke. vide quae dixi mus. Rh. XXXIX p. 407. *αἴαντι* M ‖ **9** ecl. cum lemm. hab. M post ecl. 5, 12 Mein. recurrit corp. Par. 551 Elt. (*Θεόγνιδος*). versus in syllogen Theognideam translatos testatur Solonis esse Plutarchus Sol. c. 3. cf. Bergk ad Solonis fr. 15, ubi etiam cetera testimonia collecta sunt ‖ **10** *τοι* addidi ex Theogn.: om. M[d] corp. Par., *γαρ* Sol.; *μὲν* temere add. Gesn.[2] p. 2, inde vulg. | *πλουτεῦσι* Sol. ‖ **11** *τούτοις* M[d] corp. Par. Theogn., *αὐτοῖς* Sol.; *τούτων* temere Gesn.[2], inde vulg. ‖ **12** *ἔμποδον* corp. Par. | *αἰεὶ* M[d] corp. Par. Theogn., *ἐστιν* Plut.; *ἀεὶ* Gesn.[2], inde vulg. ‖ **14** ecl. cum lemm. hab. M post. ecl. 1, 16 Mein. *Φιλιππίδου ἀνανεούσης* M item Mac. Chrys. f. 114[r] nisi quod *Εὐριπίδου* perperam pro *Φιλιππίδου.* fabulae nomen *Ἀνανέωσις* coll. Athen. VI

Ὅταν ⟨δ'⟩ ἁμαρτάνῃς τι, χαῖρ' ἡττώμενος·
μάλιστα γὰρ οὕτω σῴζεται τὸ συμφέρον.

10 (1, 14 Mein.) *Ἐπιχάρμου* (fr. inc. *20 p. 260 Lor.).

Οὐ μετανοεῖν, ἀλλὰ προνοεῖν χρὴ τὸν ἄνδρα τὸν σοφόν.

11 (1, 15 Mein.) *Πυθαγόρου* (Aur. carm. 9—16 ed. Nauck.).

Κρατεῖν δὲ ἐθίζεο τῶνδε,
γαστρὸς ⟨μὲν⟩ πρώτιστα καὶ ὕπνου λαγνείης τε
καὶ θυμοῦ· πρήξεις δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου
μήτ' αὐτός· πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.
εἶτα δικαιοσύνην ἄσκει ἔργῳ τε λόγῳ τε.
μήτ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε·
ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασιν,
χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ' ὀλέσθαι.

12 (1, 9 Mein.) *Βακχυλίδου* (fr. 19 p. l.[4] III p. 575).

---

p. 262 a et IX p. 384 e praetulit Gaisford probante Meinekio hist. cr. p. 472. *Ἀνανέουσα* defendebat Kock com. III p. 303

1 *δ'* addidit Meineke ‖ **3** ecl. cum lemm. hab. M. recurrit corp. Par. 508 Elt. (*Ἐπιχάρμης*). de Crameri anecd. Ox. IV p. 253 vide Wachsmuth *stud.* p. 138 ‖ **4** *τὸν ἄνδρα τὸν σοφόν* M: *τὸν σοφὸν ἄνδρα* corp. Par. ‖ **5** ecl. cum lemmate *πυθαγ*^ο' hab. M ‖ **6. 7** verba *κρατεῖν δ' ἐθίζεο — ὕπνου καὶ φιλότητος* habet Ammonii *τοῦ Ἑρμείου εἰς τὰς πέντε φωνὰς τοῦ Πορφυρίου ὑπόμνημα* post Galeni q. f. de partibus philosophiae libellum (ed. E. Wellmann Berol. a. 1882) p. 27, 1 (cf. schol. Aristot. ed. Berol. p. 10 b 7) ‖ **6** *δ' εἰθίζεο* Ps.-Pyth. ‖ **7** *μὲν* ex Ps.-Pyth. tacite add. Gesn.[2] p. 2, inde vulg. ‖ **8** *πρήξῃς* Ps.-Pyth. ubi *πρήξεις* libri multi deteriores ‖ **9** *μήτ' αὐτός*] *μήτ' ἰδίῃ* Ps.-Pyth. | v. *πάντων — σαυτόν* iterantur infra flor. 24, 2 Mein. (*Πυθαγόρου*); eadem apud Galenum v. V p. 26 ed. K. poetae n. non addito, nec non in Excerpt. philos. in Crameri anecd. Par. IV p. 426, 11 *ἡνίκα ἐπᾴδομεν ἑαυτοῖς τὰ τῷ ὄντι χρυσᾶ ἔπη Πυθαγόρου, τὸ ʽπάντων — σαυτόνʼ* | *δὲ*] *δὴ* libri flor. 24, 2 ‖ **10** *ἀσκεῖν* Ps.-Pythagorae codd. plerique ‖ **11** sqq. recte de his versibus iudicavit Nauck post Iamblichi de vita Pyth. librum p. 211 sq. *σαυτὸν* tacite ex Ps.-Pyth. Gesn.[2], inde vulg.: *αὐτὸν* M[d] ‖ **13** *ἄλλοτ'* ex Ps.-Pyth. tacite Gesn.[2], inde vulg.: *ἄλλοτε δ'* M ‖ **14** ecl. cum lemm. hab. M post ecl. 1, 15 Mein., temere seclusit Meineke. iteratur ecloga eaque locupletior flor. 108, 26 Mein. (*Βακχυλίδου προσοδίων*)

Εἷς ὅρος, μία βροτοῖσιν ἐστὶν εὐτυχίας ὁδός,
θυμὸν εἴ τις ἔχων ἀπενθῆ δύναται διατελεῖν βίον.

13 (1, 7 Mein.) *Εὐριπίδου* (fr. 1030 N.²).

Ἀρετὴ μέγιστον τῶν ἐν ἀνθρώποις καλόν.

14 (3, 4 Mein.) *Μενάνδρου* (fab. inc. fr. 44 com. IV p. 248).

Κἂν σφόδρα σαφῶς εἰδῇς ⟨τι⟩, τὸν κρύπτοντά σε
μηδέποτ᾽ ἐλέγξῃς· δύσκολον πρᾶγμ᾽ ἐστὶ γάρ,
ἃ λανθάνειν τις βούλεται, ταῦτ᾽ εἰδέναι.

15 (1, 43 Mein.) *Ἰσοκράτους πρὸς Δημόνικον* (§ 7 p. 3 c).

Ἡ δὲ τῆς ἀρετῆς κτῆσις οἷς ἂν ακιβδήλως ταῖς διανοίαις συναυξηθῇ, μόνη μὲν συγγηράσκει, πλούτου δὲ κρείττων, χρησιμωτέρα δ᾽ εὐγενείας ἐστί, τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα δυνατὰ καθιστᾶσα, τὰ δὲ τῷ πλήθει φοβερὰ θαρσαλέως ὑπομένουσα, καὶ τὸν μὲν ὄκνον ψόγον τὸν δὲ πόνον ἔπαινον ἡγουμένη.

16 (1, 44 Mein.) *Ἐκ τοῦ Ἰσοκράτους Παναθηναϊκοῦ* (§§ 30—32 p. 239 a—c).

---

2 *τις* flor. 108: *τι* M¹ | *διατελεῖν δύναται* Bergk: non necessario ‖ **3** ecl. cum lemm. hab. M post ecl. 1, 9 Mein. ‖ **4** *καλῶν* mavult Meineke ‖ **5** ecl. cum lemmate $\overset{Δρ'}{μεναν}$ hab. M post ecl. 1, 7 Mein. ‖ **6** *τι* tacite addidit Gesn.³ p. 35, inde vulg. ‖ **7** *πρᾶγμ᾽ ἐστὶ γάρ* Meineke: *γὰρ πρᾶγμα ἐστὶν* M; *γὰρ πρᾶγμ᾽ ἔφυ* ci. Gesn.² mrg *γὰρ πράγματα* Buecheler ‖ **9** ecl. cum lemm. hab. M post ecl. 3, 4 Mein., solo auctoris nomine compendiose addito Br post ecl. 1, 25 Mein.; *ἐν ταυτῷ* praefigit Gaisford Gesneri traiectione deceptus, frustra totam eclogam in marginem reiciunt Gaisford et Meineke. recurrit ecloga apud Orionem anth. VII 13 p. 52 cum lemmate *Ἰσοκράτους*, post Isocrateam Georgid. p. 40 ‖ **11** *κτίσις οἷς ἂν ἀκίβδηλος* Or. | *ἐν ταῖς διανοίαις* Isocratis vulg. ‖ **12** *μόνιμον* pro *μόνη μὲν* Or. ‖ **13** *κρεῖττον* M^d¹ corr. man. sec. | *χρησιμωτέρα* M^d Is. Or. Georgid.: *τιμιωτέρα* Br | *δὲ* M^dBr Georgid. | *ἐστὶν* M^d Georgid. | *καὶ* ante *τὰ* add. Georgid. ‖ **14** *καθιστᾶσα* Br Is. Or.: *καθιστῶσα* M^d Georgid. ‖ **15** *ὅρκον* pro *ὄκνον* Georgid. ‖ **17** ecl. cum lemm. hab. M post ecl. 1, 43 Mein. recurrit corp. Par. 552 Elt. (*Ἰσοκράτους*). temere secluserunt Gaisford et Meineke. v. *τίνας — πεπαιδευμένους* (1) adfert Clemens Alex. strom. V p. 687 P. v. *πρῶτον μὲν* (2) — *εὖ φρονούντων* (16) idem l. c. p. 687 P. v. *σφᾶς δ᾽ αὐτοὺς*

Τίνας οὖν καλῶ πεπαιδευμένους, ἐπεὶ τὰς τέχνας καὶ τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις ἀποδοκιμάζω; πρῶτον μὲν τοὺς καλῶς χρωμένους τοῖς πράγμασι τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην προσπίπτουσι, καὶ τὴν δόξαν ἐπιτυχῆ τῶν καιρῶν ἔχοντας καὶ δυναμένην ὡς ἐπὶ τὸ πολὺ στοχάζεσθαι τοῦ συμφέροντος· ἔπειτα τοὺς πρεπόντως καὶ δικαίως ὁμιλοῦντας τοῖς ἀεὶ πλησιάζουσι, καὶ τὰς μὲν τῶν ἄλλων ἀηδίας καὶ βαρύτητας εὐκόλως καὶ ῥᾳδίως φέροντας, σφᾶς δ᾽ αὐτοὺς ὡς δυνατὸν ἐλαφροτάτους καὶ μετριωτάτους τοῖς συνοῦσι παρέχοντας· ἔτι τοὺς τῶν μὲν ἡδονῶν ἀεὶ κρατοῦντας, τῶν δὲ συμφορῶν μὴ λίαν ἡττωμένους, ἀλλ᾽ ἀνδρωδῶς ἐν αὐταῖς διακειμένους καὶ τῆς φύσεως ἀξίως, ἧς μετέχοντες τυγχάνομεν· τέταρτον, ὅπερ μέγιστον, ⟨τοὺς⟩ μὴ διαφθειρομένους ὑπὸ τῶν εὐπραγιῶν μηδ᾽ ἐξισταμένους αὑτῶν μηδ᾽ ὑπερηφάνους γιγνομένους ἀλλ᾽ ἐμμένοντας τῇ τάξει τῶν εὖ φρονούντων, καὶ μὴ μᾶλλον χαίροντας τοῖς διὰ τύχην ὑπάρξασιν ἀγαθοῖς ἢ τοῖς διὰ τὴν αὑτῶν φύσιν καὶ φρόνησιν ἐξ ἀρχῆς γιγνομένοις. τοὺς δὲ μὴ μόνον πρὸς ἓν τούτων ἀλλὰ πρὸς ἅπαντα ταῦτα τὴν ἕξιν τῆς ψυχῆς εὐάρμοστον ἔχοντας,

(9) — *παρέχοντας* (10) Harpocr. v. *ἐλαφροτάτους*. v. *τοὺς δὲ μὴ* (19) — *ἀρετάς* (p. 9, 2) Clemens Alex. strom. V p. 688 P.

1 *ἔχω* pro *καλῶ* Isocratis vulg. | *ἐπεὶ* M^d corp. Par.: *ἐπειδὴ* Is. ‖ **2** *καὶ τὰς δυνάμεις* om. corp. Par. ‖ **3** *τοὺς καλῶς χρωμένους* M^d Is. Clem.: *τοῖς καλῶς χρωμένοις* corp. Par. ‖ **4** *ἐπιτυχῆ* Is. Clem.: *ἐπὶ τύχῃ* M^d *ἐπὶ τῇ τύχῃ* corp. Par. ‖ **7** *ἀεὶ τοῖς* Clem. ‖ **9** *σφᾶς δὲ* — **10** *παρέχοντας* om. corp. Par. | *δ᾽* Is. Clem.: *δὲ* M^d, inde vulg. | *ἐλαφροτέρους* Isocratis vulg. ‖ **10** *ἔτι* M^d Isocratis cod. *Γ*: *ἔτι καὶ* corp. Par. *ἔτι δὲ* Isocratis vulg. Clem. | *τῶν μὲν* reposui ex Is. Clem.: *μὲν τῶν* M^d corp. Par. | *ἀεὶ* om. Clem. ‖ **11** *ἡττωμένους* Is. Clem.: *ἡττημένους* M^d corp. Par. ‖ **12** *διακειμένους* M^d Is.: *διακειμένοις* corp. Par. *ἀναστρεφομένους* Clem. | *ἀξίως* Is. Clem.: *ἀξίους* M^d corp. Par. ‖ **14** *μέγιστόν ἐστι* Clem. | *τοὺς μὴ* Is. Clem.: *μὴ* M^d corp. Par. ‖ **15** *ἐξανισταμένους* Isocratis vulg. | *αὑτῶν* Is.: *αὐτῶν* M^d corp. Par. Clem. | *μὴ δὲ* M^d ‖ **16** *ἐπιμένοντας* Clem. | *τῇ τάξει* M^d corp. Par. Isocratis vulg. Clem.; *τῇ τάξει τῇ* Isocratis *Γ* ‖ **18** *αὑτῶν* Is.: *αὐτῶν* M^d corp. Par. ‖ **19** *τοὺς δὲ* M^d Is. Clem.: *τοῖς δὲ* corp. Par. | *πρὸς ἅπαντα* M^d corp. Par. Isocratis vulg. Clem.; *καὶ προς ἅπαντας* Isocratis *Γ*

τούτους φημὶ φρονίμους εἶναι καὶ τελείους ἄνδρας καὶ πάσας ἔχειν τὰς ἀρετάς.

17 (1, 60 Mein.) Ἐκ τῶν Ἰαμβλίχου πρὸς Σώπατρον περὶ ἀρετῆς.

Ψυχῆς μὲν οὖν ἂν εἴη ἀρετὴ τελεότης καὶ εὐμετρία τῆς ζωῆς, λόγου τε καὶ νοῦ καὶ διανοήσεως ἡ ἀκροτάτη καὶ καθαρωτάτη ἐνέργεια. τὰ δ' ἔργα τῆς ἀρετῆς ἀγαθοειδῆ, κάλλιστα, νοερά, σπουδαῖα, πλήρη μεσότητος, εὐκαιρίας μετέχοντα, προηγούμενα, τέλους ἀρίστου στοχαζόμενα, χαρίεντα ὅτι μάλιστα θεωρείσθω.

18 (1, 45 Mein.) Ἰσοκράτους.

Ἰσοκράτης εἶπεν, ὅτι τὸν χρηστὸν καὶ ἀγαθὸν ἄνδρα δεῖ τῶν μὲν προγεγενημένων μεμνῆσθαι, τὰ δὲ ἐνεστῶτα πράττειν, περὶ δὲ τῶν μελλόντων φυλάττεσθαι.

---

1 φρονίμους M^d corp. Par.: καὶ φρονίμους Is. Clem. | τελείους M^d corp. Par. Isocratis vulg. Clem.; τελέους Isocratis *ΓΔ* || **3** ecl. cum lemm. hab. M (post ecl. 1, 44 Mein.) Tr. p. 3 (post particulam eclogae 7, 74 Mein.); ἐκ τῶν (compendiose) ἰαμβλλ. πρὸ σώπατρον (comp.) περὶ ἀρετῆς M, Ἰαμβλίχου nec plura Tr. lemma quod remansit apud Gaisfordum et Meinekium τοῦ αὐτοῦ προς Σωκράτην περὶ ἀρετῆς Schowii temeritati debetur, qui Gesneri traiectionibus deceptus suo more graece vertit quod invenit apud Gesn.[2] p. 6 mrg: *Idem ad Socratem de virtute.* accuratius hoc exposui mus. Rh. XLI p. 43 || **5** μὲν οὖν ἂν Tr.: μὲν ἂν M^d || **6** ἡ om. Tr. || **7** δ' Tr.: δὲ M^d || **8** κάλλιστα Tr.: καὶ κάλλιστα M^d || **10** post θεωρείσθω haec adduntur in M sine rubr. cum prioribus cohaerentia: φύσει γὰρ ἁ μὲν ἀρετὰ· ἀγαθοποιὸς καὶ ὠφελητικά. ἁ δὲ κακία κακοποιὸς καὶ βλαπτικά, quae sunt verba *Metopi* vol. I p. 21, 3—5 Mein., unde iure concludas ecl. 1, 64 Mein. in archetypo olim lectam fuisse post ecl. 1, 60 Mein., ubi initium eclogae 1, 64 Mein. etiam nunc reapse legitur apud Tr. p. 3. sed ut nunc res sunt in capite primo, satius erit eius familiae seriem atque imaginem exprimere, cui maxima eclogarum pars debetur, id est librorum MA || **11** ecl. cum lemm. hab. M (post fragmentum eclogae 1, 64 Mein. ad ecl. priorem a me indicatum) Tr. p. 6 (post ecl. 1, 69 Mein.). idem apophthegma paulo aliter conceptum offert gnomol. Vatic. 363, ubi alios codices a se inspectos enumerat Sternbach. Bianti adscribit Maximus p. 183 Rib., alii. tanquam locum communem exhibet flor. Pal.-Vat. 50 teste Sternbachio. cf. Schenkelii gnomol. Vat. (*Wien. stud.* XI p. 17) 40

19 (3, 53 Mein.) *Ἀριστοτέλους.*

Ἀριστοτέλης εἶπεν, ἐπειδὴ μὴ γίνεται τὰ πράγματα ὡς βουλόμεθα, δεῖ βούλεσθαι ὡς γίνεται.

20 (5, 31 Mein.) *Χίλωνος.*

Ζημίαν αἱροῦ μᾶλλον ἢ κέρδος αἰσχρόν· τὸ μὲν γὰρ ἅπαξ σε λυπήσει, τὸ δὲ διὰ παντός.

21 (3, 30 Mein.) *Βίαντος.*

Βραδέως ἐγχείρει τοῖς πραττομένοις, ἐγχειρήσας δὲ πρᾶττε βεβαίως.

22 (3, 31 Mein.) *Θεοβούλου.*

Τὰ ἀφανῆ τοῖς φανεροῖς τεκμαίρου.

23 (3, 32 Mein.) *Σωκράτους.*

Σωκράτης παρῄνει ὡς ἥκιστα τοῖς δυνάσταις ἢ ὡς ἥδιστα ὁμιλεῖν.

---

1 ecl. cum lemm. hab. M Tr. post ecl. 1, 45 Mein. cf. Arriani Epict. ench. c. 8 et gnoma florilegii a Schenkelio (*Wien. stud.* XI p. 25) editi 83; Anton. II c. 89 p. 153 Maxim. c. 42 p. 638 Combef.; Boiss. anecd. III p. 471, 17 ‖ **4** ecl. cum lemm. hab. M Tr. p. 7 (post ecl. 3, 53 Mein.) Br (post ecl. 5, 124 Mein.); *χείλωνος* M[d] *χίλωνος* Tr. Br et corp. Par. 475 Elt. ubi ecloga iteratur. idem praeceptum recurrit infra in collectione Demetrii flor. 3, 79*γ'* Mein. ‖ **5** *μᾶλλον* M[d] Br corp. Par.: *μάλιστα* Tr. | *τὸ μὲν γὰρ ἅπαξ λυπήσει, τὸ δὲ ἀεί* Demetrii coll. ‖ **7** ecl. cum lemm. hab. M (post ecl. 3, 31 Mein.) Br Tr. (post ecl. 5, 31 Mein.). recurrit corp. Par. 461 Elt. (*γνῶμαι Βίαντος*). verba *Βραδέως ἐγχείρει, ὃ δ' ἂν ἄρξῃ διαβεβαιοῦ* in Demetri syntagmate Bianti adscribuntur infra 3, 79*ζ'* Mein., ubi videsis ‖ **8** *δὲ* om. corp. Par. ‖ **9** *πράττε* libri ‖ **10** ecl. cum lemm. hab. M (post ecl. 5, 31 Mein.) Br Tr. (post ecl. 3, 30 Mein.). *Θεοβούλου* lemma ex *Κλεοβούλου* depravatum repperit etiam pinacographus Photii p. 44 Elt. Soloni praeceptum datur infra 3, 79*β'* Mein. Cleobulo vel si dis placet Theobulo dedit qui Demetrii aut eius simili collectione usus nomen quod in fronte gerebat libellus oscitanter huc retraxit ‖ **12** ecl. hab. M (post ecl. 3, 30 Mein.) Tr. (post ecl. 3, 31 Mein.). lemma dedi ex M, *Πλατωνος* Tr. de quo monui ad ecl. proximam. recurrit ecloga corp. Par. 557 Elt. (*Σωκράτους*). idem fere praeceptum Aesopo dat Plutarchus Sol. c. 28, Xenophani Laertius IX 19. de forma orationis monui Teletis rel. proleg. p. LXXV ‖ **13** *παρῄνει* M[d]: *ἔλεγεν* Tr. | *τοῖς βασιλεῦσι δεῖ ὡς ἥκιστα ἢ ὡς ἥδιστα ὁμιλεῖν* Plut. l. c. *τοῖς τυράννοις ἐντυγχάνειν ἢ ὡς ἥκιστα ἢ ὡς ἥδιστα* Laert. l. c.

24 (3, 93 Mein.) *Πλάτωνος* (de re publ. X p. 618 B).

Μάλιστα ἐπιμελεῖσθαι χρή, ὅπως ἕκαστος ἡμῶν τῶν ἄλλων μαθημάτων ἀμελήσας τούτου τοῦ μαθήματος καὶ μιμητὴς καὶ μαθητὴς ἔσται, ἐάν ποθεν οἷός τ' ᾖ μαθεῖν καὶ ἐξευρεῖν τίς αὐτὸν ποιήσει δυνατὸν καὶ ἐπιστήμονα, βίον χρηστὸν καὶ πονηρὸν διαγινώσκοντα, τὰ βελτίω ἐκ τῶν δυνατῶν ἀεὶ πανταχοῦ αἱρεῖσθαι.

25 (5, 54 Mein.) *Ἰσαίου* (Isaei orat. ed. Schoem. p. 168 fr. III).

Ἡγοῦμαι μεγίστην εἶναι τῶν λειτουργιῶν τὸ καθ' ἡμέραν βίον κόσμιον καὶ σώφρονα παρέχειν.

26 (5, 55 Mein.) *Ἰσοκράτους πρὸς Δημόνικον* (§ 21 p. 6 c; § 46 p. 12 b; § 16 p. 5 b).

Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρόν, τούτων ἐγκράτειαν ἄσκει, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. ἔσῃ δὲ τοιοῦτος, ἐὰν κέρδη μὲν εἶναι νομίζῃς δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις, τῇ δ' ὀργῇ παραπλησίως ἔχῃς πρὸς τοὺς ἁμαρτάνοντας, ᾗ περὶ σὲ τοὺς ἄλλους

---

1 ecl. sine lemm. hab. Tr. p. 6 post ecl. 3, 32 Mein. cui quod praefigitur *Πλατωνος* pertinere ad ecl. *Μάλ.* vidit Gesn.[2] p. 48. possis supplere *Πολιτείας ι'* ‖ **2** *ἐπιμελεῖσθαι χρὴ* Tr.: *προμελεῖσθαι χρὴ* Gesn.[2], inde vulg. *ἐπιμελητέον* Plat. ‖ **4** *μιμητὴς* Tr.: *ζητητὴς* Plat. | *ἦν* Tr. ‖ **6** *τὰ* Tr.: *τὸν* Plat. ‖ **8** ecl. cum lemm. hab. M (post ecl. 3, 32 Mein. sed om. 3, 93) Tr. p. 6 (post ecl. 3, 93 Mein.) Br (post 3, 31 Mein.). vide mus. Rh. XXXIX p. 389. recurrit corp. Par. 509 Elt. (*Ἡσαΐου*). conicio *Λυσίου* coll. Lys. or. 21, 19 ‖ **10** *ἡγοῦμαι* Tr. corp. Par.: *ἡγοῦ* M[d] Br ‖ **11** *κόσμιον καὶ σώφρονα* M[d] Tr. corp. Par.: *σώφρονα καὶ κόσμιον* Br cf. de Stob. flor. exc. Brux. p. 32 ‖ **12** ecl. cum lemm. hab. M Tr. p. 6 (post ecl. 5, 54) sine lemm. Br (post ecl. 1, 43). verba *ἐγκράτειαν* (14) — *ὑπομιμνήσκῃς* (p. 12, 4) exscripsit Georgid. p. 34 (sine lemm.); v. *τοὺς μὲν θεοὺς* (p. 12, 11) — *κάκιστον* (14) Orio anth. III 6 p. 45 (*Ἰσοκράτους παραινέσει* compend.) Georgid. p. 82 sq. (sine lemm.) ‖ **14** *τούτων ἐγκράτειαν ἄσκει* M[d] Tr. Br: *τούτων ἐγκράτειαν ἄσκει πάντων* Is. *ἐγκράτειαν ἄσκει τούτων* Georg. vide Keil anal. Is. p. 18 adn. 3 ‖ **15** *ὀργῆς ἡδονῆς* Tr. Is. Georg.: *ἡδονῆς ὀργῆς* M[d] Br | *ἔσει* Is. ‖ **17** *δὲ* libri Stob. ‖ **18** *ἔχησ πρὸς* M[d] et Is. quod recepi fortiore post *εὐπορήσεις* distinctione sublata: *ἔχεις πρὸς* Br *ἔχε εἰς* Tr., inde vulg.; *ἔχε πρὸς* Georg. | *ᾗ περὶ σὲ τοὺς ἄλλους ἔχειν ἀξιώσειας* (*ἀξιώσεις* Br) libri Stob.: *ὥσπερ*

ἔχειν ἀξιώσειας. ἐν δὲ τοῖς τερπνοῖς, ἐὰν αἰσχρὸν ὑπολάβῃς, τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δ' ἡδοναῖς δουλεύειν. ἐν δὲ τοῖς λυπηροῖς, ἐὰν τὰς τῶν ἄλλων 'τυχίας ἐπιβλέπῃς καὶ σαυτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς. Μάλιστα δ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις ὅτι καὶ τὰς ἡδονὰς ἐκ τούτων γνησίως ἔχομεν. ἐν μὲν γὰρ τῷ ῥᾳθυμεῖν καὶ τὰς πλησμονὰς ἀγαπᾶν εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήγασι, τὸ δὲ περὶ τὴν ἀρετὴν φιλοπονεῖν καὶ σωφρόνως τὸν αὑτοῦ βίον οἰκονομεῖν ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς καὶ βεβαιοτέρας ἀποδίδωσι. Τοὺς μὲν θεοὺς φοβοῦ, τοὺς δὲ γονεῖς τίμα, τοὺς δὲ φίλους αἰσχύνου. τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης· τέρψις γὰρ σὺν τῷ καλῷ μὲν ἄριστον, ἄνευ δὲ τούτου κάκιστον.

ἂν πρὸς ἑαυτον (sic *ΓΕ*, Georg., *πρὸς σαυτὸν* vulg., *πρὸς σεαυτὸν Ζ*) *ἁμαρτάνοντα καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσειας* Is. Georg.

2 *δ'* Is.: *δὲ* M^d Tr. Br, Georg. || **3** *λυπηροῖς* M^d Tr. Br et Isocratis vulg.: *πονηροῖς* Isocratis *ΓΕΖ* et Georg. | *ἀτυχίας* (ex *εὐτ.* corr. Br[1]) *ἐπιβλέπῃς* recepi ex M^d Br, Is. Georg.: *ἐπιβλέπῃς ἀτυχίας* Tr., inde vulg. || **4** *σαυτὸν* M^d Tr. Br, Isocratis *Ζ*, Georg., *αὐτὸν* Isocratis *ΓΕ*, *σεαυτὸν* Isocratis vulg. | *ὢν*] *ει* Br | *μᾶλλον* quod post *ὑπομιμνήσκῃς* addit Georg. perperam adsumptum est ex proximi apud Isocratem enuntiati initio | *μάλιστα δ' ἂν* M^d Br et Is., *μάλιστ' ἂν* Tr.; de Stobaei codice A temere loquitur Keil anal. Is. p. 26, qui praeterea tacere debuit codicis Paris. 1985 manifestam interpolationem || **5** *παροξυνθείη* Isocratis *Γ* | *ὀρεχθῆναι* M^d Tr. Br Isocratis vulg. *ὀρέγεσθαι* Isocratis *Γ* mg *Ε γρ* || **6** *καταμάθῃς* Br | *ἡδονὰς τὰς ἐκ* Isocratis vulg. | post *ἐκ τούτων* addit *μάλιστα* Is. | *γνησίας* Br || **7** *πλησμονὰς* Tr. Br Is.: *ἡδονὰσ* M^d || **8** *παραπεπήγασι* M^d (unde Gesn.[2] p. 55 mrg) Br Is.: *πεπήγασι* Tr., inde vulg.; etiam hoc loco de Stobaei A fallitur Keil || **9** *φιλοπονεῖν* M^d Br Is.: *ἀεὶ πονεῖν* Tr., inde vulg. | *αὑτοῦ* Is.: *ἑαυτοῦ* M^d Br *αὐτοῦ* Tr. || **11** *τοὺς μὲν κτἑ.*] hoc tmema tamquam novam eclogam lemmate non iterato constituit Br, quod verum videtur; nescio igitur an etiam v. *μάλιστα δ' ἂν — ἀποδίδωσι* a ceteris separanda sint | *τοὺς μὲν θεοὺς* M^d Tr. Is. Or.: *τὸν θεὸν* Br Georg. vide Boiss. ad Georg. | *δὲ* ante *γονεῖς* om. Georg. || **12** *τοὺς δὲ φίλους* M^d Is. Or.: *τοὺς φίλους* Tr. Br Georg. | post *αἰσχύνου* add. *τοῖς δὲ* (*δὲ* om. Georg.) *νόμοις πείθου* Is. Or. Georg., om. M^d Tr. Br *propter homoeoteleuton* putat Keil, fortasse recte | *καὶ* ante *τὰς ἡδ.* addunt anecd. Bekk. I p. 149, 1 ubi citantur v. *καὶ τὰς ἡδ. — μετὰ δόξης*

27 (1, 39 Mein.) *Δημοκρίτου* (fr. mor. 128 Mullach.).

Ἀνθρώποις ἁρμόδιον ψυχῆς μᾶλλον ἢ σώματος λόγον ποιέεσθαι. ψυχὴ μὲν γὰρ τελεωτάτη σκήνεος μοχθηρίην ὀρθοῖ, σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ ψυχὴν οὐδέν τι ἀμείνω τίθησι.

28 (1, 30 Mein.) *Ἀντισθένους* (apophth. 6 Winckelm.).

Οὔτε συμπόσιον χωρὶς ὁμιλίας οὔτε πλοῦτος χωρὶς ἀρετῆς ἡδονὴν ἔχει.

29 *Πυθαγόρου.*

---

1 ecl. cum lemm. hab. M (post ecl. 5, 55 Mein.) Tr. p. 7 (post ecl. 1, 83 Mein.). iteratur ecloga Maxim. c. 53 p. 656 Combef. (*Δημοκρίτου*), v. *ἀνθρώποις — λόγον ποιεῖσθαι* (hoc ordine) hab. gnomol. Byz. 25 p. 170 Wachsm. (Pal. 25 Par. 13 [i. e. corp. Par. 780 Elt.] Bar. 15 Mon. 23 Leid. 26); v. *ψυχῆς μὲν — τίθησι* Democrat. 2 p. 80 Orell. cf. Plat. de re publ. III p. 403 D ‖ **2** *ἀνθρώποις* M[d] Tr. et testes reliqui: *-οισι* Mullach, Meineke | *λόγον ποιεῖσθαι* M[d] et rel.: *ποιεῖσθαι λόγον* Tr., unde vulg.; *ποιέεσθαι* scr. Mullach et Meineke ‖ **3** *ψυχὴ μὲν γὰρ τελεωτάτη* (*τελειοτάτη* Max.) M[d] Tr. Max., *ψυχῆς μὲν τελεότης* Democrat., unde *ψυχῆς μὲν γὰρ τελεότης* in Democriteis scribendum esse vidit Lortzing *über die eth. fragm. Demokrits* p. 10 et 24 | *μοχθηρίην* M[d] Max.: *μοχθηρίαν* Tr. et Democrat. ‖ **5** *τίθησιν* M[d] Max., *τίθησι* Tr. Democrat. ‖ **6** ecl. sine lemm. hab. M (post ecl. 1, 39 Mein.) A (vide mus. Rh. XXXIX p. 389), addito *Ἀντισθένους* Tr. (post ecl. 1, 59 Mein.). eadem infra inter Socraticas recurrit lemmate *Σωκράτους* non iterato 1, 87 (post ecl. 3, 41 Mein.). legitur sententia corp. Par. 35 Elt. (*Πλουτάρχου*); gnomol. Byz. 37 p. 172 Wachsm. (Pal. 31 Bar. 119). cf. Georgid. p. 71, 6 ‖ **7** *χωρὶς* A Tr.: *ἄνευ* M[d] ni fallor et A altero loco, corp. Par. gnomol. Byz. Georg. | *ὁμιλίας* libri Stobaei corp. Par.; *ὁμονοίας* cet. | *χωρὶς — ἔχει* abcissa A | *δίχα* pro *χωρὶς* Bar. Georg. ‖ **9** ecl. cum lemm. *Πυθαγόρου* (nihil nisi *ρου* in A reliquis abscissis) hab. MA (post ecl. 1, 30 Mein.) lemmate eclogae 1, 31 Mein. huc perperam retracto Tr. p. 7 (post ecl. 1, 31 Mein.), sine lemmate tamquam capitis initium Br. primum enuntiatum ex alio ut videtur fonte iterat Stobaeus cum lemm. *Πυθαγόρου* flor. 29, 99 Mein. idem monitum tamquam *παράγγελμα τῶν Πυθαγορείων* laudat Plut. de exilio p. 602 B (cf. de recta rat. audiendi p. 47 C), eidem obloquitur de tranquill. p. 466 F, ubi verba *ὥς τις εἶπεν* ad Democritum non recte rettulit Hirzel Hermae XIV p. 366 sq. recepta fuit sententia (*βίον αἱροῦ — ποιήσει*) in gnom. Byz. 126 p. 186 Wachsm. (Pal. Vat. 37 Pal. 99 Par. 66 [i. e. corp. Par. 833

Πυθαγόρας ἔφη, ὅτι χρὴ βίον αἱρεῖσθαι τὸν ἄριστον, ἡδὺν γὰρ αὐτὸν ἡ συνήθεια ποιήσει. πλοῦτος ἀσθενὴς ἄγκυρα, δόξα ἔτι ἀσθενεστέρα· τὸ σῶμα ὁμοίως, αἱ ἀρχαί, αἱ τιμαί, πάντα ταῦτα ἀσθενῆ καὶ ἀδύνατα. τίνες οὖν ἄγκυραι δυναταί; φρόνησις, μεγαλοψυχία, ἀνδρεία· ταύτας οὐδεὶς χειμὼν σαλεύει. οὗτος θεοῦ νόμος, ἀρετὴν εἶναι τὸ ἰσχυρὸν καὶ βέβαιον, τὰ δ' ἄλλα λῆρον.

30 (deest Mein.) *Πυθαγόρου γνῶμαι.*

Ἀνανεούσθω σοι ὁ περὶ τῶν ἀγαθῶν λόγος καθ' ἡμέραν μᾶλλον ἢ τὰ σιτία.

Elt.] Bar. 66 Ottobon. 67 Mon. 59 Leid. 58); cf. Georgid. p. 18, 19. habet Galenus *περὶ ψυχῆς παθῶν καὶ ἁμαρτ.* p. 25, 14 ed. Marquardt. idem praeceptum Pythagorae tribuitur gnomol. Vat. 461, ubi alia testimonia collegit Sternbach

1 *ὅτι* M^d Tr.: *τί* ut videtur A om. Br | *ἔφη ὅτι — ἄριστον*] *παρῄνει τοῖς ἑταίροις βίον τὸν ἄριστον* flor. 29 ‖ 2 *γὰρ* M^d A Tr.: *δὲ* Br et sic Plut. de exil. | *ἡδὺν — ποιήσει*] *καὶ γὰρ εἰ ἐπιπονώτατος εἴη, ἀλλὰ τὴν συνήθειαν* (*τῇ συνηθείᾳ* libri) *ἡδὺν αὐτὸν ποιήσειν* flor. 29 | v. *πλοῦτος κτἑ.* rectius a prioribus seiunges ‖ 4 *τιμαί, πάντα*] litterae *αί πάντα* abscissae sunt in A ‖ 5 *ἀνδρεία* (*-είαν* Tr.) M^d A Tr.: *ἀνδρία* Br | *ταύτας*] nihil nisi *αυ* hodie agnoscitur in A ‖ 7 *τὸ ἰσχυρὸν καὶ βέβαιον* M^d A Br: *τὸ ἰσχύον μόνον* Tr.; *τὸ ἰσχυρὸν καὶ βέβαιον μόνον* Gaisford et Meineke fortasse recte, errantes tamen de A ubi *μόνον* non magis legitur quam in M^d Br | *δὲ* M^d ‖ *λῆρον*] *ρον* evanuit in A ‖ 8 ecl. cum lemm. sed ut in A de voce *γνῶμαι* hodie fere nihil nisi *μ* legi possit hab. MA (post ecl. 1, 29 Mein.) sine lemm. Br (post ecl. 1, 29 Mein.). usus est Stobaeus in hac et proximis collectione Pythagoreorum quae secundum alphabetum disposita erat sed ut primae tantum litterae ratio haberetur. quod demonstravi codicum auxilio mus. Rh. XXXIX p. 537 (cf. p. 390). confirmavit H. Schenkl *Wien. stud.* VIII p. 262 sqq. edita collectione quae legitur in cod. Vind. 225 *Αἱ γνῶμαι τῶν Πυθαγορείων* (*-ίων* cod.) inscripta. ab eodem reliqua huius syntagmatis testimonia post Gildemeisterum (cf. Hermae IV p. 81 sqq.) et Wachsmuthium diligenter collecta sunt ‖ 9 primum praeceptum quod om. Meineke recurrit in Schenkelii Pyth. Vind. 1 Pyth. Syr. 1 gnomol. Byz. 1 p. 166 Wachsm. (Pal. 1 Par. 1 [id est corp. Par. 768 Elt.] Bar. 1^a Mon. 1 Leid. 1) Boiss. anecd. III p. 467 ‖ 9 *σοι* om. Par. Bar. Mon. Leid. ‖ 10 *καθ' ἡμέραν* etiam A, fallitur Gaisford vol. IV p. 353 ed. Lips. | *σιτία* MBr: *οἰκία* A. ceterum *θεοῦ* pro *τῶν*

31 (1, 19 Mein.)

Ἄγρυπνος ἔσο κατὰ νοῦν· συγγενὴς γάρ τοι ἀληθινοῦ θανάτου ὁ περὶ τοῦτον ὕπνος.

32 (1, 20 Mein.)

Ἃ μὴ δεῖ ποιεῖν, μηδὲ ὑπονοοῦ ποιεῖν.

33 (1, 21 Mein.)

Ζητεῖν δεῖ καὶ ἄνδρα καὶ τέκνα καὶ φίλους τοὺς μετὰ τὴν ἀπαλλαγὴν τοῦ βίου παραμένοντας.

34 (5, 28 Mein.)

ἀγαθῶν gnomol. Byz. minores autem a Stobaeo discrepantias omitto hic et deinceps

1 ecl. hab. lemmate non iterato MA Br (post *σιτία*) Tr. p. 7 (post ecl. 1, 29 Mein). cohaeret haec et deinceps fere reliquae corpusculi eclogae cum priore in M. iteratur corp. Par. 558 Elt. (*Πυθαγόρου*); Pyth. Vind. 5 Pyth. Syr. 5 Demophil. 2 ‖ **2** *κατὰ τὸν νοῦν* corp. Par. ‖ **3** *ὁ περὶ τοῦτον ὕπνος* M[d] A Br corp. Par. Pyth. Syr. Demoph.: *οὗτος ὁ ὕπνος* Tr., inde vulg. *ὁ περὶ τὸν νοῦν ὕπνος* Pyth. Vind. ‖ **4** ecl. hab. lemmate non iterato MA Tr. recurrit Pyth. Vind. 6 Pyth. Syr. 6 Sext. 178 p. 30 Gildem.; corp. Par. 559 Elt. (lemmate non iterato); floril. Schenkelii (*Wien. stud.* XI p. 10) 2. Thaleti monitum adscribit Laertius I 60 ‖ **5** *δεῖ* hodie avulsum in A | *ὑπονοοῦ* MA Tr. Pyth. Vind. corp. Par. floril. Schenk., *ὑπονόει* Sext. Syr. I Pyth. Syr. ‖ **6** ecl. hab. lemmate non iterato MA Tr. cum priore coniunctam iterat corp. Par. 559 Elt. recurrit gnoma Pyth. Vind. 28 Pyth. Syr. 26 Demoph. 15; cod. Vind. 29 f. 127[r] teste Schenkelio; flor. Schenkelii (*Wien. stud.* XI p. 20) 53; apophth. Vindob. 143 p. 25 Wachsm. ‖ **7** *δεῖ καὶ ἄνδρα* MA Tr. corp. Par. Pyth. Vind. Demoph. cod. Vind. 29: *δεῖ ἄνδρα* (quod coniecerat Madvig adv. cr. I p. 720) apophth. Vind. floril. Schenkelii ‖ **8** *καὶ μετὰ* M *μετὰ* A corp. Par.: *κατὰ* Tr., inde Arsenius p. 420 Walz. et vulg. praepositionem deleri vult Madvig. ceterum verbis *καὶ φίλους* omissis *καὶ τέκνα τὰ καὶ* (*καὶ* om. Demoph. et cod. Vind. 29) *μετὰ τὴν ἀπαλλαγὴν τοῦ βίου τοῦτον παραμένοντα* habent Pyth. Vind. Demoph. cod. Vind. 29 *καὶ γυναῖκα καὶ τέκνα τὰ μετὰ τὴν ἀπαλλαγὴν τοῦ βίου παραμένοντα* flor. Schenkelii. de Pyth. Syro videatur Gildemeister l. c. p. 89, de apophth. Vind. Wachsmuth p. 25 | *παραμένοντας* MA Tr. corp. Par.: *παραμενοῦντας* Meineke *περιμενοῦντας* Madvig ‖ **9** ecl. hab. lemmate non iterato MA Tr (post ecl. 1, 21 Mein.). recurrit ecloga Pyth. Vind. 29 Pyth. Syr. 27; Nil. 6; Ioannes Dam. Vat. α, 37 (*Εὐαγρίου*); inter sacra (*Εὐαγρίου*) corp. Par.; cod. Vind. 29;

Ζῆν κρεῖττόν ἐστιν ἐπὶ στιβάδος κατακείμενον καὶ θαῤῥεῖν ἢ ταράττεσθαι χρυσῆν ἔχοντα κλίνην.

35 (1, 22 Mein.)

Ἰσχύειν τῇ ψυχῇ αἱροῦ μᾶλλον ἢ τῷ σώματι.

36 (1, 23 Mein.)

Πέπεισο μὴ εἶναι σὸν κτῆμα, ὅπερ μὴ ἐντὸς διανοίας ἔχεις.

37 (1, 24 Mein.)

Πρᾶττε μεγάλα μὴ ὑπισχνούμενος μεγάλα.

38 (1, 25 Mein.)

Τέκνα μάθε τίκτειν οὐ τὰ γηροβοσκήσοντα τὸ σῶμα, τὰ δὲ τὴν ψυχὴν θρέψοντα τῇ αἰδίῳ τροφῇ.

---

flor. Schenkelii (*Wien. stud.* XI p. 20) 54. longius recedunt Porphyrius epist. ad Marc. 29 p. 293, 8 N.², cuius verba paululum immutata inter Epicuri epistularum fragmenta recepit Vsener p. 163, et Georgides p. 36 (*Ἀριστίππου*)

2 *ἔχοντα*] litt. *ντα* nunc avulsae sunt in A ‖ **3** ecl. hab. lemmate non iterato M Tr. (post ecl. 5, 28 Mein.) addito *Πυθαγόρου* lemmate A (post ecl. 5, 28 Mein.). recurrit ecloga Pyth. Vind. 45 Pyth. Syr. 38; gnomol. Byz. 21 p. 169 Wachsm. (Pal. 21 Par. 11 [id est corp. Par. 778 Elt.] Bar. 12 Mon. 20 Leid. 23); anecd. Boiss. I p. 132 ‖ **4** *ἰσχύειν* M^d Pyth. Vind. Pyth. Syr. gnom. Byz. Boiss.: *ἰσχὺν* A Tr., inde vulg. | *αἱροῦ μᾶλλον* M^d Tr. Pyth. Vind. Pyth. Syr. gnom. Byz.: *μᾶλλον αἱροῦ* A. magis discrepat collocatione verborum Boiss.: *αἱροῦ τῇ ψυχῇ μᾶλλον ἢ τῷ σώματι ἰσχύειν* | *ἢ* Stob., *ἤπερ* aliquot gnomol. ‖ **5** ecl. hab. lemmate non iterato MA Tr. recurrit Pyth. Vind. 80 Pyth. Syr. 60 Demophil. 34 ‖ **6** *εἶναι* abscissum in A | *ὃ* pro *ὅπερ* Pyth. Vind. ‖ **8** ecl. hab. lemmate non iterato MA Tr. recurrit Pyth. Vind. 86 Pyth. Syr. 65 Demoph. 37; Sext. 198 ‖ **9** *μὴ ὑπισχνοῦ* Pyth. Vind. | *τὰ* ante *μεγ.* addit Demoph. ‖ **10** ecl. hab. lemmate non iterato MA Tr. (post ecl. 1, 24 Mein.) Br (post ecl. 1, 19 Mein.). recurrit Pyth. Vind. 99 Pyth. Syr. 77 Demoph. 43 ‖ **11** *τέκνα μάθε τίκτειν* insulse dictum notavit Cobet mnemos. IX p. 104; *τεχνήματα μάθε* verbo *τίκτειν* deleto proposuit Madvig adv. cr. I p. 720, frustra | *μάνθανε* pro *μάθε* Demoph. | post *τίκτειν* addunt *ἀΐδια* Pyth. Vind. Pyth. Syr. Demoph. | *γηροβοσκήσοντα* A Tr. Pyth. Vind. Demoph.: *γηρωβοσκήσοντα* M^d Br ‖ **12** *τὰ δὲ την* M^dA Br Pyth. Vind. Demoph.: *τὴν δὲ* Tr., inde vulg. | *τῇ* om. Demoph. | *τροφῇ* abscissum in A

39 (1, 26 Mein.)

Τὰ ἐπίπονα τῶν ἡδέων μᾶλλον ἡγοῦ συντελεῖν εἰς ἀρετήν.

40 (1, 27 Mein.)

Χαλεπὸν πολλὰς ὁδοὺς ἅμα τοῦ βίου βαδίζειν.

41 (1, 28 Mein.)

Ψυχῆς πᾶν πάθος εἰς σωτηρίαν αὐτῆς πολεμιώτατον.

42 (5, 29 Mein.)

Ὧν ἡ τύχη κυρία καὶ δοῦναι καὶ ἀφελέσθαι, οὐ δεήσῃ οὐδενός.

43 (5, 30 Mein.)

Ὧν τοῦ σώματος ἀπαλλαγεὶς οὐ δεήσῃ, ἐκείνων καταφρόνει πάντων· καὶ ὧν ἀπαλλαγεὶς δεήσῃ, πρὸς ταῦτά σοι ἀσκουμένῳ τοὺς θεοὺς παρακάλει γίνεσθαι συλλήπτορας.

---

1 ecl. hab. lemmate non iterato MA Tr. recurrit Pyth. Vind. 101 Pyth. Syr. 78. cf. Porphyr. ad Marc. 7 p. 278, 13 N.^{2}: *ἔδοξε τοῖς σώφροσι τὰ ἐπίπονα τῶν ἡδέων μᾶλλον συντελεῖν εἰς ἀρετήν* ‖ **2** *μᾶλλον ἡγοῦ* M^{d}A Tr. *ἡγοῦ μάλιστα* Pyth. Vind. ‖ **4** ecl. hab. lemmate non iterato MA Tr. recurrit Pyth. Vind. 114 Pyth. Syr. 90; cod. Vind. 199 f. 194^v teste Schenkelio; floril. Schenkelii (*Wien. stud.* XI p. 38) 145. denique cf. corp. Par. 763 Elt.: *χαλεπὸν πολλὰς ὁδοὺς ἅμα τοῦ βίου βαδίζειν καὶ τὸ ἄρχεσθαι ὑπὸ χείρονος* ‖ **5** *χαλεπῶν πολλῶν* M^d | *τοῦ βίου* abscissum in A ‖ **6** ecl. hab. lemmate non iterato MA Tr. recurrit Pyth. Vind. 116 Sext. 205 cf. Pyth. Vind. 2b Pyth. Syr. 2 Porphyr. ad Marc. 9 p. 279, 22 N.^{2} ‖ **8** ecl. hab. lemmate non iterato MA Tr. (post ecl. 1, 28 Mein.). recurrit Pyth. Vind. 120 Pyth. Syr. 95. cf. Porphyr. ad Marc. 12 p. 282, 18 N.^{2}: *οὔκουν δεήσῃ οὐδενὸς ὧν καὶ ἡ τύχη δοῦσα πολλάκις πάλιν ἀφαιρεῖται* ‖ **9** *τύχη* M^d Pyth. Vind.: *ψυχὴ* A Tr., inde vulg. | *καὶ δοῦναι* M^d Pyth. Vind.: *δοῦναι* A Tr., inde vulg. | *δεήσῃ* sed *η* extrema e corr. M^d ‖ **11** ecl. hab. lemmate non iterato MA Tr. recurrit Pyth. Vind. 121 Pyth. Syr. 96; Maxim. c. 1 p. 181 Rib. (post eclogam *Pythagorae* inscriptam). cf. Porphyr. ad Marc. 12 p. 282, 15 N.^{2} qui in singulis discrepat haud paucis. prius praeceptum servavit etiam Georgid. p. 106 et Sext. 127 ‖ **12** *ὧν* A Tr. Pyth. Vind.: *ὧν οὖν* M^d | *δεήσῃ* — 13 *ὧν ἀπαλλαγεὶς* om. A propter homoeoteleuton | *ἐκεῖνων* (sic) M^d ‖ **13** *ταῦτά σοι* abscissa sunt in A nisi quod legitur prius *τ* ‖ **14** *γίνεσθαι* M^{d}A: *γίνεσθαί σοι* Tr., inde vulg. reposuerim *γενέσθαι* ex Pyth. Vind. et Porphyr. *γίνεσθαι* etiam Maximi cod. Vind. 267 teste Schenkelio

44 (Addend. 2 Mein.)

Ὧν ἕνεκα ζῆν ἐθέλεις, τούτων χάριν καὶ ἀποθανεῖν μὴ κατόκνει.

45 (5, 23 Mein.) *Δημοκρίτου* (fr. mor. 189 Mullach.).

Νόμῳ καὶ ἄρχοντι καὶ σοφωτέρῳ εἴκειν κόσμιον.

46 (3, 35 Mein.) *Δημοκρίτου* (fr. mor. 8 Mullach.).

Ὅρος συμφόρων καὶ ἀσυμφόρων τέρψις καὶ ἀτερπίη.

47 (5, 24 Mein.: Democr. fr. mor. 2 Mullach.)

Ἄριστον ἀνθρώπῳ τὸν βίον διάγειν ὡς πλεῖστα εὐθυμηθέντι καὶ ἐλάχιστα ἀνιηθέντι. τοῦτο δ' ἂν εἴη, εἴ τις μὴ ἐπὶ τοῖσι θνητοῖσι τὰς ἡδονὰς ποιέοιτο.

---

1 ecl. hab. lemmate non iterato MA Tr. p. 8 (post ecl. 5, 30 Mein.). ex Tr. dederat Gesn.[1] p. 10, sed om. eandem Gesn.[2] p. 65, quare in addendis posuerunt Gaisford et Meineke. recurrit monitum Pyth. Vind. 123 Pyth. Syr. 98 Sext. Syr. I app. 1, 6 p. 79 Gildem.; Porphyr. ad Marc. 34; Boiss. anecd. III p. 473; Anton. I c. 12 p. 13 (*Βασιλείου*); cod. Vind. 29 f. 129[r] et cod. Vind. 199 f. 195[r] teste Schenkelio. idem legitur in florilegio per Schenkelium edito (*Wien. stud.* XI p. 40) 157 ‖ **2** *ἐθέλεις* A Tr. Pyth. Vind. Porphyr. floril. Schenk.: *θέλεις* M | *θέλεις ζῆν* transponit Boiss. | *τούτων* M Tr. Pyth. Vind. floril. Schenk.: *τούτου* A | *τούτων χάριν* om. Porphyr.; *ὑπὲρ τούτων* Boiss. ubi pergitur *καὶ θνῆσκε* ‖ **4** *κατόκνει* A Pyth. Vind. Porphyr. floril. Schenk.: *κακώκνει* M *κατόκνοι* Tr. ‖ **3** ecl. cum lemm. hab. MA Tr. (post ecl. 44). recurrit corp. Par. 173 Elt. (*Δημοκρίτου γνῶμαι*); gnomol. Byz. 64 p. 177 Wachsm. (Pal. 55 Bar. 92 Mon. 37 Leid. 39); Democrat. 13 p. 30 Orell. ‖ **5** *καὶ* ante *σοφ.* om. Tr. | *τῷ* ante *σοφ.* add. corp. Par. gnomol. Byz. Democrat. | *εἴκειν* Tr. corp. Par. gnomol. Byz. Democrat.: *εἰκέειν* M[d]A ‖ **6** ecl. cum lemm. (?) hab. M, lemmate non iterato A, cum ecloga praegressa cohaerentem Tr. post ecl. 5, 23 Mein. ‖ **7** *ὅρος* M[d]A Tr.: *οὖρος* Mullach | post *ὅρος* addidit *γὰρ* tamquam ex A Gaisford per errorem ut videtur, om. etiam M[d]Tr. | *συμφόρων καὶ ἀσυμφόρων* Cobet mnemos. IX p. 106: *συμφορέων καὶ ἀσυμφορέων* M[d]A Tr. sed litteris *μφορέων καὶ ἀ* partim abscissis partim evanidis A ‖ **8** ecl. hab. lemmate non iterato MA Tr. post ecl. 3, 35 Mein. ‖ **9** cf. epigr. gr. 88 Kaib. *πλεῖστα μὲν εὐφρανθεὶς βιότωι, λύπαις δὲ ἐλαχίσταις Χρησάμενος γήρως τέρμα μολὼν πρὸς ἄκρον* | v. *εὐθυμηθέντι καὶ ἐλάχιστα* partim abscissa partim evanida A ‖ **10** *καὶ ἐλ. ἀνιηθέντι* om. M[d] ‖ **11** *τοῖς* et *ποιοῖτο* M[d]A Tr.: corr. Mullach Meineke

48 (1, 83 Mein.) *Μουσωνίου* (rel. p. 254 Peerlk.).

Οὐκ ἔστι τὴν ἐνεστηκυῖαν ἡμέραν καλῶς βιῶναι μὴ προθέμενον αὐτὴν ὡς ἐσχάτην [βιῶσαι].

49 (deest Mein.) *Ἰαμβλίχου ἐκ τῆς πρὸς Σώπατρον ἐπιστολῆς περὶ ἀρετῆς.*

Οὐκοῦν καὶ διὰ νοῦ καθαροῦ καὶ ἀπολυομένου πάσης σωματοειδοῦς διαμορφώσεως ἡ θέα τῆς ἀρετῆς περιγίγνεται· τὸ δ' ὁποῖόν τί ἐστιν ὧδε ἄν τις καταμάθοι· κάλλος καὶ συμμετρία καὶ ἀλήθεια, ταυτότης τε ἀμετάστατος καὶ ἁπλότης, ἐξηρημένη τε ἀπὸ τῶν ἄλλων ὑπεροχή, τελειότης τε ἀνυπέρβλητος καὶ ἀκρότης τῶν ὄντων, καθαρότης τε ὑπεραίρουσα πάντα καὶ ἄμικτος. εἰ δὲ ἅπαντα τὰ τοιαῦτα, ἓν δεῖγμα αὐτοῦ παρέχεται ἱκανόν. ὁπότε δὴ οὖν τὸ νοητὸν εἶδος κατίδοις τῆς ἀρετῆς, θεώρει τοῦτο λοιπὸν ἀφ' ἑαυτοῦ περὶ πᾶσαν ζωὴν ἀμερίστως μεριζόμενον τρόπον τινὰ τοιοῦτον, ὡς πληθυομένων τῶν μεταλαμβανόντων μένειν αὐτὸ ἕν, καὶ πάντῃ μεριζομένων ⟨τῶν⟩ περὶ αὐτὸ ἀμέριστον αὐτὸ ὑπάρχειν, καὶ γιγνομένων καὶ ἀπολλυμένων ἐκείνων ἀγέννητον αὐτὸ εἶναι καὶ ἄφθαρτον, καὶ εἰς ἀνομοιότητα προχωρούντων τὸ αὐτὸ ἀεὶ διαμένειν μήτε κινούμενον ἀπὸ τῆς προόδου τῶν γιγνομένων μήτε διιστάμενον ἀφ' ἑαυτοῦ διὰ τὴν ἐν πᾶσι

---

1 ecl. cum lemm. hab. MA (post ecl. 5, 24 Mein.) sed lemmate in A abscisso, lemmate instructam etiam Tr. p. 7 (post ecl. 5, 55 Mein.). iterat gnomam M (olim etiam A) infra p. 32, 10 ubi videsis. recurrit corp. Par. 510 Elt. (*Μουσωνίου*). similes huius sententias congessit Gataker ad Marci Antonini II 11 VII 29. 56. 69 || **3** *βιῶσαι* secludendum esse monet Nauck (per litt.) || **4** ecl. cum lemm. hab. Br in capite primo post ecl. 5, 125 Mein. et ante ecl. 1, 58 Mein. sedes igitur eclogae incerta, sed fortasse recte collocatur ante ecl. 1, 58 ipsam quoque Iamblichi: vide mus. Rh. XXXIX p. 394. primum edidi eclogam a Paulo Thomas diligenter descriptam Stobaei flor. exc. Brux. p. 32 sqq. cf. Stob. flor. 103, 23 || **5** *Σώπατρον* scripsi: *φω*^τ Br || 8 *περιγίνεται* Br cf. 18. 22 p. 20, 6 | *ἐστιν* in ras. Br || **10** 'melius *ἐξῃρημένη*' Buecheler || **12** *ἄμικτος· ἰδὲ ἅπαντα τὰ τοιαῦτα ἔνδειγμα αὐτοῦ παρέχεται ἱκανόν· ὁπότε* nescio quis *liter. centralbl.* a. 1883 p. 487 || **17** *πάντῃ* scripsi: *παντὶ* Br || **18** *τῶν* addidit anonymus ille, sed praestat fortasse *πάντων μ. π. αὐτὸ*

τοῖς διεστηκόσι παρουσίαν μήτε αὐτοῖς συμφερόμενον ἢ συναυξανόμενον ἤ τινα ἄλλην ἀπ' αὐτῶν δεχόμενον ἀλλοίωσιν. καίτοι οὕτως αὐτὸ κατόψει τὸ αὐτὸ ὅλον ἐν πᾶσι παρὸν μετὰ τοῦ μένειν ἑκάστου τὴν οὐσίαν τῶν μετεχόντων καὶ κατὰ τὴν οἰκείαν ὑπόστασιν ἕκαστον βέλτιστον γίγνεσθαι. κατὰ δὴ τοῦτον τὸν λόγον καὶ τοὺς ἀνθρώπους διακοσμεῖ τοῖς καλλίστοις ὅροις, νοεραῖς μὲν ἐνεργείαις ἀκροτάταις, λόγοις δὲ τῆς ψυχῆς τελειοτάτοις, ζωῆς δὲ δυνάμεσιν ὑπερεχούσαις πᾶσαν γένεσιν.

50 (1, 58 Mein.) *Ἐκ τῶν Ἰαμβλίχου* (protr. 2 p. 8, 17 Pist.).

Ψυχῇ ζῶντας ἡμᾶς τῇ ταύτης ἀρετῇ ῥητέον εὖ ζῆν, ὡς ὀφθαλμοῖς ὁρῶντας τῇ τούτων ἀρετῇ καλῶς ὁρᾶν.

51 (1, 59 Mein.) *Ἰαμβλίχου ἐκ τῶν προτρεπτικῶν εἰς φιλοσοφίαν λόγων* (2 p. 8, 20 Pist.).

Καθάπερ εἰς ἄσυλον τέμενος τὴν ἀρετὴν ὁρμητέον, ὅπως πρὸς μηδεμίαν ἀγεννῆ τύχης ὕβριν ὦμεν ἔκδοτοι.

52 (1, 31 Mein.) *Φωκίωνος.*

Οὔτε ἐξ ἱεροῦ βωμὸν οὔτε ἐκ τῆς ἀνθρωπίνης φύσεως ἀφαιρετέον τὸν ἔλεον.

---

θρωπος οὐχ ἁ ψυχὰ μόνον, ἀλλὰ καὶ τὸ σῶμα· τὸ γὰρ ἐξ ἀμφοτέρων ζῷον καὶ τὸ ἐκ τοιούτων ἄνθρωπος. καὶ γὰρ εἰ τᾶς ψυχᾶς ὄργανον τὸ σῶμα πέφυκεν, ἀλλὰ καὶ τῶ ἀνθρώπω μέρος καὶ τοῦτο καὶ ἁ ψυχά. διὸ καὶ τῶν ἀγαθῶν ἃ μὲν ἔντι τῶ ἀνθρώπω, ἃ δὲ τῶν μερέων. καὶ ἀνθρώπω μὲν ἀγαθὸν εὐδαιμοσύνα· τῶν δὲ μερέων τῶ ἀνθρώπω ψυχᾶς μὲν φρόνασις ἀνδρεία δικαιοσύνα σωφροσύνα, σώματος δὲ κάλλος ὑγίεια εὐεκτία εὐαισθησία. τὰ δ᾽ ἐκτὸς πλοῦτος καὶ δόξα καὶ τιμὰ καὶ εὐγένεια πέφυκεν ἐπιγεννάματα ἦμεν τῶ ἀνθρώπω καὶ ἀκόλουθα ⟨τοῖς⟩ φύσει προϋφεστακόσιν ἀγαθοῖς· δορυφορεῖ τε τὰ μήονα τῶν ἀγαθῶν τὰ μέζονα· φιλία μὲν καὶ δόξα καὶ πλοῦτος σῶμα καὶ ψυχάν, ὑγίεια δὲ καὶ ἰσχὺς καὶ εὐαισθησία ψυχάν, φρόνασις δὲ καὶ ἀνδρεία καὶ σωφροσύνα καὶ δικαιοσύνα τὸν νόον τᾶς ψυχᾶς, ὁ δὲ νόος τὸν θεόν· οὗτος γὰρ ὁ κράτιστός ἐστι καὶ ὁ ἀγεμονεύων. καὶ τούτω ἕνεκα καὶ τὰ ἄλλα τῶν ἀγαθῶν δεῖ παρῆμεν. στρατεύματος μὲν γὰρ ἁγεῖται στραταγός, πλωτήρων δὲ κυβερνάτας, τῶ δὲ κόσμω θεός, τᾶς δὲ ψυχᾶς νόος, τᾶς δὲ περὶ τὸν βίον εὐδαιμοσύνας φρόνασις· οὐδὲν γὰρ ἅτερόν

---

1 ‘*καὶ* delet ex corr. *τούτω*’ Thomas de Br referens l. c. p. 6 ‖ **5** *ἔντι* Br sicut Gesn.[2]: *ἔντιν* M[d] *ἐστι* A | *τῶ ἀνθρώπω* A: *ἀνθρώπω* M[d] Br ‖ **6** *εὐδαιμοσύνα* M[d] Br: *εὐδαιμονία* A ‖ **7** *φρόνασις ἀνδρεία* M[d]: *φρόνησις ἀνδρία* A Br ‖ **8** *εὐαισθασία* tacite Schow ‖ **9** *τὰ δ᾽* M[d] Br *τὰ δὲ* ni fallor A ‖ **10** *ἐπιγεννάματα* Cobet mnemos. IX p. 105: *ἐπιγέννημα* libri | *ἦμεν* A: *ἡ μὲν* M[d] *ἐν μὲν* (mox *τῷ ἀνθρώπῳ*) ex corr. Br ‖ **11** *τοῖς* addidit Hirschig | *δορυφορεῖ τε* Halm lect. Stob. p. 42: *δορυφορεῖται* M[d] Br *δωρηφορεῖται* A | *τα μήονα* M[d]: *τὰ μείονα* A *τοῖς μείοσι* ex corr. Br ‖ **12** *μέζονα* M[d]: *μείζονα* A Br ‖ **13** *σῶμα καὶ ψυχὰν* M[d]A: *ψυχήν* in ras. Br ubi fuerat procul dubio *σῶμα καὶ ψυχὰν* (vel -*ὴν*) ‖ **14** *ψυχάν*] *σῶμα* ex corr. Br | *φρόνησις* Br | *ἀνδρεία* scripsi: *ἀνδρία* libri ‖ **15** *καὶ δικαιοσύνα* (sicut scripsit Meineke) Br: *καὶ ἀδικαιοσύνα* M[d] *καὶ ἁ δικαιοσύνα* A | *τῆς ψυχῆς* Br ‖ **16** *ἐστιν* vel *ἐστι* libri: *ἐντι* tacite Schow | *τούτω* scripsi: *τούτων* M[d]A *τούτου* ex corr. Br ‖ **17** *δεῖ παρῆμεν* Canter: *ἀεὶ παρῆμεν* M[d]A *ἀεὶ παρῆκεν* Br | *στρατεύματος* — p. 63, 2 *ἀγαθῶν* om. Br ‖ **18** *στραταγὸς* Canter: *στρατηγὸς* M[d]A | *κυβερνάτας* M[d]A; *κυβερνάτης* Gesn.[2] quod male retinebat Gaisford ‖ **19** *τᾶς δὲ ψ.* Meineke: *τᾶς* (vel *τὰς*) *ψ. δὲ* M[d]A ‖ **20** *οὐθὲν*

ἐστι φρόνασις, εἰ μὴ ἐπιστάμα τᾶς περὶ τὸν βίον εὐδαιμοσύνας, ἢ ἐπιστάμα τῶν κατὰ φύσιν ἀνθρώπω ἀγαθῶν.

113 (1, 77 Mein.) Ἐν ταὐτῷ (fr. 6 l. s. s. p. 555).

Καὶ θεῶ μὲν εὐδαιμοσύνα καὶ βίος ἄριστος, τῶ δ' ἀνθρώπω ἐξ ἐπιστάμας καὶ ἀρετᾶς καὶ τρίτω εὐτυχίας σωματουμένα παραγίνεται. λέγω δὲ ἐπιστάμαν σοφίαν μὲν τῶν θείων καὶ δαιμονίων, φρόνασιν δὲ τῶν ἀνθρωπίνων καὶ ⟨τῶν⟩ περὶ τὸν βίον· τὰς γὰρ λόγοις καὶ ἀποδειξίεσσι ποτιχρεομένας ἀρετὰς δέον ἐπιστάμας ποταγορεύεν· ἀρετὰν δὲ τὰν ἠθικὰν καὶ βελτίσταν ἕξιν τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς, καθ' ἂν καὶ ποιοί τινες ἦμεν λεγόμεθα κατὰ τὸ ἦθος, οἷον ἐλευθέριοι δίκαιοι καὶ σώφρονες· εὐτυχίαν δὲ τὰν παρὰ τὸν λόγον τῶν ἀγαθῶν παρουσίαν καὶ μὴ δι' αὐτὸν γινομέναν. ἐπεὶ ὦν ἃ μὲν ἀρετὰ καὶ ἐπιστάμα ἐφ' ἁμῖν, ἃ δ' εὐτυχία οὐκ ἐφ' ἁμῖν· ἐν δὲ θεωρίαις καὶ πράξεσι τῶν καλῶν τὸ εὐδαιμονέν· αἱ δὲ θεωρίαι καὶ αἱ πράξιες ποτάντεις μὲν οὖσαι λειτουργίαν καὶ ἀνάγκαν ἐπιφέροντι, εὐοδοῦσαι δὲ διαγωγὰν καὶ εὐδαιμοσύναν· γίνεται δὲ ταῦτα ἐν εὐτυχίᾳ· φανερὸν ὅτι οὐδὲν ἅτερόν ἐστιν εὐδαιμοσύνα, εἰ μὴ χρᾶσις ἀρετᾶς ἐν εὐτυχίᾳ.

M^d A: *οὐδὲν* tacite inde a Schowio edd.; de sententia cf. Ps.-Platonis definit. p. 411 D

1 *ἐστι* libri: *ἐντι* tacite Schow || **3** ecl. cum lemm. hab. MA || **4** *τῶ δὲ ἀ.* M^d || **5** *ἐπιστάμας* M^d: *ἐπιστήμας* A || **6** *σωματούμενα* M^d A: corr. Meineke | *ἐπιστάμαν σοφίαν μὲν* M^d A; *σοφίαν μὲν ἐπιστάμαν* ci. Gesn.^{2} p. 15 mrg, cui frustra obsecuti sunt recentiores. ad tria illa (*ἐπιστάμαν, ἀρετάν, εὐτυχίαν*) scriptorem redire (14) iure monet Buecheler || **7** *δαιμονίων* Canter l. c. p. 677: *δαιμόνων* M^d A | *ἀνθρωπίνων* recte Gesn.^{2} mrg: *ἀνθρώπων* M^d *ἀ̅ν̅ώ̅ν* A || **8** *τῶν* tacite addidit Gesn.^{2}, inde vulg. || **9** *ἀποδειξίεσσι* scripsi: *ἀποδείξεσιν* M^d *ἀποδειξίεσϊ* (sic) A | *ποτιχρεομένας* scripsi: *ποτιχρωμένας* M^d *ποτὲ χρωμένας* A || **10** *ποταγορεύεν* Gesn.^{2}: *ποτ' ἀγορεύεν* M^d *τ' ἀγορεύεν* A | *ἠθεικὰν* M^d || **11** *ἦμεν* M^d || **12** scripserim ⟨*καὶ*⟩ *δίκαιοι καὶ* aut *δίκαιοι* [*καὶ*] || **14** *αυτὸν* sed *ο* e corr. M^d || **15** fort. *ἐπιστάμα καὶ ἀρετὰ* | *ἐπιστήμα* M^d || **16** malim *πραξίεσσι* | *εὐδαιμονέν* tacite Canter: *εὐδαιμονῶν* libri || **17** *ποτάντεις* tacite Gesn.^{2}, inde vulg.: *ποτάντις* M^d *ποτ' ἄν τις* A || **20** *ἐστιν* M^d A: *ἐντι* Canter l. c. p. 678 | *αἰ* ut alibi tacite Schow et, puto, recte

114 (1, 79 Mein.) *Ἐν ταὐτῷ* (fr. 8 l. s. c. p. 555).

Ἐπεὶ ὦν εὐδαιμοσύνα χρᾶσις ἀρετᾶς ἐν εὐτυχίᾳ, περὶ ἀρετᾶς καὶ εὐτυχίας λέγωμες, καὶ πρᾶτον περὶ εὐτυχίας. τῶν γὰρ ἀγαθῶν ἃ μὲν οὐκ ἐπιδέχεται ὑπερβολάν, οἷον ἀρετά· οὐ γάρ ἐστιν ὑπερβάλλοισά τις ἀρετὰ καὶ ὑπερβαλλόντως τις ἀγαθός· ἁ γὰρ ἀρετὰ στάθμαν ἔχει τὸ δέον, καὶ ἔστι τῶ δέοντος ἕξις ἐν τοῖς πρακτοῖς· ἁ δ' εὐτυχία καὶ τὰν ὑπερβολὰν ἐπιδέχεται καὶ τὰν μήωσιν. ὑπερβάλλοισα δὲ γεννᾷ τινας κακίας καὶ ἐξίστησι τὸν ἄνθρωπον ἐκ τᾶς κατὰ φύσιν ἕξιος, ὥστε πολλάκις ἀντιβαίνεν καὶ τᾷ συστάσει τᾶς ἀρετᾶς. καὶ οὐ μόνον ἁ εὐτυχία, ἀλλὰ καὶ ἅτεραι αἰτίαι πλείονες. οὐδέποκα γὰρ δεῖ θαυμαίνεν περὶ μὲν αὐλητικὰν ἦμέν τινας ἀλαζόνας, οἳ τὰ ποτ' ἀλάθειαν ἐάσαντες φαντασίᾳ τινὶ ψευδεῖ τὼς ἀμώσως αἱρέοντι, περὶ δὲ τὰν ἀρετὰν μὴ ἦμεν τὸ τοιοῦτον γένος, ἀλλ' ὅσῳ περ σεμνότερόν ἐστι, τοσούτῳ καὶ τὸ ποτιποιούμενον περὶ αὐτὰν πλέον ἦμεν γένος. πολλὰ

---

1 ecl. cum lemm. hab. MA (post ecl. 1, 77 Mein.) Br (post ecl. 1, 76 sed om. ecl. 1, 77 Mein.) ‖ **2** *ὦν* A: *ὤν* M[d] *οὖν* Br ‖ **3** *λέγωμες* tacite Gesn.[2] p. 15, inde vulg.: *λεγομες* M[d] *λέγ$\overset{\omega}{\text{ο}}$μεν* A[1] *λέγομες* Br ubi paulo ante *ἀρετῆς* | *πρῶτον* libri: tacite corr. Mullach ‖ **5** *ἐστιν* libri: *ἐντι* tacite Schow | *ὑπερβάλλοισα* Canter l. c. p. 678: *ὑπερβάλλουσα* M[d]A Br ‖ **7** *ἔστι* libri: *ἔντι* tacite Schow | *τῶ* A[1] *οὖ* superscr. A[1] ut videtur | *πρακτοῖς* sed *οῖς* e corr. M[d]; *πρακτέοις* mavult Meineke v. IV p. LII ‖ **8** *τὰν* (ante *ὑπερβ.*) Br: *τὴν* M[d]A | *μήωσιν* M[d]: *μείωσιν* A *μήοσιν* Br ‖ **9** *ὑπερβάλλοισα* M[d]: *ὑπερβάλλουσα* A Br | scripserim *γεννῇ* ut supra legitur *ὀργῇ* p. 56, 3 cf. Metopi q. d. flor. 1, 64 Mein. | num *ἐξίστατι*? ‖ **10** *τᾶς* Gesn.[2] p. 15: *τὰς* M[d] *τῆς* A Br ‖ **11** *τῇ* Br | *ἁ* M[d]: *ἡ* Br om. A ‖ **12** *ἅτεραι* M[d]A: *ἕτεραι* Br | *πλείονες* M[d]A: *πλείους* Br; *πλήονες* ci. Meineke | *οὐδέποκα* sed posterius *ο* e corr. M[d] ‖ **13** *θαυμαίνεν* Gesn.[2]: *θαῦμαίνεν* M[d] *θαυμένειν* A *θαυμένεν* Br | *περὶ* Schow: *παρὰ* M[d]A Br ‖ **14** *ἀλάθειαν* M[d]A: *ἀλήθειαν* Br ‖ **15** *αἱρέοντι* Valckenaer ad Eur. Hipp. 17: *ἀεὶ ῥέοντι* M[d]A Br; *ἀγρέοντι* ci. Canter l. c. p. 679 | *ἦμεν* A: *εἰ μὲν* M[d] Br | *τοιοῦτον* A: *τοιοῦτο* M[d] ex corr. Br ‖ **16** *σεμνότερόν* M[d]: *σαμνότερόν* A Br; *σεμνοτέρα* ci. Buecheler | *ἐστι* libri: *ἐντι* tacite Schow ‖ **17** *τὸ ποτιποιούμενον* (*-πωούμενον* M[d]) libri; *τὸ* ⟨*τῶν*⟩ *ποτιποιουμένων* ci. Hirschig l. c. p. 182 | *ἦμεν* A: *εἰ μὲν* M[d] Br

γάρ ἐστι τὰ διαστρέφοντα τὰς περὶ τὰν ἀρετὰν ἐπιφανείας, ὧν ἓν μέν ἐστι τὸ τῶν ἐπιβουλευόντων καὶ ποτιποιουμένων γένος· ἅτερα δὲ φυσικὰ πάθεα παρακολουθέοντα ἐνίοκα ποιέοντι ἐναντίαν ἐπιπρέπειαν τᾶς ἀλαθινᾶς διαθέσιος· τινὰ δὲ καὶ δι' ἔθος συνεκτεθραμμένα ἐκ παλαιῶν χρόνων· οὐκ ὀλίγα δὲ καὶ δι' ἁλικίας ἁβατικάς τε καὶ γεροντικάς, καὶ δι' εὐτυχίας ἢ καὶ ἀτυχίας, καὶ δι' ἁτέρως παμπληθέας τρόπως. ὥστε οὐδέποκα δεῖ θαυμαίνεν, εἰ πάντ' ἀντεστραμμένως ἐνίοκα κρίνεται, τᾶς ἀλαθινᾶς διαθέσιος μεταπιπτοίσας. ὥσπερ καὶ τέκτονα τὸν ἄριστον ἦμεν δοκέοντα πολλὰ ἐν τοῖς ὑποκειμένοις ἔργοις ὁρέομες ἁμαρτάνοντα, καὶ στραταγὸν καὶ κυβερνάταν καὶ γραφέα καὶ πάντας ἁπλῶς, καὶ ὅμως οὐκ ἀποστερέομες τᾶς ὑπαρχοίσας ἕξιος· οὕτως οὐδὲ τὸν ἀκολασταίνοντα ἔν τισι καιροῖς οὐδὲ τὸν ἀδικήσαντα οὐδὲ τὸν ἀποδειλιάσαντα ἐς τὼς κακὼς τακτέον ἄνδρας, οὐδὲ μὰν τὼς τούτων τι κατορθώσαντας ἐς τὼς ἀγαθώς· ἀλλὰ τοῖς τε φαύλοις τὸ τυχὲν ποτὲ δοτέον τοῖς τε ἀγαθοῖς

---

1 *ἐστι* libri: *ἐντι* tacite Schow | *περὶ* M[d] Br: *ἐπὶ* A || **2** *ἐστι* libri: *ἐντι* tacite Schow || **4** *ποιέοντα* ex corr. Br | *ἀλαθινᾶς* tacite Schow: *ἀληθινᾶς* (vel *-νὰς*) libri || **6** *διαλκίας* M[d] | *ἁβατικάς τε καὶ γεροντικάς* Halm: *ἀβητικὰς τὲ καὶ γεροντικὰς* M[d] *ἡβατικᾶς τε* (sic) *καὶ γεροντικᾶς* A *ἀβητικάς τε καὶ γεροντικὰς* Br || **7** *ἢ καὶ* M[d] *δὴ καὶ* A Br; malim *ἢ δι'* vel *ἢ καὶ δι'* || **8** *ἑτέρως* Br | *παμπληθέας* M[d] Br: *παμπλαθέας* (ut coniecit Meineke taciteque scripserat Schow) A | *τρόπως* libri nisi quod *τρόπος* M[d] || **9** *ἀντεστραμμένως* M[d]A Br *ἀνεστραμμένως* operarius Gaisfordi ed. Lips., quo deceptus est Meineke | *εἰ*] cf. p. 63, 20 adn. || **10** *ἀλαθινᾶς* tacite Schow: *ἀληθινᾶς* (vel *-ας*) M[d]A Br | *μεταπιπτοίσας* (ut scripsit Canter) M[d]: *-οῦσας* A Br | scripserim *ὥσπερ* ⟨*γὰρ*⟩ *καὶ* vel ⟨*ἀλλ'*⟩ *ὥσπερ καὶ* || **11** *ἦμεν* tacite Gesn.[2], inde vulg.: *εἶμὲν* vel *εἰ μὲν* M[d]A Br || **12** *στραταγόν* M[d]A: *στρατηγόν* Br || **13** *ἀποστερέομες* tacite Canter: *ἀποστεροῦμες* (sine acc. M[d]) M[d]A Br || **14** *ἕξιος* sed *ε* ex *α* ut videtur corr. A[1] | *οὕτως οὐδὲ* tacite Schow: *οὕτη οὐδὲ* M[d] *οὕτι οὐδὲ* A *οὕτοι* (?) *οὐδὲ* ex corr. Br; *οὕτοι δὲ* Gesn.[2] p. 16 qui in margine proposuit *οὕτω* || **16** *ἐς* ubique tacite Schow probante Meinekio: *εἰς* M[d]A Br | *τακτέοι* M[d] || **17** *τούτων* M[d] Br: *τοῦτον* A | *εἰς* libri | *τὼς ἀγαθὼς* A Br: *τοὺς ἀγαθοὺς* M[d] || **18** *ποτε δοτέον* A: *ποτι δοτέον* (vel *ποτιδ.*) M[d] Br; num *ποκὰ δοτέον*?

τὸ διαμαρτάνεν· τὰν δὲ ἀλαθινὰν κρίσιν ⟨κριτέον⟩ οὐ ποθ᾽ ἕνα καιρὸν ἐπιβλέποντας οὐδ᾽ ἐπὶ χρόνου τι πλᾶθος, ἀλλ᾽ ἐπὶ πάντα τὸν βίον. ὥσπερ δὲ τὸ σῶμα βλάπτει μὲν καὶ τὸ τᾶς ἐνδείας καὶ τὸ τᾶς ὑπερβολᾶς εἶδος, οὐ μὰν ἀλλὰ νόσως γε μέζονας ἐμποιὲν πέφυκεν ἁ ὑπερβολὰ καὶ τὰ καλεόμενα περισσώματα· οὕτω καὶ ⟨τὰν⟩ ψυχὰν βλάπτει μὲν καὶ τὸ τᾶς εὐτυχίας ἢ ἀτυχίας εἶδος ἀκαίρως παραγενόμενον, οὐ μὰν ἀλλὰ νόσως γε μέζονας ποὲν πέφυκεν ἁ λεγομένα παρὰ πάντεσσιν εὐτυχία, ὥσπερ οἶνος καταμεθύσκουσα τοῖς ἀγαθοῖς τὰν διάνοιαν.

115 (1, 64 Mein.) *Μετώπου Πυθαγορείου Μεταποντίνου ἐκ τοῦ Περὶ ἀρετῆς* (fr. 5 phil. Gr. II p. 23 Mullach.)

Ἀρετά ἐντι ἀνθρώπω τελειότας φύσιος ἀνθρώπω. ἕκαστον γὰρ τῶν ἐόντων τέλειον καὶ ἄκρον γίνεται καττὰν οἰκείαν τᾶς φύσιος ἀρετάν. ἵππω τε γὰρ ἀρετά ἐντι

1 *ἀλαθινὰν* A: *ἀληθινὰν* M^d Br | *κριτέον* addidi; *τὰν δὲ ἀλάθειαν κριτέον οὐ ποθ᾽ ἕνα κτλ.* ci. Hirschig, *ποιητέον* post *ἐπιβλέποντας* addit Mullach | *οὐ ποθ᾽* sed *οὔ πο* in ras. A^2 ‖ **2** *ἀποβλέποντας* Gesn.², inde vulg. | malim *πλῆθος* ‖ **3** *δὲ* tacite Gesn.², inde vulg.: *καὶ* M^dA Br ‖ **5** *νόσως γε* Buecheler: *νόσως ἔτι* A Br *νόσα ἐστι* M^d; *νόσως τε* Gesn.², inde vulg. | *μέζονας* M^d: *μείζονας* A Br | *ἐμποιὲν* Canter tacite p. 680: *ἐμποιεῖν* libri ‖ **6** *περισσώματα* sed *ι* in ras. Br | *τὰν* addidi ‖ **8** *νόσως γε* Buecheler: *νόσοσ τὲ καὶ* M^d *νόσως τε* A Br; *νόσως ἔτι* Meineke | *μέζονας* M^d: *μείζονας* A Br | *ποὲν* M^dA: *ποιεῖν* Br; fort. *ποιὲν* ‖ **9** *πάντεσσιν* M^dA: *πάντεσιν* Br | *ὥσπερ οἶνος*] cf. Seneca epist. 36, 2 '*at bene aliquis illam* (sc. *felicitatem*) *fert*'. *sic, quomodo vinum* ‖ **10** *καταμεθύσκουσα* M^d Br: *καταμεσθύσκουσα* A; an *-οισα*? | *τὴν* Br ‖ **11** ecl. habent integram MA Br (post ecl. 1, 79 Mein.), v. 11—15, v. 1—6 p. 67 Tr. p. 3 (post ecl. 1, 60 Mein.) v. 7 *ἀνάγκα* — 8 p. 67 *προαίρεσιν* Tr. p. 4 (post ecl. 1, 67 Mein.), dein idem pergit *τῷ μὲν οὖν λογικῷ* (id est *τῶ μὲν γὰρ λογιστικῶ* p. 69, 11) usque ad eclogae finem. lemma hab. MA (*πυθαγορίου* A), *ἐκ τοῦ αὐτοῦ* nec plura Br; v. *ἐκ τοῦ* (*ἐκ τῆς* M) *περὶ ἀρετῆς* om. Tr. ‖ **13** *ἔντι* M^dA Br *ἐντὶ* Tr. | *τελειότας* libri nisi quod *τελειοτάτας* A^1; 'fort. ubique *τεληότης* restituendum' Meineke v. IV p. LII ‖ **14** *κattὰν* vel *καττan* M^dA: *κατὰ τὰν* Br *κατὰ τὴν* Tr., inde vulg. ‖ **15** *οἰκήαν* Canter tacite p. 684 ut paulo ante *τέληον* | *τᾶς φύσιος ἀρετάν* Alb. Frisching apud Valckenaerium ad Herod. p. 507: *τᾶς ἀρετᾶς* (*τὰσ ἀρετὰσ* M^d) *φύσιν* M^dA Tr. Br | *τὲ* suppl. A^2 | *ἔντι* suppl. A^1

ἃ ἐς τὸ ἄκρον ἄγοισα τὰν τῶ ἵππω φύσιν, καὶ ἐπὶ τῶν μερέων δὲ τῶν καθ᾽ ἕκαστον ὁ αὐτὸς λόγος. ὀπτίλων τε γὰρ ἀρετὰ ὀξυδορκία· αὕτα δ᾽ ἀκρότας ἐντὶ τᾶς ὀπτίλων φύσιος. καὶ ὠάτων ἀρετὰ ὀξυακοΐα· αὕτα δ᾽ ἀκρότας ἐντὶ τᾶς ὠάτων φύσιος. καὶ ποδῶν ἀρετὰ ποδώκεια· [καὶ] αὕτα δ᾽ ἀκρότας ἐντὶ τᾶς ποδῶν φύσιος. ἀνάγκα δ᾽ ἀρετὰν πᾶσαν τρία ταῦτα ἔχεν, λόγον καὶ δύναμιν καὶ προαίρεσιν· λόγον μέν, ᾧ κρίνει καὶ θεωρεῖ· δύναμιν δέ, ᾇ ἀντέχει καὶ κρατεῖ· προαίρεσιν δέ, ᾇ στέργει καὶ ἀγαπῇ. τὸ μὲν ὦν κρίνεν καὶ θεωρὲν ἐντὶ τῶ διανοητικῶ μέρεος τᾶς ψυχᾶς, τὸ δ᾽ ἀντέχεν καὶ κρατὲν ἴδιον τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς, τὸ δὲ στέργεν καὶ ἀγαπῆν κοινὸν καὶ τῶ διανοητικῶ καὶ τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς. συνέστακε γὰρ προαίρεσις ἐκ διανοίας καὶ ὀρέξιος· ὧν ἁ μὲν διάνοια ἀπὸ τῶ λογικῶ μέρεός ἐντι τᾶς ψυχᾶς, ἁ δὲ ὄρεξις ἀπὸ τῶ ἀλόγω. τὸ δὲ πλῆθος τᾶν ἀρετᾶν ἁπασᾶν ἐκ τῶν μερέων τᾶς ψυχᾶς κατίδοιτο

1 *ἄγοισα* $\mathrm{M^d}$ Tr. Br: *ἄγουσα* A | *μερέων* Tr.: *μερῶν* $\mathrm{M^d}$A Br || **2** *ὀπτίλων* $\mathrm{M^d}$A *ὀπτίλλων* Br: *ὀμμάτων* Tr., inde vulg. || **3. 4. 6** *αὕτα* Meineke v. IV p. LII: *αὐτὰ* libri || **3** *ὀπτίλων* ci. Meineke l. c. p. LII: *ὀφθαλμῶν* libri. cf. Phintyis ecloga flor. 74, 61 p. 63, 7 Mein. || **4** *ὀξυκοΐα* Tr. || **5** *ποδώκεια* A Br: *ποδόκια* $\mathrm{M^d}$ *ποδωκεία* Tr. || **6** *καὶ* seclusit Meineke | *δ᾽* (vel *δὲ*) *ἀκρότας* (quod coniecit Gesn.^{2} p. 7 mrg) Br, cf. Beving *remarques crit.* p. 3 sq.: *δὲ ἀρετὰ* $\mathrm{M^d}$A Tr. | *τᾶς* tacite Canter: *τῆς* $\mathrm{M^d}$A Br *τῶν* Tr. | *φύσιος* $\mathrm{M^d}$ (?) Br terminatio hodie iam non agnoscitur in A, om. Tr. || **7** *ἀνάγκα* libri; *ἀνάγκη* Gesn.^{2}, inde vulg. | *πᾶσαν* om. Tr. p. 4 | *ταῦτα* libri; *ταῦτ᾽* Gesn.^{2}, inde vulg. | *ἔχεν* A: *ἔχειν* $\mathrm{M^d}$ Tr. Br | *καὶ* ante *δύν.* om. Tr. || **8** *λόγον μὲν* — p. 69 v. 11 *ἰδιότατες αὐτῶν* om. Tr. || **9** *ᾶ* A: *ἃ* $\mathrm{M^d}$ *ῷ* Br; *ᾧ* Gesn.^{2}, inde vulg. | *ᾇ* A (ubi *δ᾽* in praecedenti): *ἃ* $\mathrm{M^d}$ *ᾧ* (ut Gesn.^{2}) Br || **10** *τὸ* $\mathrm{M^d}$ Br: *τῶ* A | *ὧν* A *ὧν* $\mathrm{M^d}$: *οὖν* Br || **11** *κρατὲν* $\mathrm{M^d}$ Br: *κρατεῖν* A || **12** v. *τὸ δὲ στ. καὶ ἀγαπῆν* (-*πᾶν* A) — 14 *τᾶς ψυχᾶς* propter homoeoteleuton interciderunt in $\mathrm{M^d}$, inde vulg.: ex Br primus addidit Beving *remarques crit.* p. 4 sed praebet etiam A quod praetervidit Gaisford || **14** *συνέστακε* $\mathrm{M^d}$A: *συνέστηκε* Br || **15** *ὧν ἁ μὲν* Hirschig: *ἃ μὲν ὧν* $\mathrm{M^d}$ *ἁ μὲν οὖν* A *ἁ μὲν ὦν* Br || **16** *τᾶ* (*τα* $\mathrm{M^d}$) *ψυχᾶ* $\mathrm{M^d}$A Br: corr. Hirschig | *πλῆθος* libri; *πλᾶθος* tacite Canter || **17** *τᾶν ἀρετᾶν ἁπασᾶν* tacite Gesn.^{2} p. 7: *τὰν ἀρετὰν ἅπασαν* $\mathrm{M^d}$A Br, sed horum similia non ubique adnotavimus | *τῆς ψυχῆς* Br

κά τις, ὡσαύτως δὲ καὶ τὰν γένεσιν καὶ τὰν σύστασιν τᾶς ἀρετᾶς. ἐπεὶ γὰρ τῶν μερέων τᾶς ψυχᾶς δύο τὰ πρᾶτα, τὸ μὲν λογιστικὸν τὸ δ᾽ ἄλογον· καὶ λογιστικὸν μέν, ᾧ κρίνομες καὶ θεωρέομες· ἄλογον δέ, ᾧ ὁρμῶμες καὶ ὀρεγόμεθα· ταῦτα δ᾽ ἀλλάλοις ἢ συμφωνοῦντι ἢ διαφωνοῦντι, ἁ δὲ μάχα καὶ διαφωνία γίνεται αὐτοῖς δι᾽ ὑπερβολὰν καὶ ἔλλειψιν· φανερὸν ὡς, ὅκκα μὲν τὸ λογιστικὸν μέρος τᾶς ψυχᾶς ἐπικρατῇ τῶ ἀλόγω, γίνεται καρτερία καὶ ἐγκράτεια· ὅκκα δὲ τὸ ἄλογον μέρος τᾶς ψυχᾶς τῶ λογιστικῶ, ἀκρατία καὶ μαλακία· ὅκκα δὲ τὸ μὲν ἄγῆται, τὸ δ᾽ ἕπηται, καὶ ἀμφότερα συμφωνῇ ἀλλάλοις, τὸ τανικαῦτα ἀρετά. ἁ μὲν ὦν καρτερία καὶ ἐγκράτεια γίνεται μετὰ λύπας· ἀλλ᾽ ἁ μὲν καρτερία ἐν τῷ ἀντέχεν πόνῳ, ἁ δ᾽ ἐγκράτεια ἐν τῷ ἀντέχεν ἁδονᾷ. ἁ δ᾽ ἀκρατία καὶ μαλακία ἐν τῷ μὴ ἀντέχεν μηδὲ κρατέν. καὶ διὰ τοῦτο συμβαίνει φεύγεν τἀγαθὰ τὼς ἀνθρώπως διὰ λύπαν, ἀποβάλλεν δ᾽ αὐτὰ διὰ ἁδονάν. καὶ τοὶ ἔπαινοι δὲ καὶ ψόγοι καὶ τὰ καλὰ ⟨καὶ κακὰ⟩ πάντα τὰ περὶ τὸν ἄνθρωπον γίνεται ἐν τούτοις τοῖς μέρεσι τᾶς ψυχᾶς. καὶ καθόλω μὲν ἁ τᾶς ἀρετᾶς σύστασις γίνεται τοῦτον

2 ἐπεὶ Buecheler et Wachsmuth: ἐπὶ libri; cf. p. 61, 13. 69, 2. 71, 6. 9 ‖ **3** πρᾶτα, quod commendaverat Meineke, Br: πρῶτα M[d]A ‖ **4** θεωρέομες A Br: θεωρομες M[d]; θεωροῦμες Gesn.², inde vulg. | ὁρμῶμες M[d] Br: ὁρμῶμεν A ‖ **5** ἀλλάλοις A: ἀλλήλοις M[d]Br ‖ **6** διαφων (α supra) sed ï post ν eraso ut videtur A ‖ **7** φ. ὡς scripsi coll. p. 69, 9: φανερὸν ὦν libri; φ. ὦν ⟨ὅτι⟩ Hirschig ‖ **8** ὅκκα A: οὔκκα M[d] ὄκκα Br | ἐπικρατῇ Hirschig: ἐγκρατῆ (vel -ῇ) M[d]A Br ‖ **9** ὅκκα δὲ — 10 καὶ μαλακία om. operarius Gesn.² p. 7, inde vulg. ‖ **10** τᾶς ψυχᾶς Hirschig: τὰς ψυχὰς M[d] ψυχᾶς A τῆς ψυχῆς Br | τῶ λογιστικῶ, quod inserendum esse vidit Hirschig, habet Br, si Pauli Thomae silentio fidere licet: om. M[d]A | ἀκρατία scripsi: ἀκρασία libri ‖ **11** ἄγηται M[d] | συμφωνῇ tacite Schow: συμφωνεῖ M[d] ABr ‖ **12** ἀλλάλοις M[d]A: ἀλλήλοις Br | τανικαῦτα tacite Schow: τηνικαῦτα libri | ἀρετά sit an ἀρετή in Br non satis perspicuum ‖ **13** γίνεται om. A ‖ **14** ἁδονᾶ M[d]: ἁδονὰς teste Gaisfordo A ἡδονᾷ Br ‖ **15** ἀκρατία Gesn.², inde vulg.: ἀκρασία libri ‖ **16** τὰ ἀγαθὰ A ‖ **17** ἀποβάλλεν ci. Meineke: ἀποβαλὲν M[d]A ἀποβάλεν Br | ἁδονάν A: ἡδονὴν M[d] ἡδονάν Br | καί τοι libri ‖ **18** καὶ κακὰ addidit Meineke post v. πάντα, rectius post v. τὰ καλὰ Buecheler

τὸν τρόπον· τὰ δ' εἴδεα αὐτᾶς καὶ τὰ μέρεα οὕτως κά τις ἀθρήσαιτο. ἐπεὶ γὰρ τᾶς ψυχᾶς δύο μέρεα, τὸ μὲν λογιστικὸν τὸ δὲ ἄλογον, καὶ τὸ μὲν λογιστικόν ἐντι, ᾧ κρίνομες καὶ θεωρέομες, τὸ δ' ἄλογον, ᾧ ὁρμῶμες καὶ ὀρεγόμεθα, τῶ δὲ ἀλόγω τὸ μὲν θυμοειδὲς τὸ δ' ἐπιθυμητικόν, καὶ τούτω τὸ μὲν οἷον ἀμυντικὸν καὶ ὑπερμαχητικὸν ποττῶς πλατίον θυμοειδὲς ὀνυμάζεται, τὸ δ' οἷον ὀρεκτικὸν καὶ ποθητικὸν τᾶς οἰκείας τῶ σώματος συστάσιος ἐπιθυμητικόν· φανερὸν ὡς κατὰ λόγον τοῖς μέρεσι τούτοις τᾶς ψυχᾶς καὶ τὸ πλῆθος τᾶν ἀρετᾶν ἀκολούθακεν καὶ ταὶ διαφοραὶ καὶ ἰδιότατες αὐτῶν. τῶ μὲν γὰρ λογιστικῶ μέρεος τᾶς ψυχᾶς ἀρετὰ ἁ φρόνησις, κριτικὰ γὰρ ἐντὶ καὶ θεωρητικὰ ἕξις· τῶ δὲ θυμοειδέος ⟨ἁ⟩ ἀνδρεία· ἕξις γὰρ ἐντὶ ἀντερειστικὰ καὶ ὑποστατικὰ τῶν δεινῶν· τῶ δ' ἐπιθυμητικῶ ἁ σωφροσύνα· μετριότας

1 τὰ δὲ (praetuli δ') εἴδεα Gesn.[3] p. 7, inde vulg.: κάδε ιδεα M[d] κ' ἁ δὲ ἴδε (ai supra) A τὰ δὲ ἴδεα Br | κά τις Gaisford: καί τις libri ‖ **2** ἀθρήσαιτο 'qua forma sequiores usi sunt' Meineke v. IV p. LII: ἀθρησάτω libri ‖ **3** post ἄλογον habent v. τῶ δὲ ἀλογω (τῶ δὲ ἀλόγω om. M[d] Br) τὸ μὲν θυμοειδὲς τὸ δ' ἐπιθυματικὸν (ἐκθυμα- A ἐπιθυμη- Br) M[d]A Br: post ὀρεγόμεθα (5) haec traiecit Halm lect. Stob. p. 39 ‖ **4** θεωρέομες tacite Canter l. c. p. 686: θεωροῦμες (vel -ούμες) M[d]A Br ‖ **6** τούτω tacite Canter: τούτου libri | ὑπερμαχατικὸν libri ‖ **7** ποττῶς tacite Schow: ποττοὺς libri | πλατίον recte mavult Meineke: πλάσιον M[d] πλασίον A πλησίον Br; πλατίον infra servatum in A p. 80, 9 | ὀνυμάζεται M[d]A: ὀνομάζεται Br ‖ **8** οἰκῄας Canter: οἰκείας· libri | τῶ M[d]A: τοῦ Br ‖ **9** ἐπιθυματικόν libri ‖ **10** πλῆθος A: πλάθος M[d] πλαθος initio habuerat Br sed correctum est in πάθος; πλᾶθος Gesn.[2] p. 8 | τᾶν ἀρετᾶν Gesn.[2]: τὰν ἀρετὰν libri ‖ **11** ταὶ M[d]: αἱ A τε Br | ἰδιότατες M[d] Br: ἰδιότητες A | 'debuit αὐτᾶν' Buecheler ‖ **12** τῶ μὲν γὰρ λογιστικῶ e. q. s. tanquam Metopi continuant M[d]A Br, Theagi dederat Gesn.[2] p. 10 sq. perturbatione deceptus quae invaserat ed. Tr. p. 4, unde vulg. meliorum librorum memoriam revocavit Gaisford, vulgatam secutus est Mullach II p. 21 | τῶ (τὸ M[d]) μὲν γὰρ λογιστικῶ μέρεος M[d]A Br: τῷ μὲν οὖν λογικῷ μέρει Tr. p. 4, inde vulg.; num τῶ μὲν ὦν λογιστικῶ μέρεος? | φρόνησις M[d] Tr.: φρόνασις A Br ‖ **13** τοῦ Tr. ‖ **14** ἁ addidit Meineke | ἀνδρεία Tr.: ἀνδρία M[d]A Br | ἀντερειστικα Tr.: ἀντεριστικὰ M[d]A Br ‖ **15** ἐπι-

γὰρ ἐντὶ καὶ κατοχὰ ποθ' ἁδονὰν τὰν διὰ σώματος· ὅλας δὲ τᾶς ψυχᾶς ἁ δικαιοσύνα. φαῦλοι μὲν γὰρ τοὶ ἄνθρωποι γίνονται ἢ διὰ κακίαν ἢ δι' ἀκρατίαν ἢ διὰ θηριότατα· ἀδικοῦντι δ' ἀλλάλως ἢ διὰ κέρδος ἢ δι' ἁδονὰν ἢ διὰ φιλοτιμίαν. ἁ μὲν ὦν κακία τῶ λογιστικῶ μέρεος τᾶς ψυχᾶς ἐντὶ οἰκειοτέρα· ποτέοικε γὰρ ἁ μὲν φρόνησις τᾷ τέχνᾳ, ἁ δὲ κακία τᾷ κακοτεχνίᾳ· ἕξιν μαχανάσιος γὰρ ποθὲν εὑρίσκει τὸ ἄδικον· ἁ δ' ἀκρατία μᾶλλον τῶ ἐπιθυμητικῶ· ἐν γὰρ τῷ κρατὲν ἁ ἐγκράτεια, καὶ ἐν τῷ μὴ κρατὲν ἁ ἀκρατία, κρατοῦντι δὲ ἁδονᾶς. ἁ δὲ θηριότας τῶ θυμοειδέος· ὅκκα γὰρ τᾷ ἐπιθυμίᾳ τῶ κακῶς ποιῆσαι χαρίζηταί τις, οὐχ ὡς ἄνθρωπος ἀλλ' ὡς θηρίον, τὸ τοιόνδε ὀνυμάζεται θηριῶδες. ἀκόλουθα δὲ καὶ τὰ ἀποτελέσματα τᾶν διαθεσίων

θυμητικῶ (*-κῷ* Tr.) A Tr.: *ἐπιθυματικῶ* M^{d} Br | *μετριότας* libri nisi quod *-της* Tr.

1 *γὰρ* om. M^{d}A Br | *ποθ' ἁδονὰν τὰν* Hirschig: *ποτ' ἁδονὰν τὰν* Br (vide Beving *remarques crit.* p. 5) *τις ἁδονὰν τὰν* M^{d}A *τις ἡδονῶν τῶν* Tr. ‖ **2** *γάρ τοι* libri ‖ **3** *ἀκρατίαν* libri: *ἀκρασίαν* Meineke. saepius *ἀκρατία* in his eclogis codices offerunt, sed haud ita raro corruptum in *ἀκρασία*. erit fortasse rectius *ἀκράτεια* ubi opponitur *ἐγκράτεια*, contra *ἀκρατία* ubi Attici *ἀκρασία* ‖ **4** *θηριότατα* Canter l. c. p. 682: *θηριότητα* M^{d}A Tr. Br | *ἄλλως* ex corr. Br ‖ **5** *ὦν* vel *ὧν* M^{d} Br: *οὖν* Tr. om. A | *τοῦ λογιστικοῦ* Tr. ‖ **6** *ἐντὶ* Tr. Br *ἔντι* M^{d}: *ἔντιν* A, unde *ἐντὶν* Gaisford et Meineke, vix recte | *οἰκηοτέρα* tacite Schow p. 24 | *ποτέοικε* Meineke: *προσέοικε* libri ‖ **7** *φρόνησις* Br: *-ασις* M^{d}A Tr. | *τῇ* M^{d} | *ἕξιν* Gaisford: *ἐξείη* M^{d} Br *ἕξειν* A *ἐξεῖν* Tr. | *κακοτεχνίᾳ ἕξιν· ⟨ἐκ⟩ μαχ.* ci. Buecheler ‖ **8** *ἀκρασία* libri ‖ **9** *ἐπιθυμητικῶ* A Br: *ἐπιθυματικῶ* M^{d} *ἐπιθυμητικῷ* Tr. | *κρατὲν* fere libri nisi quod *κρατεῦν* Tr. | *ἁδονᾶς* addidit post *κρατὲν* Gesn.[1] p. 6, inde vulg., non recte ‖ **10** *μὴ κρατεῦν* Tr. | *ἡ* Tr. | *ἀκράτεια* (*-τεία* Br *-τία* Tr.) *κρατοῦντι* (*οὐ κρατοῦντι* Tr.) *δὲ ἁδονᾶς* M^{d}A Tr. Br: *ἀκρατία* (*ἀκρασία* Meineke) ceteris deletis Gesn.[1], inde vulg. in vulgata immerito acquieverunt recentiores ‖ **11** *θηριότης* Br | *τῶ θυμοειδέος* quod coniecerat Gesn.[1] mrg, idem recepit ed. sec. p. 11, inde vulg.: *τῶ θυμοειδὲς* M^{d} *τὸ θυμοειδὲς* A Tr. Br | *ὅκα γὰρ τῇ* Tr. ‖ **12** *τῶ* A: *τὸ* M^{d} Tr. Br ‖ **13** *ὀνυμάζεται* Canter: *ὀνομάζεται* (*ὀν-* M^{d}) M^{d}A Tr. Br | *θηριῶδες* om. Tr. ‖ **14** *τᾶν* Br: *τὰν* M^{d} *τῶν* A Tr | *διαθεσῖ*^{ων} compendiose A: *διαθέσεων* M^{d} Tr. Br

ταυτᾶν, ἅν περ ἕνεκα πράσσοντι. ἅ μὲν γὰρ πλεονεξία ἀπὸ κακίας, ἁ δὲ κακία ἀπὸ τῶ λογιστικῶ μέρεος τᾶς ψυχᾶς. καὶ ἁ μὲν φιλοτιμία ἀπὸ τῶ θυμοειδέος· αὐτὰ δ' ἐν ὑπερβολᾷ γενομένα, γεννῇ τὰν θηριότατα. πάλιν δὲ ἁ μὲν ἁδονὰ ἐν τῷ ἐπιθυμητικῷ, σφοδρότερον δὲ μαστευομένα, γεννῇ τὴν ἀκρατίαν. ὥστ' ἐπεὶ τὸ ἀδικὲν γίνεται δι' αἰτίας τοσαύτας, φανερὸν ὅτι τὸ δικαιοπραγὲν γίνεται διὰ τὰς ἴσας. φύσει γὰρ ἁ μὲν ἀρετὰ ἀγαθοποιὸς καὶ ὠφελητικά, ἁ δὲ κακία κακοποιὸς καὶ βλαπτικά. ἐπεὶ δὲ τῶν τᾶς ψυχᾶς μερέων τὸ μὲν ἐντὶ ἁγεόμενον τὸ δ' ἑπόμενον, αἱ δ' ἀρεταὶ καὶ αἱ κακίαι περὶ ταῦτα καὶ ἐν τούτοις· φανερὸν ὅτι καὶ τᾶν ἀρετᾶν ταὶ μὲν ἐντὶ ἁγεμονικαὶ ταὶ δ' ἑπητικαὶ ταὶ δὲ σύνθετοι ἐκ τούτων. ἁγεμονικαὶ μὲν οἷον ἁ φρόνησις· ἑπητικαὶ δέ, οἷον ⟨ἁ⟩ ἀνδρεία καὶ σωφροσύνα, σύνθετοι δ' ἐκ τούτων, οἷον ἁ δικαιότας. τὰ δὲ πάθεα τᾶς ἀρετᾶς ὕλα· περὶ ταῦτα

1 *ταυτᾶν* scripsi: *ταῦταν* M[d] *ταύταν* A Br *τούτων* Tr., inde vulg. | *ἅν* (vel *ἄν*) *περ ἕνεκα πράσσοντι* M[d]A Br: *ὧν περ ἕνεκα πράσσονται* Tr., inde vulg. | *αἱ μὲν γὰρ πλεονεξίαι* Tr. ‖ **2** *τοῦ λογιστικοῦ* Tr. ‖ **3** *ἡ μὲν* Tr. | *τῶ* Canter: *τοῦ* M[d]A om. Tr. Br | fuerat *αὐτα* in A sed posterius *α* erasum est ‖ **4** *γενομένα* tacite Gesn.[1] p. 6, inde vulg., et sic, ut videtur, Br: *γενόμενα* Tr. *γινόμενα* M[d]A; praestat *γινομένα* coll. versu 6 | *γεννῇ* M[d]A Br: *γεννᾷ* Tr. | *τὴν* Tr. | *θηριότατα* Canter: *θηριότητα* libri ‖ **5** *ἁδονὰ* ut videtur A: *ἡδονὰ* M[d] Tr. Br | *ἐπιθυμητικῶ* M[d]A: *-ιτικῷ* Tr. *-ατικῷ* Br ‖ **6** *γεννῇ* (*-ῆ*) M[d]A *γέννη* Br: *γεννᾷ* Tr. | *τὰν* M[d] Br: *τὴν* A Tr. | *ἀκρατίαν* M[d] Br: *ἀκριτίαν* A *ἀκρητίαν* Tr.; *ἀκρασίαν* Meineke | *ἐπὶ* sed *ει* superscr. A[1] *ἐπεὶ* Tr. Br: *ἐπὶ* M[d] | *ἀδικὲν* M[d] Br: *ἀδικεῖν* A *ἀδικεῦν* Tr. ‖ **7** *δικαιοπραγὲν* M[d] Br: *-γεῖν* A Tr. ‖ **8** *φύσει* libri: *φύσι* Meineke IV p. LIV ‖ **10** *ἐντὶ* Tr.: *ἐστιν* M[d] Br *ἐστὶν* A | *ἀγεόμενον* M[d] Br ‖ **12** *τᾶν ἀρετᾶν* Canter l. c. p. 683: *τὰν ἀρετὰν* M[d]A Br *τῶν ἀρετῶν* Tr., inde vulg. | *ἡγεμονικαὶ* Tr. ‖ **13** *ἑπητικαὶ* Tr.: *ἑπιτικαὶ* (vel *ἐπι-*) M[d]A Br sed spir. asperum ex leni fecit Br | *ἐκ τούτων* om. Br; scripserim *ἐκ ταυτᾶν* coll. v. 1 ‖ **14** *φρόνησις* A Tr. Br: *φρόνασις* M[d] | *ἑπητικαὶ* Tr.: *ἑπιτικαὶ* A Br *ἐπιτικαὶ* M[d] sed corr. Br ut supra | *ἁ* tacite addidit Gaisford ed. Lips. ‖ **15** *ἀνδρεία* Tr.: *ἀνδρία* M[d]A Br | *σωφροσύνα* M[d] Tr.: *σωφροσύνη* A Br | *σύνθετοι* A: *σύνθετος* M[d] Tr. Br | malim *ἐκ ταυτᾶν* ‖ **16** *δικαιότας* proposuit Canter l. c. p. 683 adn.: *δικαιότης* M[d]A Br *δικαιοσύνα* Tr. quod verum videtur | *ὕλαν* Tr.

γὰρ καὶ ἐν τούτοις ἁ ἀρετά. τῶν δὲ παθέων τὸ μὲν ἑκούσιον τὸ δ' ἀκούσιον· καὶ ἑκούσιον μὲν ἁδονά, ἀκούσιον δὲ λύπα. ταὐτὰ δὲ ταῦτα καὶ ἐπιτείνοντι καὶ ἀνίεντι τοὶ πολιτικοὶ συναρμοζόμενοι τὰ ἄλογα μέρεα τᾶς ψυχᾶς ποτὶ τὰ λόγον ἔχοντα. τᾶς δὲ συναρμογᾶς ὅρος τὸ μήτε διὰ τὰν ἔνδειαν μήτε διὰ τὰν ὑπερβολὰν ἀπείργεσθαι τὸν νόον τὸ ἴδιον ἔργον ἐπιτελέν. συντέτακται γὰρ τὸ χέρηον ἕνεκα τῶ βελτίονος, ὡς ἐν μὲν τῷ κόσμῳ τὸ ἀειπαθὲς πᾶν μέρος ἕνεκα τῶ ἀεικινάτω, ἐν δὲ τᾷ συζυγίᾳ τῶν ζῴων τὸ θῆλυ ἕνεκα τῶ ἄρρενος· τὸ μὲν γὰρ σπείρει τὰν ψυχὰν γεννῶν, τὸ δὲ μόνον τὰν ὕλαν παρέχεται τῷ γεννωμένῳ· ἐν δέ γε τᾷ ψυχᾷ τὸ ἄλογον ⟨ἕνεκα⟩ τῶ λογικῶ. συντέτακται γὰρ καὶ ὁ θυμὸς καὶ ἁ ἐπιθυμία ποτὶ τὸ πρᾶτον μέρος τᾶς ψυχᾶς, τὸ μὲν ὥσπερ δορυφόρος τις καὶ σωματοφύλαξ, τὸ δ' ὡς οἰκονόμος καὶ οἰκουρὸς τῶν ἀναγκαίων· ὁ δὲ νόος ἐπ' ἄκρας τᾶς κορυφᾶς τῶ σώματος ἱδρυμένος καὶ ἔχων περιαυγέα καὶ διαυγέα τὰν ἔποψιν, μαστεύεται τὰν τῶν ἐόντων φρόνησιν· καὶ τοῦτ' ἔργον ἐντὶ αὐτῷ κατὰ φύσιν, τὸ μαστευσάμενον καὶ κτησάμενον ἀκολουθῆσαι τοῖς βελτίοσιν αὐτῶ καὶ τιμιω-

1 *ἁ ἀρετά* M^d A Br: *αἱ ἀρεταί* Tr. ‖ **3** *ταὐτὰ δὲ — 16 τῶν ἀναγκαίων* om. Tr. | *καὶ ἀνίεντι* quae initio omiserat suppl. A¹ sed *ανιεντι* sine acc. ‖ **4** *συναρμοζόμενοι* scripsi coll. p. 76, 8 vel Diotogene Stobaei flor. 48, 62 p. 262, 30 Mein.: *συναρμόζομεν* M^d Br *συναρμόξομεν* A; *συναρμόζοντες* ci. Gesn.² p. 11 mrg, quod receperunt Canter Meineke Mullach ‖ **4. 5** *τὰ ἄλλα μ. τ. ψ. π. τὸ λόγον ἔχον* temere Gesn.², inde vulg. ‖ **5** *τᾶς δὲ* A Br: *ταυτὰς δὲ* M^d; *ταύτας δὲ* Gesn.², inde vulg. ‖ **6** *μὴ δὲ* A ‖ **7** *ἐπιτελέν* M^d: *ἐπιτελεῖν* A *ἐπιτελέειν* Br | *χέρηον* A: *χέριον* M^d Br ‖ **8** *μὲν* om. A. ‖ **10** *τῶ ἄρρενος* Canter: *τῶ ἄρσενος* M^d Br *τοῦ ἄρρενος* A ‖ **11** *μόνον* M^dA: *μόναν* Br ‖ **12** *ἕνεκα* addiderunt Wachsmuth et Buecheler ‖ **13** *πρᾶτον* M^dA: *πράττον* Br ‖ **16** *τᾶς κορυφᾶς* A Br *τὰς κορυφὰς* M^d: *τῆς κορυφῆς* Tr. p. 5 | *τῶ* M^d Br: *τοῦ* A Tr. ‖ **17** *τὴν* ante *περ.* addit A | *περιαγέα* M^d ‖ **18** *φρόνησιν* M^dA: *φρόνασιν* Tr. Br ‖ **19** *ἐντὶ* Tr.: *ἐστὶν* M^d Br *ἔστιν* A | *αὐτὸ* A ‖ **19. 20** *κτησάμενον* Tr. *κτησάμενον* sed *η* ex corr. Br: *κτισάμενον* M^dA; *κτασάμενον* tacite Schow quod commendat Meineke. sed Doricum est *πασάμενον*, vide praeterea p. 86, 1 ‖ **20** *αὐτῷ* M^d Br: *αὐτοῦ* A Tr.

τάιοις. ἀρχὰ γὰρ καὶ αἰτία καὶ κανὼν ἐντι τᾶς ἀνθρωπίνας εὐδαιμοσύνας ἁ τῶν θείων καὶ τιμιωτάτων ἐπίγνωσις.

116 (1, 69 Mein.) *Ἐν ταὐτῷ* (phil. Graec. II p. 22 Mullach.).

Καθόλω μὲν ὦν ἀρετὰ συναρμογά τις ἐντὶ τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς ποτὶ τὸ λόγον ἔχον. γίνεται δὲ αὐτὰ τῷ καττὰν ἁδονὰν καὶ τὰν λύπαν ὅρον ἐπιδέξασθαι τὸν τῶ δέοντος. οὐδὲν γὰρ ἅτερον ἁ ἠθικὰ ἀρετὰ εἰ μὴ ἕξις τῶ δέοντος· αὐτὸ δὲ τὸ δέον ἐντὶ ὅπερ δεῖ ἦμεν, τὸ δὲ μὴ δέον ὅπερ οὐ δεῖ ἦμεν. τῶ δὲ μὴ δέοντος εἴδεε δύο, τὸ μὲν ὑπερβολὰ τὸ δ' ἔλλειψις. καὶ ὑπερβολὰ μὲν ἐντὶ τὸ πλέον τῶ δέοντος, ἔλλειψις δὲ τὸ ἔλασσον τῶ δέοντος. τὸ δὲ δέον αὐτὸ ἐὸν ὅπερ δεῖ ἦμεν καὶ ἄκρον [ἂν] ὑπάρχοι ⟨κα⟩ καὶ μέσον· ἄκρον μὲν ὅτι οὔτ' ἀφαιρέσιος οὔτε

---

1 *κανὼν* libri nisi quod *κοινὼν* sed *οι* ex corr. M^{d} | *ἐντι* ut videtur Br: *ἔν τι* M *ἔν τι* Tr. *ἐστὶ* A ‖ **4** ecl. cum lemm. hab. MA Br (post ecl. 1, 64 Mein.), lemmate omisso sine maiore distinctione cum ecloga priore coniunctam Tr. p. 5; *ἐκ ταυ*^{τ} Br ‖ **5** *καθόλου* Tr. | *ὦν* om. A | *τῶ ἀλόγω μέρεος* scripsi: *τῶν ἀλόγων μερέων* libri; cf. flor. 3, 75 p. 84, 17 Mein. ‖ **6** *αὐτὰ* M^{d}A: *αὐτὰς* Tr. *αὐτᾷ* Br; malim *αὕτα* ‖ **7** *τῷ* Tr.: *τὸ* M^{d}A Br; *τῷ τὸν* male Gesn.[2] p. 11 mrg | *καττὰν* Br: *κατὰ τὰν* A Tr. dubito de M^{d} | *ἁδονὰν* M^{d} Br: *ἡδονὰν* A Tr. ‖ **8** *τοῦ* Tr. | *οὐδὲν* — 9 *δέοντος* om. Tr. | *ἅτερον* M^{d}A: *ἕτερον* Br; ceterum locis huius similibus collatis exspectes *οὐδὲν γὰρ ἅτερον ἐντὶ κτλ.* | *ἁ ἠθικὰ* A Br: *ἀηθίην* M^{d}; *ἀληθινὴ* tacite scripsit Gesn.[2] p. 11, unde *ἀλαθινὰ* Canter l. c. p. 693 quod retinebant Gaisford et Meineke vix recte. sed nescio an interpreti debeatur *ἁ ἠθικὰ* collatis eis quae supra leguntur 1, 77 Mein. *ἀρετὰν δὲ τὰν ἠθικὰν καὶ βελτίσταν ἕξιν τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς κτλ.* suspicio confirmatur his p. 81, 2: *ἁ δ' ἀρετὰ ἕξις τίς ἐντι τῶ δέοντος.* cf. p. 75, 6 | *εἰ*] vide p. 63, 20 adn. ‖ **9** *ἐντὶ* Tr.: *ἐστὶν* M^{d}A Br | *ὅπερ* libri nisi quod *ὅπως* Tr. | *δεῖ ἦμεν* M^{d}A Tr.: *δὴ εἶμεν* Br et sic paulo infra; sed in severioris Doridos forma (*ἦμεν*) libri MA Tr. per hanc ecl. conspirant ‖ **10** *ὅπως* ut supra Tr. | *τῶ* Canter: *τοῦ* M^{d}A Tr. Br | *εἴδεε* Gaisford: *ἰδέαι* M^{d}A Br *εἰδέαι* Tr. puto praestare *εἴδεα*, cf. quae dixi ad ecl. Theagis p. 80, 14. et *τᾶς ψυχᾶς δύο μέρεα* dixit supra Metopus, non *δύο μέρεε* ‖ **12** *τοῦ* utrobique Tr. | *ἔλαττον* libri ‖ **13. 14** *δὴ εἶμεν* Br; cf. v. 9 | post *δεῖ ἦμεν* verba *τὸ δὲ μὴ δέον, ὅπερ οὐ δεῖ ἦμεν* ex v. 9. 10 male iteravit iterataque expunxit A | *ἂν* seclusi | *ὑπάρχοι κα* scripsi: *ὑπάρχοι* M^{d}A Tr. *ὑπάρχῃ*

προσθέσιος δέεται, μέσον δὲ ὅτι μεταξύ ἐντι τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιος. ἔχει δὲ τὸ δέον καὶ ⟨τὸ⟩ μὴ δέον ποτ' ἄλλαλα οὕτως ὥσπερ τὸ ἴσον καὶ τὸ ἄνισον, καὶ τὸ τεταγμένον καὶ τὸ ἄτακτον, ταῦτα δ' ἐντὶ ἀμφότερα τὸ πεπερασμένον καὶ τὸ ἄπειρον καὶ διὰ τοῦτο τῶ ἀνίσω τὰ μέρεα λέγεται ποτὶ τὸ μέσον, ἀλλ' οὐ ποτ' ἄλλαλα. ἀμβλεῖά τε γὰρ ὀνυμάζεται γωνία ἁ μέζων ὀρθᾶς, ὀξεῖα δὲ ἁ μήων ὀρθᾶς, καὶ μέζων μὲν εὐθεῖα ἁ ὑπερέχουσα τὰν ἐκ τῶ κέντρω καὶ μακροτέρα μὲν ἁμέρα ἰσαμερινᾶς. καὶ ταὶ νόσοι δὲ γίνονται τῶ σώματος ⟨τῷ⟩ θερμότερον ἢ κρυμωδέστερον γίνεσθαι τὸ σῶμα. τὸ μὲν γὰρ θερμότερόν ἐντι τὸ πλέον τῶ μετρίω, τὸ δὲ κρυμωδέστερον ἔλασσον τούτω. ἔχει δέ γε καὶ ἁ ψυχὰ καὶ ἁ περὶ αὐτὰν διάθεσις τὰν ἀναλογίαν ταύταν. ἁ μὲν γὰρ θρασύτας ἐντὶ ὑπερβολὰ τῶ δέοντος ἐν ὑποστάσει δει-

---

Br. fortasse verum est *ὑπάρχει* sine particula collatis verbis Theagis p. 81, 2: *διόπερ καὶ ἀκρότας καὶ μεσότας εὐθέως ἐντί κτέ.* | *οὔτε ἀφ.* A | *ἀφαιρέσιος* libri, sed *-εως* Br

1 *ἐντὶ* Tr. *ἔντι* M^d Br: *ἐστὶ* A ‖ **2** *τὸ* addidit Meineke ‖ **3** *ποτ'* tacite Schow p. 26: *πρὸς* M^dA Br *εἰς* Tr. | *ἄλλαλα* Canter l. c. p. 694: *ἄλληλα* M^dA Tr. Br accentum corr. A^2 | *ὥσπερ τὸ* Tr. et A ut videtur: *ὥσπερ καὶ τὸ* M^d Br quod ferendum erit, cf. p. 61, 7. 75, 11 | *ἴσον* Tr. Br: *ἶσον* M^dA | *καὶ* ante *τὸ ἄνισον* et mox ante *τὸ ἄτ.* om. Tr. ‖ **4** *ἐντὶ* Tr. Br: *ἔντι* M^d *ἐντῖν* (sic) A; *ἐντὶν* receperunt Gaisford et Meineke ‖ **5** *τοῦ ἀνίσου* Tr. ‖ **6** *μέρρα* M^d | *οὐ ποτ' ἄλλαλα* Canter l. c. p. 694: *οὔπω τ' ἄλλαλα* (vel *τἄλλ.*) M^dA Br *οὐ ποτ' ἄλληλα* Tr. ‖ **7** *ὀνυμάζεται* (ut scripsit Canter) M^d Br: *ὀνομάζεται* A Tr. | *μέζων* libri nisi quod *μείζων* hic et infra Tr. | *ὀρθῶς* ut videtur M^d ‖ **8** *μήων* recte mavult Meineke: *μείων* M^d Tr. Br *μεῖον* A ‖ **9** malim *ὑπερέχοισα* coll. p. 67, 1. 75, 6 | *τᾶς* Wachsmuth ‖ **10** *ἰσαμερινᾶς* Canter: *ἰσημερινᾶς* (*-νὰς* M^d) libri. ceterum et post *κέντρω* et post *ἰσαμερινᾶς* membrum desiderat oppositum Wachsmuth | *ταὶ* Canter: *τε* libri | *δὲ* Meineke: *τε* vel *τὲ* libri | *τοῦ* Tr. | *τῷ* addidi; *διὰ τὸ* inseruit Gesn.^{1} p. 6 mrg, inde vulg. ‖ **14** *ἁ περὶ αὐτὰν διάθεσις* Halm lect. Stob. p. 41 idque legi videtur in Br: *τὰ περὶ αὐτὰν διάθεσις* M^d A *τὰ περὶ αὐτὰν, διάθεσιν* Tr.; *τὰ περὶ αὐτὰν, τὰν διάθεσιν* oscitanter Gesn.^{1}, inde vulg. | *τὰν* M^d Tr. Br *τὴν* A; *καὶ τὰν* Gesn.^{1}, inde vulg. | *ἀναλογίαν* (ut tacite scripsit Gesn.^{1}) Br: *ἀλογίαν* M^d A Tr. | *γὰρ* M^d A Br: *οὖν* Tr. ‖ **15** *θρασύτας* Tr. Br: *θρασύτης* M^d *θρασύτητος* A | *τῶ* M^d Br: *τοῦ* A Tr.

νῶν, ἁ δὲ δειλότας ἔλλειψις τῶ αὐτῶ. καὶ ἁ μὲν ἀσωτία ὑπερβολὰ τῶ δέοντος ἐν δαπάνᾳ χρημάτων, ἁ δ' ἀνελευθερία ἔλλειψις τῶ αὐτῶ. καὶ ἁ μὲν ὀργὰ ἐντὶ ὑπερβολὰ τῶ δέοντος ἐν ὁρμᾷ θυμῶ, ἁ δ' ἀναλγησία ἔλλειψις τούτω. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τᾶν ἄλλων διαθεσίων τᾶν ἀντικειμένων. δεῖ δ' ἕξιν τῶ δέοντος ὑπάρχοισαν τὰν ἀρετὰν καὶ μεσότατα τῶν παθέων μήτ' ἀπαθέα μήτ' ἐμπαθέα ἦμεν. ἁ μὲν γὰρ ἀπάθεια ἀπαρόρματον καὶ ἀνενθουσίαστον παρέχεται τὰν ψυχὰν ποτὶ τὸ καλόν, ἁ δ' ἐμπάθεια συντεταραγμέναν καὶ ἀνεπιλόγιστον. δεῖ ὦν τὸ πάθος οὕτω παρεμφαίνεσθαι ἐν τᾷ ἀρετᾷ, ὥσπερ καὶ τὰν σκιὰν καὶ τὰν γραμμὰν ἐπὶ τᾶς γραφᾶς· τὸ γὰρ ἔμψυχον καὶ τὸ ἁπαλὸν καὶ τὸ μεμιμαμένον τὰν ἀλάθειαν σὺν τᾷ χρηστότατι τῶν χρωμάτων μάλιστα γίνεται διὰ τούτων.

1 *δειλότας* libri nisi quod *-της* Br | *τῶ αὐτῶ* M^{d} Br: *τῷ αὐτῷ* Tr. *τοῦ αὐτοῦ* A | *καὶ ἁ μὲν ἀσωτία* — 3 *τῶ αὐτῶ* om. Tr. ‖ **2** *ὑπερβολὰ* M^{d} Br: *-λὴ* A | *τῶ* M^{d} Br: *τοῦ* A | *δαπάνᾳ* tacite Schow p. 26: *δαπάνῃ* M^{d}A Br ‖ **3** *ἐντὶ* (ut tacite scripsit Gesn.^{2} p. 12) Br: *ἐν τῇ* (*τῇ* Tr.) M^{d} Tr. *ἐν* A | *ὑπερβολὰ* (vel *-λᾶ*) A Br: *-λῇ* M^{d} *-λῇ* Tr. | *τοῦ* Tr. | *τούτου* Tr. ‖ **5** *ἐπὶ τᾶν* Canter l. c. p. 694: *ἐπὶ τῶν* M^{d}A Tr. Br | *διαθέσιων* libri; *διαθέσδων* operarius Gesn.^{2}, inde vulg. | *τᾶν* Br ut videtur: *τῶν* M^{d}A Tr. ‖ **6** *τοῦ* Tr. | *ὑπάρχοισαν* Tr.: *-ουσαν* M^{d}A Br | *τὴν ἀρετὴν* Tr. ‖ **7** *μεσότατα* Canter: *μεσοτάταν* M^{d} Br *μεσωτατ* reliquis macula obscuratis A *μεσότητα* Tr. | *ἐμπαθέα* cod. Paris. 1985 teste Gaisfordo: *ἐκπαθέα* M^{d} Tr. Br *ἐκπάθεα* A ‖ **8** *ἦμεν* A Tr.: *ἦμεν* M^{d} *εἰμέν* Br | *ἁ* A Tr. Br: *ἡ* M^{d} | *ἀπαθεία* (voluit *ἀπάθεια*) Gesn.^{2}: *ἀπαθέα* M^{d} Tr. *ἀπάθ$\overset{α}{ε}$* sed *ε* in ras. manu incerta A *ἀπαθΐα* habuerat opinor A^{1} *ἀπάθεα* Br | *-ητον* Tr. | *ἀνενθουσίαστον* A Tr.: *ἐνθουσιαστὸν* M^{d} Br ‖ **9** *ἐμπάθεια* Gaisford: *ἐκπαθέα* M^{d} *ἐκπαθεα* sine acc. A *ἐκπάθεια* Tr. *ἐκπάθεα* Br ‖ **10** *συντεταραγμέναν* Buecheler: *συντεταραγμένον* libri | *δεῖ ὦν* (*ὦν* M^{d}) M^{d} Br: *δι' ὦν* A Tr. ‖ **11** *οὕτω* A Tr.: *οὕτως* M^{d} Br ‖ **12** *τὰν γραμμὰν* libri recte: *τὰ λαμπρὰ* scr. Meineke (*τὸ λαμπρὸν* praeiverat Gaisford Stob. Ecl. II p. 839), *τὰν χροιὰν* male ci. Hirschig verbis (13) *σὺν τῇ χρηστότητι τῶν χρωμάτων* deletis. apte comparat Wachsmuth Dionys. Hal. de Isaeo c. 4 p. 591 R. | *τῆς γραφῆς* Tr. ‖ **13** *ἀπαταλὸν* ci. Valckenaer ad Eur. Phoen. p. 46 | *μεμιμημένον* Tr. | *τὰν* quod omiserat supplevit A^{1} | *τὰν ἀλάθειαν* A: *τὰν ἀλήθειαν* M^{d} Br *τὴν ἀλήθειαν* Tr. | *σ⟨ὺν τῇ⟩* eis quae uncis saepsi erasis A | *τᾷ* Br: *τῇ* vel *τῇ* M^{d} Tr. ‖ **14** *χρηστότατι*

ἔμψυχα δὲ ἐκ παρορμάσιος καὶ ἐνθουσιασμῶ ἀρετᾶς τᾶς κατὰ φύσιν τὰ πάθεα τᾶς ψυχᾶς. γίνεται γὰρ ἐκ τῶν παθέων ἁ ἀρετά, καὶ γενναθεῖσα πάλιν συναύξεται τούτοις, ὡς καὶ τὸ ἁρμοσμένον ἐκ τῶ ὀξέος καὶ βαρέος, καὶ τὸ εὔκρατον ἐκ τῶ θερμῶ καὶ ψυχρῶ, καὶ τὸ ἰσόρροπον ἐκ τῶ βαρέος καὶ κούφω. οὐκ ἀφελὲν ὦν δεῖ τὰ πάθεα τᾶς ψυχᾶς, οὐδὲ γὰρ ὠφέλιμον αὐτὰ ἀφελέν, ἀλλὰ συναρμόξασθαι ποτὶ τὸ λόγον ἔχον τῶ δέοντος καὶ τῶ μετρίω.

117 (1, 67 Mein.) Θεάγους Πυθαγορείου ἐκ τοῦ περὶ ἀρετῆς (fr. 4 phil. Graec. II p. 18 sqq. Mullach.).

Ἀρχαὶ τᾶς συμπάσας ἀρετᾶς τρεῖς· γνῶσις καὶ δύναμις καὶ προαίρεσις. καὶ ἔντι ἁ μὲν γνῶσις οἷον ὄψις ᾇ θεωρέομες καὶ κρίνομες τὰ πράγματα, ἁ δὲ δύναμις

Canter l. c. p. 695: χρηστότητι M^d^A Tr. Br | χρωμάτων Tr.: χρημάτων M^d^A Br

1 παρορμάσιος libri praeter Tr. ubi παρορμήσεως | ἐνθουσιασμῶ M^d^ Br: ἐνθουσιασ (sic) A ἐνθουσιασμοῦ Tr. | ἀρετῆς τῆς Tr. ‖ **2** πάθεα libri nisi quod πάθα M^d^ | τῆς ψυχῆς Tr. ‖ **3** γενναθεῖσα M^d^A Br γεννηθεῖσα Tr.; γεναθεῖσα Halm lect. Stob. p. 41 | συναύξεται τούτοις M^d^A Br: σὺν αὐτοῖς συνίσταται Tr. ‖ **4** ὡς καὶ τὸ ἁρμοσμένον M^d^A Br ὥσπερ τὸ καλῶς ἡρμοσμένον Tr.: ὥσπερ καὶ τὸ καλῶς ἡρμοσμένον (debebat ἁρμ.) Gesn.², inde vulg. an ἁρμογμένον (vel ἁρμ.)? certe ἅρμοκται libri in Ecphantis ecloga flor. 48, 64 Mein. | αὐτοῦ pro ἐκ τῶ Tr. ‖ **5** ἐκ τοῦ θερμοῦ καὶ ψυχροῦ Tr. ‖ **6** καὶ τὸ ἰσόρροπον — κούφω om. Tr. | ἀφελὲν M^d^ Br: ἀφελεῖν A Tr. | οὖν Tr. ‖ **7** τῆς ψυχῆς Tr. | οὐδὲ Meineke: οὔτε libri | ὠφέλιμον αὐτὰ ἀφελέν scripsi: ὠφέλιμον οὔτ' ἀνωφέλητον libri; v. οὔτ' ἀνωφέλητον tacite seclusit Gesn.¹ p. 6, inde vulg. | συναρμόξασθαι Canter l. c. p. 695: συναρμόσασθαι libri ‖ **8** τὸ M^d^ Tr.: τὸν Br om. A | διὰ vel μετὰ τῶ δέοντος κτἑ. proposuit Canter. conicio ποτὶ τὸ λόγον ἔχον ⟨ἐχομένως⟩ τῶ δέοντος κτἑ. sic infra legitur p. 81, 3 τῶ δέοντος ἔχεται ‖ **9** ecl. cum lemm. hab. MA Br (post ecl. 1, 69 Mein.), ecl. et lemma Θεαγοῦς ἐκ τοῦ περὶ ἀρετῶν Tr. p. 13 (post ecl. 1, 66 Mein.), partem eclogae (p. 77, 3 ἔχει δὲ — 11 ἐν τᾷ ψυχᾷ) et lemma Θεαγοῦς Tr. p. 4 (post ecl. 1, 64 Mein.); Θεάγους Br θεαγοῦς M^d^A Tr. πυθαγορίου ut solet A ‖ **12** ἔντι tacite Schow: ἔστιν M^d^A Tr. Br; ἔντιν Meineke | οἷον ὄψις om. Tr. ‖ **13** θεωρέομες καὶ κρίνομες Canter l. c. p. 688: θεωροῦμεν καὶ κρίνομεν M^d^A Tr. Br; conferatur ecloga Metopi p. 68, 3 sqq.

οἷον ἀλκά τις τῶ σκάνεος ᾇ ὑφιστάμεθα καὶ ἐμμένομες τοῖς πράγμασιν, ἁ δὲ προαίρεσις, οἷον χεῖρες ψυχᾶς τινες αἷς ὁρμῶμες καὶ ἀντιλαζύμεθα τῶν πραγμάτων. ἔχει δὲ καὶ ὁ τᾶς ψυχᾶς διάκοσμος οὕτως. τὸ μὲν γάρ τι αὐτᾶς ἐντι λογισμὸς τὸ δὲ θυμὸς τὸ δ' ἐπιθυμία, λογισμὸς μὲν ὁ κρατέων τᾶς γνώσιος, θυμὸς δὲ ὁ κρατέων τῶ μένεος, ἐπιθυμία δὲ ἁ κρατεῦσα τῶ ἐπιθυμητικῶ εἴδεος. ὅκκα ὦν ἐς τὸ ἓν τὰ τρία ταῦτα μόλῃ μίαν ἐπιδεξάμενα συναρμογάν, τόκα δὲ γίνεται ἀρετὰ καὶ ὁμολογία ἐν τᾷ ψυχᾷ· ὅκκα δὲ στασιάζοντα καὶ ἀπ' ἀλλάλων ἀπόσπαστα ᾖ, τόκα δὲ γίνεται κακία καὶ ἀναρμοστία ἐν τᾷ ψυχᾷ. καὶ ὅκκα μὲν ὁ λογισμὸς ἐπικρατέῃ τῶν ἀλόγων μερέων τᾶς ψυχᾶς, τόκα δὲ γίνεται καρτερία καὶ ἐγκράτεια, καρτερία μὲν ἐν τᾷ κατοχᾷ τῶν πόνων, ἐγκράτεια δὲ ἐν τᾷ κατοχᾷ

---

1 τῶ M[d]Br: τοῦ A Tr | σκάνιος Br | ἐμμένομες Canter: -μεν libri || 2 v. τοῖς πράγμασιν e. q. s. usque ad finem eclogae om. M || 3 αἷς Tr. Br: ἃς A | ὁρμῶμες Canter: ὁρμῶμεν libri || 4 αὐτᾶς A Tr. p. 13 Br: αὐτῆς Tr. p. 4 || 5 ἐντι Br ut videtur: ἐστι vel ἐστὶ A Tr. | θυμός Halm lect. Stob. p. 40: θύμωσις A Tr. Br | post ἐπιθυμία quam habent libri fortiorem distinctionem sustulit Meineke | λογισμὸς μὲν A Tr. p. 4 Br: λογισμὸς μὲν οὖν (inde ὦν Schow) Tr. p. 13, vulg.; praestat fortasse ⟨καὶ⟩ λογισμὸς μὲν || 6 κρατέων τῶ Tr. Br: κρατῶν τῶ A || 7 ἁ A Br: ἡ Tr. | κρατεῦσα Tr. p. 4: κρατοῦσα A Tr. p. 13 Br; malim cum Meinekio κρατέουσα | τοῦ ἐπιθυμητικοῦ A Tr. p. 13 Br τῷ ἡγεμονικῷ Tr. p. 4; τῶ ἐπιθυματικῶ Canter | εἴδεος vel μέρεος ci. Orelli opusc. sent. et mor. II p. 698: ἀδεῶς libri | ὅκκα Br: ὅκκαν A ὅκα Tr. ὅκκα ⟨μὲν⟩ ὦν ci. Buecheler probabiliter || 8 ὦν vel potius ὦν Tr. p. 4: οὖν A Tr. p. 13 Br | μόλῃ Cobet mnemos. IX p. 104: μολῇ (vel -ῇ) libri | ἐπιδεξάμενα A Tr. p. 4: ἐπιδειξάμενα Tr. p. 13 Br || 9 τόκα δὲ A Tr.: τόκκα ex τόκκα δὲ corr. Br ubi eadem ratione corrigitur 11. 13 et infra post ἀλλάλοις p. 78, 7 | ὁμολογία libri nisi quod ὁμόνοια Tr. p. 4 || 10 ὅκκα Br: ὅκκαν A ὅκαν Tr. p. 4 ὅκα Tr. p. 13 | ἀλλάλων A: ἀλλήλων Tr. Br | ἀπόσπαστα ᾖ Halm lect. Stob. p. 40: ἀπόσπασται A Tr. ἀπέσπασται Br || 11 τόκα δὲ Tr.: τοκά δε A, de Br vide ad 9 || 12 ὅκκα Br: ὅκκαν A ὅκα Tr. | ἐπικρατέῃ Tr.: ἐπικρατέει A Br; malim ἐπικρατῇ, cf. p. 68, 8. 12. 78, 2 | ὀλίγων A[1] corr. A rec. | μερέων A Br.: μερῶν Tr. || 13 τόκα δὲ Tr.: τόκκα δὲ A, de Br vide ad 9 || 14 v. ἐν τᾷ κατοχᾷ — ἐγκράτεια δὲ om. A | τᾷ κατοχᾷ τ. π. Br: τῇ κατοχῇ τ. π. Tr.

τῶν ἁδέων. ὅκκα δὲ τὰ ἄλογα μέρεα τᾶς ψυχᾶς ἐπικρατῇ τῶ λογισμῶ, τόκα δὲ γίνεται μαλακία καὶ ἀκρατία· μαλακία μὲν ἐν τῷ φεύγεν τὼς πόνως, ἀκρατία δὲ ἐν τῷ νικῆσθαι ὑπὸ τῶν ἁδέων. ὅκκα δὲ τὸ μὲν κρέσσον ἄρχῃ μέρος τᾶς ψυχᾶς, τὸ δὲ χέρηον ἄρχηται, καὶ τὸ μὲν ἁγῆται τὸ δ' ἕπηται, ἀμφότερα δὲ συνευδοκῆται καὶ συνομολογῆται ἀλλάλοις, τόκα δὲ γίνεται ἀρετὰ καὶ παναγαθία περὶ ὅλαν τὰν ψυχάν. καὶ ὅκκα μὲν τὸ ἐπιθυμητικὸν ἕπηται μέρος τᾶς ψυχᾶς τῷ λογιστικῷ, γίνεται σωφροσύνα· ὅκκα δὲ τὸ θυμοειδές, ἀνδρειότας· ὅκκα δὲ τὰ μέρεα πάντα, δικαιότας. αὕτα γάρ ἐστιν ἁ διείργουσα τάς τε κακίας πάσας τᾶς ψυχᾶς καὶ τὰς ἀρετὰς ἀπ' ἀλλάλων. καὶ ἔστιν ἁ δικαιότας οἷον σύσταμά τι τᾶς ἁρμογᾶς τῶν μερέων τᾶς ψυχᾶς καὶ ἀρετὰ τελεία καὶ

---

1 *ἁδέων* A Br: *ἡδέων* Tr. | *ὅκκα* A Br: *ὅκα* Tr. | *τᾶς ψυχᾶς* A Br: *τῆς ψηχῆς* (η superscr.) Tr. | *ἐπικρατῇ* scripsi (-*έῃ* Canter): *ἐπικρατεῖ* corr. A[1] *ἐπικρατεῖ* Tr. Br || **2** *τοῦ λογισμοῦ* Tr.; *τῶ λογισμῶ* A Br | *τόκα δὲ* Tr.: *τόκκα τάδε* A Br | *ἀκρατία* A Tr. Br; *ἀκρασία* Meineke || **3** *φεύγεν* Canter: *φεύγειν* A Tr. Br | *τὼς πόνως* A Br: *τοὺς πόνους* Tr. | *ἀκρατία* libri; *ἀκρασία* Meineke | *δ' ἐν* Br || **4** *νικῆσθαι* scripsi: *νικῆσθαι* habeat an *νικᾶσθαι* A ambigas, *νικᾶσθαι* Tr. Br | *ὑπὸ* delendum putat Cobet mnemos. IX p. 104 | *ἁδέων* Br: *ἡδέων* A Tr. | *ὅκκα* A Br: *ὅκα* Tr. | *κρέσσον* Canter: *κρεῖσσον* A Tr. Br || **5** *ἄρχῃ* A Tr.: *ἄρχει* Br | *χέρηον* Tr.: *χαίρειν* A *χέριον* Br; *χερῆον* mavult Meineke || **6** *ἁγῆται* Canter: *ἄγηται* A Br *ἡγεῖται* Tr. nolim *ἀγῆται* | *ἕπηται* A Br: *ἕπεται* Tr. | *συνευδοκῆται* libri nisi quod -*εῖται* A: *συνευδοκῇ τε* ci. Meineke || **7** *συνομολογῆται* Tr. Br: *συνομολογεῖται* A | *ἀλλάλοις* A: *ἀλλήλοις* Tr. Br | *τόκα δὲ* Tr.: *τοκά δε* A, de Br cf. supra ad p. 77, 9 || **8** *ὅκκα* Br: *ὅκκαν* A *ὅκα* Tr. | *ἐπιθυμητικὸν* Tr.: *ἐπιθυματικὸν* A Br || **9** *τᾶς ψυχᾶς* A Br: *τῆς ψυχῆς* Tr. | *τῷ λογιστικῷ* Tr. Br: *τοῦ λογιστικοῦ* A[1] *τῶ λογιστικῶ* A rec. || **10** *σαοφρ.* p. 80, 7 | *ὅκκα* A Br: *ὅκα* Tr. | *ἀνδρειότας* Canter: *ἀνδρειότης* A Tr. *ἀνδριότας* Br | *ὅκκα* A Br: *ὅκα* Tr. || **11** *ἐστιν* A Tr. Br: *ἐντι* Canter; *ἐντιν* Meineke | *ἁ* A Br: *ἡ* Tr. || **12** *τᾶς ψυχᾶς* A Br: *τῆς ψυχῆς* Tr. | *ἀλλάλων* A: *ἀλλήλων* Tr. Br || **13** *ἔστιν* A Tr. Br: *ἔντι* tacite Schow p. 20; *ἔντιν* Meineke | *ἁ* Tr. Br: *ἡ* sed superscr. *ἁ* A[1] | *οἷον σύσταμά τι* A: *οἷον σύστημά τι* Br teste Bevingio *remarques crit.* p. 6 *σύνταγμά τι* (om. *οἷον*) Tr.

πανυπερτάτα· πάντα γὰρ ἐν ταύτᾳ, τὰ δ' ἄλλ' ἀγαθὰ τᾶς ψυχᾶς οὐκ ἄτερθε ταύτας· διόπερ καὶ ἐν θεοῖς μέγα κράτος ἔχει ἁ δικαιότας καὶ ἐν ἀνθρώποις· τῶ γὰρ ὅλω καὶ τῶ παντὸς ἅδ' ἀρετὰ συνέχει τὰν κοινωνίαν καὶ τὰν ἐν θεοῖς καὶ τὰν ἐν ἀνθρώποις. θέμις γῶν φατίζεται παρὰ τοῖς οὐρανίοις θεοῖς, δίκα δὲ παρὰ τοῖς χθονίοις, νόμος δὲ παρὰ τοῖς ἀνθρώποις. ταῦτα δ' ἐντὶ σαμεῖα καὶ σύμβολα τῶ τὰν δικαιότατα πανυπερτάταν ἦμεν ἀρετάν. καὶ ἄλλως δὲ πιστοῦται ὁ λόγος ἐξ αὐτῶν· ὅκκα μὲν γὰρ ὁ νόος τᾶς ψυχᾶς ἀμβλακίσκῃ, ὀνυμάζεται ἁ τοιάδε διάθεσις ἀφροσύνα· ὅκκα δὲ ὁ θυμός, θρασύτας ἢ δειλία· ὅκκα δὲ ⟨ἁ⟩ ἐπιθυμία, ἀκρασία· καὶ ὅκκα μὲν ἐπὶ τὸ μῆον ἀμβλακίσκῃ ὁ νόος, ἀφροσύνα, ὅκκα δ' ἐπὶ τὸ μέζον, πανουργία· καὶ ὅκκα μὲν ἐπὶ τὸ μῆον ἀμβλακίσκῃ ὁ θυμός, δειλία, ὅκκα δ' ἐπὶ τὸ μέζον, θράσος· καὶ ὅκκα μὲν ἐπὶ τὸ μῆον ἀμβλακίσκῃ ἁ ἐπιθυμία,

1 *ἐν ταύτᾳ* Tr. Br: *ἓν ταῦτα* A || **3** *δικαιότας* sed alterum *α* ex corr. Br | *τῶ γὰρ ὅλω καὶ τῶ* A Br: *τοῦ γὰρ ὅλου καὶ τοῦ* Tr. || **4** *ἁ δὲ* A, unde possis *ἅδ' ἁ* | *ἀρετὰ* Meineke: *ἀρετὰ* A Tr. nescio an etiam Br | *τὰν κοινωνίαν* A Br: *τὴν κοινωνίαν* Tr. | *καὶ τὰν* A Tr.: *τὰν* sed rasuram ante *τὰν* Br || **5** *θέμις γε* — 7 *τοῖς ἀνθρώποις* habet in margine A[1] | *γῶν* ci. Meineke: *γε οὖν* A Tr. Br; *γε ὦν* Canter l. c. p. 690. fortasse sufficit *γ' ὦν* || **5. 6** *φατίζεται* A Br: *φημίζεται* Tr. || **7** *ἐντὶ* Tr. Br: *ἔστι* A || **8** *σαμεῖα* A Br: *σημεῖα* Tr. | *τῶ* Canter: *τοῦ* A Tr. Br | *πανυπερτάταν ἦμεν ἀρετάν* scripsi: *πανυπερτάταν εἶναι ἀρετάν* Br *πανυπερτάταν ἀρετάν* A Tr.; *πανυπερτάταν ἀρετὰν ὑπάρχειν* (inde *ὑπάρχεν* Canter) tacite supplevit Gesn.[1] p. 16, inde vulg. || **9** *καὶ ἄλλως* — p. 80, 5 *αὐτᾶς σύνταξις* om. Tr., inde vulg. | *ἐξ αὐτῶν* A *ἐξ ἀνθρώπων* (id est *ἀνων*) Br: *ἐξ ὀνυμάτων* ci. Hirschig quod recepit Meineke; malim *ἐξ ἐναντίω* vel *ἐξ ἐναντίων*, nisi forte verum est *ἐξ ἀμπλακιῶν* (vel *-ᾶν*) || **10** *ἀμβλακίσκῃ* A: *ἀμπλακίσκῃ* Br ubique; *ἀμβλακίσκεν* habent libri in Phintyis ecloga flor. 74, 61 Mein. nisi quod *ἀμπλ.* ex *ἀμβλ.* ibi correxit S[1] | *ὀνυμάζεται* Br: *ὀνομάζεται* A || **11** *ἁ* Br: *ἡ* A || **12** *ἁ* addidi; praestat fortasse *δ' ἁ ἐπιθυμία* sicut *δ' ὁ θυμὸς* in prioribus || **13** *μῆον* A: *μεῖον* Br hic et in proximis | *δὲ ἐπὶ* hic et 15 Br || **14** *μέζον* Br: *μεῖζον* A | *ἀμβλακίσκῃ ὁ θυμὸς* A: *θυμὸς* (om. *ὁ*) *ἀμπλακίσκῃ* Br || **14** et **15** *δὲ ἐπὶ* Br || **15** *μέζον* Br: *μεῖζον* A | *μῆον* Meineke: *μεῖον* A Br

μισαδονία· ὄκκα δ' ἐπὶ τὸ μέζον, ἀκολασία· ὅλως δὲ ἁ μὲν οὐ κατ' ὀρθὸν λόγον συναρμογά, κακία· αὕτα δ' ὄκκα μὲν μηδενὸς ἕκατι γένηται, καλέεται ἀβελτηρία· ὄκκα δὲ φόβω, δειλία, ὄκκα δὲ ἁδονᾶς, ἀκολασία, ὄκκα δὲ κέρδεος, ἀδικία. ἁ δὲ κατ' ὀρθὸν λόγον αὐτᾶς σύνταξις, ὄκκα μὲν ἐν τῷ θεωρὲν καὶ κρίνεν γένηται, καλέεται φρόνασις· ὄκκα δὲ ἐν τῷ ὑφίστασθαι . . . . . . τὰ ἁδέα, σαοφροσύνα· ὄκκα δ' ἐν τῷ κέρδεος ἀποσχέσθαι καὶ βλάβας τᾶς ἐς τὸν πλατίον, δικαιότας. ἁ δὲ κατὰ τὸν ὀρθὸν λόγον αὐτᾶς σύνταξις καὶ παρὰ τὸν ὀρθὸν λόγον παράβασις, τῶ δέοντός ἐντι στοχασμὸς καὶ τῶ μὴ δέοντος ἀπόπτωσις. ἔστι δὲ τὸ μὲν δέον, ὃ δεῖ ἦμεν· τοῦτο δὲ οὐκ ἀφαιρέσιος οὐδὲ προσθέσιος δέεται· αὐτὸ γάρ ἐστιν ὃ δεῖ ἦμεν. τῶ δὲ μὴ δέοντος εἴδεα δύο, τὸ μὲν ὑπερβολά, τὸ δ' ἔλλειψις. καὶ ἁ μὲν ὑπερβολὰ τὸ πλέον τῶ

---

1 *μισαδονία* A Br: *φιλαδονία* perperam Halm lect. Stob. p. 40 | *μέζον* Br: *μεῖζον* A | *δ' ἁ* Br ‖ **2** *ἁ μὲν οὐ* Br: *ἁ μὲν* (om. *οὐ*) A; *ἃ μὴ* scr. Gaisford ‖ **2. 3** *αὕτα δ', ὄκκα μὲν μηδενὸς ἕκατι* scripsi: *αὕτα δὲ ἂν μηδένος ἕκατι* A *αὐτὰ δὲ ἂν μηδένος μὲν ἕκατι* Br; *αὕτα δέ, ὄκκα μηδενὸς ἕκατι* ci. Meineke ‖ **3** malim *γίνηται* hic et 6 ‖ **4** *δειλία* quod coniecerat Gaisford Br: *δεινα* A ‖ **6** *ὄκκα* A Br: *ὄκα* Tr. | *μὲν* A Br Tr.; *μὲν οὖν* temere Gesn.² p. 9, inde vulg. | *θεωρὲν καὶ κρίνεν* Canter et sic Br ni fallitur Thomas: *θεωρεῖν* (*-ρᾶν* Tr.) *καὶ κρίνειν* A Tr. | post *γένηται* ne subiecto careret enuntiatum addidit *ἁ ἀρετὰ* interpolator Trincavellianus p. 13. tu vide ad p. 79, 8 ‖ **7** *ὄκκα* A Br: *ὄκα* Tr. | post *ὑφίστασθαι* non nihil intercidisse vidit Canter l. c. p. 690 adn. 2: *ὄκκα δ' ἐν τῷ ὑφίστασθαι ⟨τὰ δεινα, ἀνδρεία, ὄκκα δ' ἐν τῷ κατέχεν⟩ τὰ ἁδέα* | *τὰ ἁδέα* supplevit A¹ ut videtur | *σαοφροσύνα* A Br: *σωφροσύνη* Tr. p. 14 ubi in prioribus *τὰ ἡδέα* ‖ **8** *ὄκκα* A Br: *ὄκα* Tr. | *ἀποσχέσθαι* A Br: *ὑποσχέσθαι* Tr. ‖ **9** *εἰς* libri | *πλατίον* A: *πλασίον* Tr. *πλησίον* Br ‖ **11** *δέοντός ἐντι* Tr: *δέοντος ἐστὶ* A *δέοντός ἐστι* Br | *τῶ* Br: *τοῦ* A Tr. ‖ **12** *ἀπόπτωσις* Br: *ἐπίπτωσις* A Tr.; *ἔκπτωσις* ci. Cobet mnemos. IX p. 104 | *ἔντι* tacite Schow p. 20: *ἔστι* A Tr. Br | *δεῖ ἦμεν* Tr.: *δεῖ εἶναι* A *δὴ εἰμέν* Br | vox *τοῦτο* praeter *ο* extr. hodie detrita est in A ‖ **13** *οὐκ* A Tr. Br; *οὔτ'* Meineke | *οὐδὲ* A Br: *οὔτε* Tr. | *προσθέσιος* Tr. Br: *προστάσιος* A | *ἐστιν* A Tr. Br: *ἐντι* tacite Schow; *ἐντιν* Meineke ‖ **14** *δεῖ ἦμεν* A Tr.: *δὴ εἰμέν* Br | *εἴδε*^α litt. *α* aliquam partem tineis comesam habet A,

δέοντός ἐντι, ἁ δ' ἔλλειψις τὸ ἔλαττον. ἁ δ' ἀρετὰ ἕξις τίς ἐντι τῶ δέοντος· διόπερ καὶ ἀκρότας καὶ μεσότας εὐθέως ἐντί· ἀκρότας μέν, διότι τῶ δέοντος ἔχεται· μεσότας δέ, ὅτι μεταξὺ τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιός ἐντι. οὕτως γὰρ καὶ μεσότατες τυγχάνοντι καὶ ἀκρότατες· μεσότατες μέν, ὅτι ἐκτὸς τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιος πίπτοντι· ἀκρότατες δέ, ὅτι οὔτε προσθέσιος οὔτ' ἀφαιρέσιος δέονται· αὐτὰ γὰρ ἐντὶ ταῦτα, ἃ δεῖ αὐτὰ ἦμεν.

118 (1, 68 Mein.) *Ἐν ταὐτῷ* (fr. mor. 4 II p. 20 Mullach.).

Ἐπεὶ δὲ ἁ τῶ ἤθεος ἀρετὰ περὶ πάθεα, τῶν δὲ παθέων ἁδονὰ καὶ λύπα ὑπέρτατα, φανερὸν ὅτι οὐκ ἐν τῷ ὑπεξελέσθαι τὰ πάθεα τᾶς ψυχᾶς, ἁδονὰν καὶ λύπαν, ἁ ἀρετὰ πέπτωκεν, ἀλλ' ἐν τῷ ταῦτα συναρμόξασθαι. οὐδὲ γὰρ ὑγίεια, εὐκρατία τις ἔασα τᾶν τῶ σώματος

---

non *εἴδεε*, fallitur Gaisford, *εἴδεα* Br: *εἴδεε* Tr. *ἰδέαι* non recte coniecit Gaisford, vide ad p. 73, 10 || **15** *δ'* Br Tr.: *δὲ* A | *τῶ* Br ut videtur: *τοῦ* A Tr.

1 *ἐντὶ* (vel *ἐντι*) A Br: *ἐστιν* Tr. | *δ'* tineis comesum A | *τὸ ἔλαττον τῶ δέοντος* supra p. 73, 12 || **2** *τῶ* A Br: *τοῦ* Tr. || **3** *ἀκρότας μὲν* — 5 *ἐλλείψιός ἐντι* om. Tr. | *δϊότι* A sed *δϊ* addidisse videtur A[2] | *τῶ* Br: *τοῦ* A || **4** *ἐλλείψιός ἐντι* scripsi: *ἐλλείψιος ἔντιν* (*ἔντι* Br) A Br; *ἐλλείψιός ἐντιν* Gaisford et Meineke || **5** *οὕτω* Tr.: *οὕτως* A Br | *μεσότατες* A Br: *μεσότητες* Tr. || **6** *ἐκτὸς* A Tr. Br; *ἐντὸς* Canter non recte || **7** *ὅτι οὔτε* Tr.: *οὔτε* A Br || **8** *δέονται* A Tr.: *δέοντι* Br | *ἐντὶ* Tr. Br: *ἔντι* A | *δεῖ* tacite Gesn.[1] p. 18, inde vulg.: *δι'* A Tr. Br (sic) || **9** *ἦμεν* A Tr.: *εἰμέν* Br || **10** ecl. sine lemm. hab. M, addito lemmate A Tr. p. 14 Br | *ἐν ταὐτῷ* — p. 82, 2 *τὸ ξηρόν* om. M || **11** *ἐπεὶ δὲ ἁ* A *ἐπεὶ δ' ἁ* Br: *ἐπειδὴ ἁ* Tr. | *τῶ* Canter l. c. p. 691: *τοῦ* A Tr. Br | *ἤθεος* Br *ἄθεος* an *ἤθεος* incertum A: *ἄθεος* Tr. '*ἤθεος* scripsi, fortasse iniuria' Meineke v. IV p. LII || **12** *παθέων* ex *παθῶν* corr. A[1] | *ἁδονα* A Br: *ἡδονὰ* Tr. || **13** *τᾶς ψυχᾶς* A Br: *τῆς ψυχῆς* Tr. | *ἡδονὰν* ut videtur A || **14** *ἀρετὰ* sed *ρ* eras. A | *πέπτωκεν* A Tr.: *πέφυκεν* sed *φυ* ex corr. Br hic et p. 82, 2 et 5 | *συναρμόξασθαι* scripsi: *συναρμόζεσθαι* A Tr. Br || **15** *οὐδὲ γὰρ* Tr. Br: *οὐ γὰρ* A | *εὐκρατία* A Tr. Br: *εὐκρασία* tacite Gesn.[1] p. 18, inde vulg. | *ἔασα* Meineke: *ἐᾶσαι* Tr. *εὖσα* Br om. A (fallitur Gaisford); *ἐοῦσα* Gesn.[1], inde vulg. *ἐᾶσα* vel *ἔασα* comprobat Ahrens dial. dor. p. 325. malim tamen *ἔασσα* cf. Meyer *gr.*

δυναμίων, ἐν τῷ ὑπεξελέσθαι τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ὑγρὸν καὶ τὸ ξηρόν, πέπτωκεν, ἀλλ' ἐν τῷ ταῦτα συγκερασθῆμεν· ἔντι γὰρ οἷον συμμετρία τις τούτων· οὐδ' ἐν τᾷ μωσικᾷ ἐν τῷ ὑπεξελέσθαι τὸ ὀξὺ καὶ τὸ βαρὺ τὸ σύμφωνον πέπτωκεν, ἀλλ' ἐν τῷ ταῦτά πως συναρμόξασθαι. συναρμοσμένων γὰρ τῶ ὀξέος καὶ τῶ βαρέος τὸ μὲν σύμφωνον ἐναπολαμβάνεται, τὸ δὲ διάφωνον ἐκκρούεται· συναρμοσμένων δὲ καὶ τῶ θερμῶ καὶ τῶ ψυχρῶ καὶ τῶ ὑγρῶ καὶ τῶ ξηρῶ ἁ μὲν ὑγίεια γίνεται, ἁ δὲ νόσος ἀπόλλυται· συναρμοσμένων δὲ καὶ τῶ θυμῶ καὶ τᾶς ἐπιθυμίας ταὶ μὲν κακίαι καὶ τὰ πάθεα ἐξαιρέονται, ταὶ δ' ἀρεταὶ καὶ τὰ ἤθεα ἐγγίνονται. ἰδιαίτατον δὲ τᾶς τῶ ἤθεος ἀρετᾶς ἁ προαίρεσις ἁ ἐν τοῖς καλοῖς. λόγῳ γὰρ καὶ δυνάμει συγχρέεσθαι δυνατὸν καὶ ἄνευ ἀρετᾶς, προαιρέσει δ' οὐ δυνατόν· τὸ γὰρ

---

gr.[2] p. 24. *ἑοῖσα* scripserat Schow et Gaisford | *τᾶν* tacite Schow: *τῶν* libri | *τῶ* A Br: *τοῦ* Tr.

1 *δυναμίων* sicut scripserat Canter Br: *δυνάμεων* A Tr. | *τὸ θερμὸν καὶ τὸ ψυχρὸν* A Br eodem ordine quo infra v. 8 et supra p. 76, 5, hunc igitur recepi: *τὸ ψυχρὸν καὶ τὸ θερμον* Tr., inde vulg. ‖ **2** *ξυρὸν* Br | *πέπτωκεν* hic et 5] vide ad p. 81, 14 ‖ **3** *συγκερασθῆμεν* A Br: *συγκερασθῆναι* Tr. | *οἷον* Tr.: *οι* M[d] *ἡ* A *οἱ* Br ‖ **4** *μωσικᾷ* Tr.: *μουσικᾶ* (-*κα* M[d]) M[d]A Br | *ὑπεξελέσθαι* M[d] Tr. Br: *ἐξελέσθαι* A ‖ **6** *συναρμοσμένων γὰρ τῶ ὀξέος* Meineke (*συναρμοσμένων τῶ ὀξέος* praeiverat Gaisford): *συναρμοσμένω* (*συναρμοσμένω γὰρ* Br) *ὀξέος* M[d]A Br *συναρμογὰν τῷ ὀξέος* Tr. praestat fortasse *συναρμογμένων κτἑ.* vide ad p. 76, 4 | *τῶ* (ante *βαρέος*) Br: *τὸ* M[d] *τοῦ* A *τῷ* Tr. ‖ **8** v. *συναρμοσμένων δὲ* — 10 *νόσος ἀπόλλυται* tamquam glossema suspecta sunt Orellio opusc. sent. et mor. II p. 698 | fort. *συναρμογμένων* hic et 10 | *τοῦ θερμοῦ* (*θυμοῦ* M[d]) *καὶ τοῦ ψυχροῦ καὶ τοῦ ὑγροῦ καὶ τοῦ* (*τοῦ* om. Tr.) *ξηροῦ* fere libri: Doricas formas rescripsit Canter ‖ **9** *ὑγίεια* M[d]A: *ὑγεία* Tr. Br | *ἐγγίνεται* ci. Hirschig ‖ **10** *τῶ θυμῶ* Canter: *τοῦ θυμοῦ* M[d]A Tr. dubito de Br ‖ **11** *τᾶς* vel *τὰς* libri nisi quod *τῆς* Tr. | *ταὶ μὲν* Canter: *αἱ μὲν* libri ‖ **12** *ταὶ δ'* Tr.: *αἱ δ'* M[d]A Br | *ἐγγίνονται* Tr.: *ἐγγίγνονται* M[d]A Br ‖ **13** *τῶ* Canter: *τοῦ* M[d]A Tr. Br ‖ **14** *καὶ δυνάμει* secludi vult Hirschig | *δυνάμι* ut mox *προαιρέσι* Meineke v. IV p. LIV | *δυνατὸν* Canter: *δύναται* libri; fortasse latet aliud velut *ἐνδέχεται* vel *δύναιό κα* ‖ **15** *προαιρέσει*

ἀξίωμα τῶ ἤθεος ἁ προαίρεσις σαμαίνει. διὸ καὶ μετὰ βίας μὲν ἐπικρατέων ὁ λογισμὸς θυμῶ καὶ ἐπιθυμίας ἐγκράτειαν καὶ καρτερίαν ἐμποιεῖ, μετὰ βίας δὲ πάλιν ἐκβιασθεὶς αὐτὸς ὑπὸ τῶ ἀλόγω, ἀκρατίαν καὶ μαλακίαν. ταὶ δὲ τοιαῦται διαθέσιες τᾶς ψυχᾶς ἡμιτελέες μὲν ἀρεταί, ἡμιτελέες δὲ κακίαι τυγχάνοντι. ὁ μὲν γὰρ λογισμὸς ὑγιαίνει, τὰ δ' ἄλογα μέρεα τᾶς ψυχᾶς νοσεῖ. καὶ καθὸ μὲν ἄρχεται καὶ ἄγεται ὁ θυμὸς καὶ ἁ ἐπιθυμία ὑπὸ τῶ λόγον ἔχοντος μέρεος τᾶς ψυχᾶς, ἁ ἐγκράτεια καὶ ἁ καρτερία ἀρεταὶ τυγχάνοντι, καθὸ δὲ μετὰ βίας ἀλλ' οὐχ ἑκουσίως τοῦτο πράσσοντι, κακίαι τυγχάνοντι. δεῖ γὰρ τὰν ἀρετὰν μὴ μετὰ λύπας ἀλλὰ μεθ' ἁδονᾶς τὰ δέοντα πράσσεν. πάλιν δέ, καθὸ μὲν ἐπικρατεῖ ὁ θυμὸς καὶ ἁ ἐπιθυμία τῶ λογισμῶ, μαλακίαν καὶ ἀκρατίαν ἐπιφέροντα, κακίαι τινὲς τυγχάνοντι· καθὸ δὲ μετὰ λύπας χαρίζονται τοῖς πάθεσιν, εἰδότες ὅτι ἀμβλακίσκοντι τῶ ὑγιὲς ἦμεν τὸ ὄμμα τᾶς ψυχᾶς, ταύτᾳ δ' οὐ κακίαι. πάλιν ὦν αὐτό γε τοῦτο φανερόν, ὅτι ἑκου-

---

δὲ (*δ'* Md Br) *οὐ δυνατόν* MdA Br: *ἁ πρόαιρεσις* (sic) *ἃ ἐν τοῖς καλοῖς* male iterat ex praegressis Tr.

1 *τῶ* Canter: *τοῦ* libri | *σαμαίνει* MdA Br: *ἁ ἐν τοῖς καλοῖς σημαίνει* Tr. | *μετὰ βίας* MdA Br: *μετᾶ τῆς βίας* Tr. ‖ **2** *θυμῶ* Canter: *θυμοῦ* libri ‖ **3** *ἐμποιέει* malebat Meineke ‖ **4** *ὑπὸ τῶ ἀλόγω* Meineke: *ὑπὸ τῶν ἀλόγων* libri. quod stare non poterit nisi fulseris sic *ὑπὸ τῶν ἀλόγων* ⟨*μερέων τᾶς ψυχᾶς*⟩ | *ἀκρατίαν* Canter tacite p. 692: *-σίαν* libri ‖ **5** *ταὶ δὲ* A Br: *αἱ δὲ* Md Tr. | *διαθέσιες* Md Tr. Br: *συνθέσιες* A ‖ **7** *αλογωκέρεα* Md | *νοσέει* ci. Meineke ‖ **8** *ἁ* Md Tr. Br: *ἡ* A ‖ **9** *τῶ* Br ut videtur: *τοῦ* MdA Tr. ‖ **10** *τυγχάνοντι* Md Tr. Br: *-ουσι* A ‖ **11** *τοῦτο πράσσοντι* — p. 84, 2 *λύπας καὶ φόβω* om. Tr. | *πράσσοντι* Md Br: *πράττοντι* A | *κακίαι* A: *κακία* Md Br ‖ **13** *πάλιν δὲ* Md Br: *πάλιν* A | *ἐπικρατέει* malebat Meineke ‖ **14** *ἁ* Md Br:: *ἡ* A ‖ **15** *ἀκρατίαν* MdA Br; *ἀκρασίαν* Meineke | *καθὸ δὲ* A: *καθὸ* Md Br ‖ **16** *λύπας* Md Br: *λύπης* A | *χαρίζονται* tacite Gesn.[2] p. 10, inde vulg.: *χαρίζοντι* MdA Br | *ἀμβλακίσκοντι* Meineke: *ἀμπλακίσκοντι* Md Br *ἀμπλακίσκονται* A ‖ **17** *τῶ* Br, fortasse M: *τοῦ* A; *τῷ* Gesn.[2], inde vulg. | *ὑγιὲς ἦμεν* corr. Gesn.[2] p. 10 mrg: *ὑγιεῖς εἰμὲν* (*εἰμεν* Br) MdA Br | *ταύτᾳ δὲ οὐ* (malui *δ' οὐ*) *κακίαι. πάλιν ὦν* Gaisford: *ταῦτα δ' οὐ κακίαι πλάνον* Md *ταῦτα δ' οὐ κακία πλάνου* A *ταύτᾳ*

σίως δεῖ τὰν ἀρετὰν τὰ δέοντα πράσσεν. τὸ μὲν ἀκούσιον οὐκ ἄνευ λύπας καὶ φόβω· τὸ δ' ἑκούσιον οὐκ ἄνευ ἁδονᾶς καὶ φιλοφροσύνας. ἅμα δὲ καὶ ὁ λόγος ὁ τᾶς διαιρέσιος συμπέσοι κα † παρείτω ταῦθ' οὕτως ἔχεν. ἁ μὲν γὰρ γνῶσις καὶ ἁ ὅρασις τῶν πραγμάτων τῶ λόγον ἔχοντος μέρεος ἐντὶ τᾶς ψυχᾶς· ἁ δὲ δύναμις τῶ ἀλόγω. τὸ γὰρ ἀντέχεν μὲν δύνασθαι τοῖς πόνοις, ἐπικρατὲν δὲ τᾶν ἁδονᾶν, οἰκῇόν ἐντι τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς. ἁ δὲ προαίρεσις ἐν ἀμφοτέροις αὐτοῖς γίνεται, καὶ τῷ λόγον ἔχοντι μέρει τᾶς ψυχᾶς καὶ τῷ ἀλόγῳ· σύγκειται γὰρ ἐκ διανοίας καὶ ὀρέξιος, ὧν ἁ μὲν διάνοια τῶ λόγον ἔχοντός ἐντι, ἁ δ' ὄρεξις τῶ ἀλόγω. διὸ καὶ ἀρετὰ πᾶσα ἐν συναρμογᾷ γίνεται τῶν μερέων τᾶς ψυχᾶς, καὶ τὸ ἑκούσιον δὲ καὶ τὸ προαιρετὸν πάντως ἐν τᾷ ἀρετᾷ.

119 (1, 53 Mein.) *Ἐκ τοῦ Ἐπικτήτου ἐγχειριδίου* (c. 42).

Ὅταν τις κακῶς τι ποιῇ ἢ κακῶς τι λέγῃ, μέμνησο

δὲ οὐ κακίαι πλάνον Br. aliorum conatus vide apud Orellium opusc. sent. et mor. II p. 698

1 πράσσεν Br ni fallor: πράσσειν M^{d}A | v. τὸ μὲν ἀκούσιον — 3 φιλοφροσύνας iterat Maximus c. 55 p. 661 Combef. (*Θεαγοῦς Πυθαγορείου*) | τὸ μὲν M^{d} Br: τὸν μὲν A ‖ **2** ἑκούσιον A Br: ἑκούσιος M^{d} ἀκούσιον Tr. ‖ **3** ἁδονᾶς M^{d} Br: ἡδονᾶς A Tr. | ὁ ante τᾶς om. Tr. ‖ **4** συμπέσοι M^{d}A Br: ἐμπέσοι Tr. | κα Buecheler: καὶ libri | παρείτω M^{d}A Br Tr.: περὶ τῶ ci. Buecheler, περαίνων ego. ἐμπεδοῖ καὶ παρίητι Badham; non rectius locum attigit Mullach Schowii libro deceptus interpolato ‖ **5** ἁ ὅρασις Tr.: ἀόνασις M^{d} ἁ ὄνασις A Br | πραγμάτων M^{d} Tr.: πρατάτων A πραττάντων Br | τῶ (vel τω) libri nisi quod τοῦ Tr. ‖ **7** v. τὸ γὰρ ἀντέχειν — 10 τῷ ἀλόγῳ recurrunt Maxim. c. 59 p. 669 Combef. (*Θεάγους*) ‖ **7** ἀντέχεν M^{d}: -ειν A Tr. Br | μὲν Buecheler: μὴ libri | τοῖς πόνοις M^{d}A Br: τῶν πόνων Tr. | ἐπικρατὲν Canter l. c. p. 693: -εῖν libri ‖ **8** τᾶν ἁδονᾶν Gaisford: τὰν ἁδονὰν A τὰν ἡδονὰν M^{d} Br (sic) τὰν ἁδονήν Tr. | οἰκεῖον libri: οἰκῇον Canter tacite ‖ **9** γίγνεται A ‖ **10** τοῦ ἀλόγου Tr. ‖ **11** τῶ M^{d} Br: τοῦ Tr. om. A ‖ **13** τῶν μερέων M^{d}A Br: τῶ μέρεος Tr. | καὶ τὸ ἑκούσιον Meineke: καὶ ἑκούσιον (om. τὸ) M^{d}A Tr. τὸ ἑκούσιον (om. καὶ) Br quod verum putat Beving *remarques crit.* p. 7 ‖ **14** τὸ ante προαιρ. non omisit Br, fallitur Beving | προαιρετὸν ex προαιρετικὸν corr. A^{1} | τᾶ ἀρετᾶ (vel -ᾷ) M^{d} Tr. Br: τῇ ἀρετῇ A ‖ **15** ecl. cum lemm. hab. MA (post ecl. 1, 68 Mein.); τοῦ αὐτοῦ ἐγχειριδίου temere Gaisford Gesneri traiectionibus deceptus ‖ **16** ὅταν (ὅτάν

ὅτι καθήκειν αὐτῷ οἰόμενος ποιεῖ. τί οὖν; ἀκολουθήσει τῷ σοὶ φαινομένῳ ἢ τῷ αὐτῷ; ἀλλὰ κακῶς αὐτῷ φαίνεται. τίς οὖν ἐξηπάτηται; ἐκεῖνος. τίς οὖν βέβλαπται; ὁ ἐξηπατημένος. καὶ γὰρ τὸ ἀληθὲς συμπεπλεγμένον ἐάν τις ὑπολάβῃ ψεῦδος, οὐ τὸ συμπεπλεγμένον βλάπτεται, ἀλλ' ὁ ὑπολαβών.

120 (1, 62 Mein.) *Περικτιόνης Πυθαγορείας περὶ σοφίας* (fr. 13 phil. Gr. II p. 32 sq. Mullach.).

Γέγονε δὲ καὶ συνέστα ὁ ἄνθρωπος ποττὸ θεωρῆσαι τὸν λόγον τᾶς τῶ ὅλω φύσιος· καὶ τᾶς σοφίας ἔργον ἐστὶν

M[d]) *τις κακῶς τι* (*τί* M[d]) *ποιῇ ἢ κακῶς τι* (*τί* M[d]) *λέγῃ* M[d]A: *ὅταν σέ τις κακῶς ποιῇ ἢ κακῶς λέγῃ* vel *ὅταν τὶς κακῶς τι ποιῇ ἢ κακῶς σε λέγῃ* Arriani libri plerique, *ὅταν τίς σε κακῶς τι ποιῇ ἢ κακῶς σε λέγῃ* Arriani vulg.

1 *καθήκειν* ex *καθάκειν* corr. A[1] | *ποιεῖ* M[d]A: *ποιεῖ ἢ λέγει* Arr. | *τί οὖν, ἀκολουθήσει τῷ σοι φαινομένῳ ἢ τῷ αὐτῷ;* M[d]A: *οὐχ οἷόν τε οὖν ἀκολουθεῖν αὐτὸν τῷ σοὶ φαινομένῳ ἀλλὰ τῷ ἑαυτῷ* Arr. ‖ **2** *ἀλλὰ κακῶς* — 4 *ὁ ἐξηπατημένος* (*ἠπατημένος* A) M[d]A: *ὥστε εἰ κακῶς αὐτῷ* (*αὐτῷ* om. plerique) *φαίνεται, ἐκεῖνος βλάπτεται ὅστις καὶ ἐξηπάτηται* Arr. Stobaeo 'verissimum disputationis Epicteteae colorem' vindicat Schweighaeuser. sed hic ut alibi certo iudicari non poterit priusquam praesto erit enchiridii recensio artis satis faciens legibus ‖ **4** *ἐάν τις* M[d]A: *ἄν τις* Arr. ‖ **5** *οὐ τὸ* M[d] Arr.: *αὐτῷ* A | *βλάπτεται* M[d]A Arriani haud pauci: *βέβλαπται* Arriani non nulli ‖ **6** *ὑπολαβών* (*ὑπολαβὸν* A?) M[d]A: *ἐξαπατηθείς* Arr. ‖ **7** ecl. cum lemm. hab. MA (post ecl. 1, 53 Mein.) Br (post ecl. 1, 68 Mein. sed om. ecl. 1, 53 Mein.). tamquam ex Archytae *περὶ σοφίας* libro hanc et proximam eclogam rettulit Iamblichus protreptici c. IV p. 20 sq. Pist. neque igitur deerit qui Perictionae locum una cum libri titulo (*ἐκ τοῦ περὶ γυναικὸς ἁρμονίας* citatur flor. 79, 50 et 85, 19 Mein.) suspicetur intercidisse ut fuerit olim *Περικτιόνης Πυθαγορείας* ⟨*ἐκ τοῦ* ..... *Ἀρχύτα Πυθαγορείου ἐκ τοῦ*⟩ *περὶ σοφίας*. et favet huic suspicioni quod Ionica, non Dorica dialecto scripta sunt quae infra Perictionae adsignantur flor. 79, 50 et 85, 19. etiam prooemio operis sui Ioannem Perictionae eclogam inseruisse docet pinacographus Photii p. 47 Elt., qui recte offert *Περικτιόνης*, cum *περικτυόνης* habeant M[d]A Br; *πυθαγορίας* suo more A ‖ **9** *συνέστα* libri Stobaei (nisi quod *εστα* hodie detritum est in A) Iambl.; *συνέστακεν* ci. Meineke ‖ **10** *τῶ ὅλω* Iambl.: *τῶν ὅλων* M[d]A Br | ante *καὶ τᾶς σοφίας* recte distinguit Iambl.,

αὐτὸ τοῦτο κτήσασθαι καὶ θεωρῆσαι τὰν τῶν ἐόντων φρόνασιν;

121 (1, 63 Mein.) *Ἐν ταὐτῷ* (fr. 13 l. c. p. 33).

Γαμετρία μὲν ὦν καὶ ἀριθμητικὰ καὶ τἆλλα τὰ θεωρητικὰ καὶ ἐπισταμονικὰ περὶ . . . τῶν ἐόντων κατασχολέονται, ἁ δὲ σοφία περὶ πάντα τὰ γένεα τῶν ἐόντων. οὕτως γὰρ ἔχει σοφία περὶ πάντα τὰ ἐόντα, ὡς ὄψις περὶ πάντα τὰ ὁρατὰ καὶ ἀκοὰ περὶ πάντα τὰ ἀκουστά. τὰ δὲ συμβεβακότα τοῖς ἐοῦσιν ἃ μὲν καθόλω πᾶσι συμβέβακεν, ἃ δὲ πλείστοις αὐτῶν, ἃ δέ πᾳ ἑνὶ ἑκάστῳ. τὰ μὲν ὦν καθόλω πᾶσι συμβεβακότα συνιδὲν καὶ θεω-

---

post *σοφίας* male libri Stobaei | *σοφίας* M^{d}A Br: *σοφίας ὦν* Iambl. qui pergit *ἔργον ⟨κτᾶσθαι⟩ καὶ θεωρὲν τὰν τῶν ἐόντων φρόνασιν* | *ἐστὶν* M^{d} *ἐστὶ* A *δ'* (sic) *ἐστὶν* Br; aut tollendum erit verbum aut scribendum *ἐντὶ*

1 *αὐτὸ τοῦτο* Meineke v. IV p. LI: *αὐτῷ τούτῳ* M^{d} *τῷ αὐτῷ τούτῳ* A *αὐτῷ τοῦτο* Br; verba *ἐστὶν αὐτὸ τοῦτο* nescio an ipsius sint Stobaei vel epitomatoris | *τὰν τῶν* M^{d} Br *πάντων* A ‖ **3** ecl. cum lemm. hab. MA Br. conferatur Iamblichus protr. l. c. ‖ **5** *ἐπισταμονικὰ* Schow (vide mus. Rh. XLI p. 62): *ἐπιστῆμαι* (-*μα* Br) *καὶ* M^{d}A Br | *περὶ τῶν ἐόντων* M^{d}A Br (sic, non ut olim dixi mus. Rh. l. c. secundum Thomae collationem publici iuris factam) manifesto orationis hiatu: *περί τινα τῶν ἐόντων* scripsit Schow ex libro quodam interpolato, *περὶ ἔνια τῶν ἐόντων* proposuit Iacobs. ego satis habui lacunam indicasse post *περὶ* non uno fortasse vocabulo explendam, cf. Iamblichus p. 21, 14 sqq. Pist. *ἁ σοφία οὐ περί τι ἀφωρισμένον ἐντὶ τῶν ἐόντων, ἀλλ' ἁπλῶς περὶ πάντα τὰ ἐόντα κτἑ.* ‖ **6** *γένεα* maluit Meineke: *γένη* libri ‖ **7** *οὕτω γὰρ* Iambl.: *οὕτως γὰρ* A *οὐ γὰρ* M^{d} Br ‖ **8** *καὶ ἀκοὰ — ἀκουστά* om. Iamblichus qui non nihil differt etiam in proximis | *ἀκοὰ* tacite Schow: *ἀκοὴ* libri ‖ **9** *συμβεβακότα* Br ut videtur: *συμβεβηκότα* M^{d} Iamblichi cod. Flor. *συμβ . . . . ότα* A quattuor litteris erasis | *ἐοῦσιν* A: *ἐοῖσιν* M^{d} Br | *συμβέβακεν* M^{d}A: *συμβέβηκεν* Br ‖ **10** *πλείστοις* ci. Gesn.[2] p. 6 mrg: *ἑκάστοις* M^{d}A Br | *δέ πᾳ* Buecheler: *δὲ παρ'* M^{d} Br *δὲ περὶ* A; *δέ γα* ci. Meineke, *δὲ καὶ* P. Thomas Hermae Berolin. XIV p. 316 propter *ἃ δὲ καὶ* in membro tertio positum conferri iubens Luciani Nigrin. 16. exspectaveram *δ' ἰδίᾳ* propter p. 87, 2, sed lenius illud Buecheleri est ‖ **11** *τὰ μὲν ὦν* (*ὦν* M^{d}) M^{d} Br *τὰ . . . . ν* aliquot litteris erasis A; *τὰ ὦν* Iambl. | *θεωρὲν* Iambl.

ρῆσαι τᾶς σοφίας οἰκῆον, τὰ δὲ τοῖς πλείστοις τᾶς περὶ φύσιν ἐπιστάμας, τὰ δ' ἴδια καθ' ἕκαστον τᾶς περί τι ἀφωρισμένον ἐπιστάμας. καὶ διὰ τοῦτο σοφία μὲν τὰς τῶν ἐόντων ἁπάντων ἀρχὰς ἀνευρίσκει, φυσικὰ δὲ τὰς τῶν φύσει γινομένων, γαμετρία δὲ καὶ ἀριθμητικὰ καὶ μωσικὰ τὰς περὶ τὸ ποσὸν καὶ τὸ ἐμμελές. ὅστις ὦν ἀναλῦσαι οἷός ⟨τ'⟩ ἐστὶ πάντα ⟨τὰ⟩ γένεα ὑπὸ μίαν καὶ τὰν αὐτὰν ἀρχάν, καὶ πάλιν ἐκ ταύτας συνθεῖναι καὶ συναρθμήσασθαι, οὗτος δοκεῖ ⟨μοι⟩ καὶ σοφώτατος ἦμεν καὶ ἀλαθέστατος, ἔτι δὲ καὶ καλὰν σκοπιὰν εὑρηκέναι, ἀφ' ἇς δυνατὸς ἐσσεῖται τόν τε θεὸν κατοψεῖσθαι καὶ πάντα τὰ ἐν τᾷ συστοιχίᾳ τε καὶ τάξει τᾷ ἐκείνω κατακεχωρισμένα.

---

1 *οἰκῆον* M[d]A: *οἰκεῖον* Br Iamblichi cod. Flor. | *τὰ δὲ* — 3 *ἐπιστάμας* om. Iambl. ‖ **2** *φύσιν* nunc paene totum erasum in A | *ἐπιστάμας* tacite Schow p. 15: *ἐπιστήμας* M[d]A Br | *δὲ* M[d] Br | *ἰδίᾳ* mavult Meineke ‖ **3** *ἀφωρισμένον* M[d]A: *ἀφωρισμένας* Br | *ἐπιστάμας* M[d]A: *ἐπιστήμας* Br | *μὲν* om. Iambl. ‖ **4** *ἐόντων*] nihil fere nisi *ἐ* superest in A | *φυσικὰ δὲ* — 6 *τὸ ἐμμελές* non adfert Iambl. ‖ **5** *φύσι* Meineke v. IV p. LIV | *γιγνομένων* libri: corr. Meineke ‖ **6** *μωσικὰ* Orelli opusc. sent. et mor. II p. 348: *μουσικὰ* M[d] Br eras. A | *τὰς*] praeter *σ* nihil clare dignoscitur in A | *ὅστις* A Br Iambl.: *ὥστις* M[d] ‖ **7** *ἀναλῦσαι* om. A | *οἷός ἐστι* M[d]A Br *οἷος τέ ἐστι* Iamblichi cod. Flor. *οἷός τ' ἐντὶ* in Iamblicho Kiessling | *τὰ* ex Iamblicho addidit Meineke | *γένεα* Iambl.: *γένη* M[d]A Br | *μίαν τε καὶ* Iambl. ‖ **8** syllabae *αὐτ⟨ὰν ἀρχὰν καὶ⟩* erasae sunt in A | *συνθεῖναί τε καὶ* Iambl. | *συναρθμήσασθαι* Meineke: *ἀριθμάσασθαι* M[d] ex *-ήσασθαι* corr. Br[1] *ἀριθμήσασθαι* A, *συναριθμήσασθαι* Iambl.; *ἀρθμάσασθαι* proposuit Iacobs animadv. in Stob. p. 220, *ἀρτίσασθαι* scr. Mullach ‖ **9** *μοι* addidi ex Iamblicho | *ἦμεν* Iambl.: *εἶναι* M[d]A Br ‖ **10** *ἀληθέστατος* (*ἀλαθ.* Schow) Stobaei libri: *παναληθέστατος* minus apte Iambl. | *ἔ⟨τι δὲ καὶ κα⟩λ⟨ὰν⟩* quae uncis saepsimus evanida sunt in A | *εὑρηκέναι* Iambl.: *ἀνευρηκέναι* M[d]A Br ‖ **11** *ἐφ' ἇς* oscitantur Gesn.[2] p. 7, inde vulg. | *τε* M[d] Br suppl. A[1] ut videtur, om. Iambl. | *κατοψεῖσθαι* Iambl.: *κατόψεσθαι* M[d]A Br ‖ **12** *πάντα τὰ* tacite Gesn.[2] p. 7 et sic Iambl. et ut videtur Br: *πάντα τε τα* M[d] A | *τᾷ* om. operarius Gesn.[2], inde vulg. | *συστοιχία* (vel *-ίᾳ*) M[d] Iambl.: *συστοιχείᾳ* Br, erasum est vocabulum praeter syll. *στοι* in A | *τε* om. Iambl. | *τάξι* maluit Meineke | *τᾷ* Iambl.: *τα* libri Stob. | *ἐκείνω* Br: *ἐκείνου* M[d]A Iamblichi cod. Flor.

122 (1, 87 Mein.) *Θεμιστίου ἐκ τοῦ Μετριοπαθοῦς ἢ Φιλοτέκνου* (p. 434, 14 Dind.).

Οὕτω δὲ καὶ τῷ ἀνθρώπῳ ἐγκεχρῶσθαί ἐστιν ἀναγκαῖον ἡδονὴν καὶ λύπην καὶ ξύμπαντα τὰ ἄλλα παθήματα, πλείω δὲ καὶ ἐμμονωτέραν τὴν λύπην. καὶ τοῦτο αὖ πάλιν Αἴσωπος λέγει· τὸν γὰρ πηλὸν αὐτῷ ὁ Προμηθεύς, ἀφ᾽ οὗ τὸν ἄνθρωπον διεπλάσατο, οὐκ ἐφύρασεν ὕδατι, ἀλλὰ δακρύοις. οὐχὶ οὖν ἐκκόπτειν αὐτὰ πειρᾶσθαι χρεών, ἀμήχανον γάρ. ἀλλ᾽ εἴπερ ἄρα, εἴη ἐπικόπτειν τε καὶ πραΰνειν κοιμίζειν τε ἐφ᾽ ὅσον δυνατὸν καὶ νουθετεῖν· ταύτην γὰρ εὐμενῶς προσίεται τὴν ἐπιμέλειαν. καὶ οὕτως σοι αὐτὰ παιδαγωγοῦντι ἀναφανήσεται χρήσιμά τε καὶ ὠφέλιμα ἀντὶ ἀχρήστων καὶ βλαβερῶν. οὐ γὰρ ὁ θεὸς αὐτὰ ἐνεκεράσατο τῷ ἀνθρώπῳ, ὅπως λώβην τε αὐτῷ καὶ αἶσχος προσθείη, ἀλλὰ καὶ ταῦτα πρὸς διαμονὴν καὶ σωτηρίαν τοῦ γένους προσύφηνέ τε καὶ προσῳκοδόμησε τῇ ψυχῇ. θυμὸν μέν, ὅπως ἂν τὰ βλάπτοντα ἀμυνώμεθα· ἐπιθυμίαν δὲ ἐδωδῆς καὶ ποτῶν πρὸς τὴν ξύμφυτον καὶ ἀναγκαίαν ἀπορροήν· καὶ οὕτω δὴ ἄλλο πρὸς ἄλλην τινὰ τεταγμένον τοῦ σώματος κῆρα. μένειν δὲ ἕκαστον χρὴ ἐν τῷ μέτρῳ· καὶ τὸ μέτρον τοῦτο ἑκάστου γίνεται ἀρετή· τοῦ μὲν θυμοειδοῦς ἀνδρεία, τοῦ δὲ ἐπιθυμητικοῦ σωφροσύνη, τοῦ δ᾽ αὖ φιλοχρημάτου καὶ φιλοκερδοῦς ἐλευθεριότης τε καὶ μεγαλοπρέπεια· ὅσον δὲ ἐπτόηται περὶ τιμὰς καὶ δυνάμεις

---

1 ecl. cum lemm. hab. MA Br post ecl. 1, 63 Mein.; *φιλοξέκνου* ex *φιλοξένου* corr. A[1] ‖ **8** *οὐχὶ οὖν* A Themist.: *οὔκουν* M[d] Br ‖ **9** *ἐπικόπτειν* Themist.: *κόπτειν* sed *ἐπι* inter lineas add. M[d] *κόπτειν* A Br ‖ **10** *κοιμίζειν* A Br Themist.: *κομίζειν* M[d] ‖ **12** *οὕτω* Themist. | *σοι αὐτα* libri Stobaei et Themist.: *τοιαῦτα* Harduinus ‖ **14** *ἐνεκεράσατο* M[d] Br Themist.: *ἐνεκράσατο* A ‖ **15** *λώβην τε καὶ αἶσχος αὐτῷ* Themist. ‖ **19** *πρὸς* M[d] Br Themist.: *καὶ πρὸς* A | *ξύμφητον* A ‖ **20** *τινὰ* om. A ‖ **21** *κῆραν* Br | *τὸ* M[d] Br Themist.: *τῷ* A teste Gaisfordo | *μέτριον* Br ‖ **23** *ἀνδρεία* Dindorf in Themistio: *ἀνδρία* M[d]A Br ‖ **25** *ὅσον* M[d]A Br: *ὅσα* Themistius

καὶ προεδρίας, τούτου ἐστὶ τὸ μέτρον μεγαλοψυχία. εἰ δὲ ἀκόσμητα ἐαθείη καὶ ἀθεράπευτα ὑπὸ τοῦ λόγου, καθάπερ φυτὰ ἥμερα καὶ χρηστὰ ἐξαμελήσαντος γεωργοῦ, ἀπαγριοῦται εὐθὺς καὶ ἐξυβρίζει καὶ παραβλαστάνει τὰς κακίας καθάπερ ἀκάνθας χαλεπὰς καὶ φαρμακώδεις τοῖς τε ἄλλοις καὶ μάλιστα τῷ κεκτημένῳ. ἔστι δ' ἐφ' ἂν ἔμπαλιν καταφθίνει καὶ ἀπομαραίνεται εἴσω τῆς ἀκμῆς· καὶ δέονται οὗτοι τοῦ λόγου οὐ ⟨τοῦ⟩ κολούοντος καὶ θλίβοντος καὶ πιέζοντος, ⟨ἀλλὰ τοῦ ἐπάρδοντός τε καὶ ἐπανάγοντος καὶ ἐρεθίζοντος⟩ πρὸς τὴν αὔξην τὴν ἐοικυῖαν. καὶ διὰ τοῦτο ἄρα ἑκάστην ἀρετὴν περικάθηνται ἔνθεν καὶ ἔνθεν δύο κακίαι, ἡ μὲν τὸ ἐνδεὲς τοῦ παθήματος ἀγαπῶσα, ἡ δὲ τὸ πλεονάζον ἀσπαζομένη. δεῖ δ' οὐ πρὸς τὰ φαῦλα καὶ διεστραμμένα ὁρῶντας ἅπαντα ὁμοίως ὑποπτεύειν καὶ διεξελαύνειν, ἀλλὰ τὸ βούλημα ἐξετάζειν τῆς φύσεως, καὶ πρὸς ὅ τι ἕκαστον τῶν παθημάτων ἐνεφύτευσε καὶ ἐνεσημήνατο τῇ ψυχῇ.

123 (1, 88 Mein.) *Πορφυρίου ἐκ τοῦ Περὶ τῶν πρὸς τὰ νοητὰ ἀφορμῶν* (opusc. Porphyr. p. 80 ed. Holsten.).

Ἄλλαι αἱ ἀρεταὶ τοῦ πολιτικοῦ, καὶ ἄλλαι αἱ τοῦ

---

1 *προεδρίας* M[d] Br: *προσεδρίας* A | *τούτου* (*τοῦτο* A) libri Stobaei: *τούτων* Themist. | *μέτρον* Themist.: *μέτριον* M[d]A Br ‖ **3** *φυτὰ καὶ ἥμερα καὶ χρ.* Themist. ‖ **5** *χαλεπάς τε καὶ φαρμ.* Themist. ‖ **6** *δὲ* (pro *δ'*) M[d] Br ‖ **7** *εἴσω* A Br Themist.: *ἔσω* M[d] ‖ **8** *τοῦ λόγου οὐ τοῦ* scripsi: *τοῦ λόγου οὐ* A *τοῦ λόγου* M[d] Br; *λόγου οὐ τοῦ* Themist. | *κολούοντος* M[d]A Br: *κωλύοντος* Themist. ‖ **9** *καὶ θλίβοντος* om. libri Themistii non sine membrorum concinnitatis detrimento | *πιέζοντος* Themist.: *πιεζοῦντος* M[d]A Br | *ἀλλὰ τοῦ — ἐρεθίζοντος* ex Themistio addidit Gaisford ‖ **10** *πρὸς τὴν αὔξην* om. Br, si recte intellego P. Thomam *le cod. Brux. du florilége de Stobée* p. 8 ‖ **11** *ἐοικυῖαν* A Themist.: *οἰκείαν* M[d] Br ‖ **14** *δεῖ δὲ οὐ* M[d] Br ‖ **15** *ἅπαντα* A Themist.: *ἅπαντας* M[d] Br (sic) | *διεξελαύνειν* Themist.: *ἐξελαύνειν* M[d]A Br ‖ **17** *ἐνεφύτευσέ τε* Themist.: *ἐνεφύτευσεν* (-*σε* Br) libri Stob. illud verum est. cf. p. 88, 16 *προσύφηνέ τε καὶ προσῳκοδόμησε τῇ ψυχῇ* ‖ **18** ecl. cum lemmate hab. MA Br; *ἐκ τῶν πρὸς τὰ νοητὰ ἀφορμῶν* Br ‖ **20** *αἱ ἀρεταὶ τοῦ* M[d]A Br: *ἀρεταὶ αἱ τοῦ* Gesn.[2], inde vulg.; *ἀρεταὶ τοῦ* (om. *αἱ*) Holstenius qui edidit hunc tractatum

πρὸς θεωρίαν ἀνιόντος καὶ διὰ τοῦτο λεγομένου θεωρητικοῦ, καὶ ἄλλαι αἱ τοῦ ἤδη τελείου θεωρητικοῦ καὶ ἤδη θεατοῦ, καὶ ἄλλαι αἱ τοῦ νοῦ, καθὸ νοῦς, καὶ ἀπὸ ψυχῆς καθαροῦ. αἱ μὲν τοῦ πολιτικοῦ ἐν μετριοπαθείᾳ τοῦ ἀλόγου κείμεναι, τῷ ἕπεσθαι καὶ ἀκολουθεῖν τῷ λογισμῷ τοῦ καθήκοντος κατὰ τὰς πράξεις. διὸ πρὸς κοινωνίαν βλέπουσαι τὴν ἀβλαβῆ τῶν πλησίον ἐκ τοῦ συναγελασμοῦ καὶ τῆς κοινωνίας πολιτικαὶ λέγονται. καὶ ἔστι φρόνησις μὲν περὶ τὸ λογιζόμενον, ἀνδρεία δὲ περὶ τὸ θυμούμενον, σωφροσύνη δ' ⟨ἐν ὁμολογίᾳ καὶ συμφωνίᾳ ἐπιθυμητικοῦ πρὸς λογισμόν, δικαιοσύνη δ'⟩ ἡ ἑκάστου τούτων ὁμοῦ οἰκειοπραγία, ἀρχῆς πέρι καὶ τοῦ ἄρχεσθαι. αἱ δὲ τοῦ πρὸς θεωρίαν προκόπτοντος θεωρητικοῦ ἐν ἀποστάσει κεῖνται τῶν ἐντεῦθεν· διὸ καὶ καθάρσεις αὗται λέγονται ἐν ἀποχῇ θεωρούμεναι τῶν τοῦ σώματος πράξεων καὶ συμπαθειῶν τῶν πρὸς αὐτό. αὗται μὲν γὰρ τῆς ψυχῆς ἀφισταμένης πρὸς τὸ ὄντως ὄν, αἱ δὲ πολιτικαὶ τὸν θνητὸν ἄνθρωπον κατακοσμοῦσι. καὶ πρόδρομοι δ' αἱ πολιτικαὶ τῶν καθάρσεων· δεῖ γὰρ κοσμη-

---

'ex Vaticano codice' (cf. Nauck Porphyr. op. praef. p. IX ed. sec.) Romae a. 1630 p. 80 sqq. Stobaeo non adsumpto. libelli rarioris discrepantiam adscripsi fere integram. cf. Plotinus enn. I 2 | *αἱ* ante *τοῦ* om. Holstenius

2 *καὶ ἄλλαι — θεωρητικοῦ* om. Holstenius | *ἤδη θεατοῦ* M[d] Br Holstenius: *ἐνδιαθέτου* A || 4 *καθαροῦ* libri Stob.: *καθαρός* Holstenius | *τοῦ ἀλόγου* M[d] Br: *τοῦ λόγου* A; verba om. Holstenius || 5 *τὸ ἕπεσθαι* Holstenius || 7 *συναγελασμοῦ* A Br Holstenius: *συναγελισμοῦ* M[d] || 8 *καὶ* (ante *τῆς κ.*) om. Holstenius | *ἔστιν* M[d] | vocabuli *φρόνησις* syllabae *φρόνησι* hodie legi iam non possunt in A sicut mox *μὲν* particulae nil agnoscitur nisi *μ* || 9 *ἀνδρεία* Holstenius: *ἀνδρία* libri Stob. || 10 *ἐν ὁμολογίᾳ — δικαιοσύνη δὲ* ex Holstenii editione addidit Gaisford; *δ'* scripsi pro *δὲ*. conferatur Plotinus enn. I 2, 1 || 11 *ἡ* om. Holstenius | *ἑκάστῳ* Holstenius | *τούτων ὁμοῦ* M[d] Br Holstenius: *τοῦ νόμου* A || 12 *τοῦ* om. Holstenius || 13 *θεωρητικοῦ* om. Holstenius || 14 *ἐνταῦθα* ci. Gesn.[2] p. 20 mrg | *καθάρσεις* M[d] Br Holstenius: *κάθαρσις* A || 15 *τῶν τοῦ* M[d] Br: *τῶν μι τοῦ* A. scripserim igitur aut *τῶν μετὰ τοῦ σ.* aut, quod habet Holstenius, *τῶν μετὰ σ.* coll. p. 91, 1 || 16 *αὐτό* M[d] Br Holstenius: *ἑαυτό* A || 18 *κατακοσμοῦσαι* Holstenius || 19 *δ' αἱ* scripsi: *δὲ* M[d] A Br *τε αἱ* Holstenius

θέντα κατ᾽ αὐτὰς ἀποστῆναι τοῦ σὺν σώματι πράττειν τι προηγουμένως. διὸ ἐν ταῖς καθάρσεσι τὸ μὲν μὴ συνδοξάζειν τῷ σώματι, ἀλλὰ μόνην ἐνεργεῖν, ὑφίστησι τὸ φρονεῖν, ὃ διὰ τοῦ καθαρῶς νοεῖν τελειοῦται· τὸ δέ γε μὴ ὁμοπαθεῖν συνίστησι τὸ σωφρονεῖν, τὸ δὲ μὴ φοβεῖσθαι ἀφισταμένην τοῦ σώματος ὡς εἰς κενόν τι καὶ μὴ ὂν τὴν ἀνδρείαν. ἡγουμένου δὲ λόγου καὶ νοῦ καὶ μηδενὸς ἀντιτείνοντος, δικαιοσύνη τὸ τοιοῦτον. ἡ μὲν οὖν κατὰ τὰς πολιτικὰς ἀρετὰς διάθεσις ἐν μετριοπαθείᾳ θεωρεῖται, τέλος ἔχουσα τὸ ζῆν ὡς ἄνθρωπον κατὰ φύσιν· ἡ δὲ κατὰ τὰς θεωρητικὰς ἐν ἀπαθείᾳ, ἧς τέλος ἡ πρὸς θεὸν ὁμοίωσις. ἐπεὶ δὲ κάθαρσις ἣ μέν τις ἦν καθαίρουσα ἣ δὲ κεκαθαρμένων, αἱ καθαρτικαὶ ἀρεταὶ κατ᾽ ἄμφω θεωροῦνται τὰ σημαινόμενα τῆς καθάρσεως· καθαίρουσί τε γὰρ τὴν ψυχὴν καὶ καθαρθείσῃ σύνεισι· τέλος γὰρ τὸ κεκαθάρθαι τοῦ καθαίρειν. ἀλλ᾽ ἐπεὶ τὸ καθαίρειν καὶ κεκαθάρθαι ἀφαίρεσις ἦν παντὸς τοῦ ἀλλοτρίου, τὸ ἀγαθὸν ἕτερον ἂν εἴη τοῦ καθαίροντος· ὥστ᾽ εἴ γε πρὸ τῆς ἀκαθαρσίας ⟨ἀγαθὸν ἦν τὸ καθαιρόμενον, ἡ

---

1 σίν pro σὺν M[d] | σὺν τοῖς σώμασι Holstenius. nescio igitur an scribendum sit σὺν ⟨τῷ⟩ σώματι coll. p. 90, 15. 91, 3 ‖ **2** μὴ δοξάζειν Holstenius ‖ **3** μόνην M[d]: μόνον A Br Holstenius ‖ **5** ὁμοιοπαθεῖν Holstenius | συνίστησι evanuit in A praeter σι terminationem | μὴ om. A ‖ **6** κενόν M[d] Br: καινόν A Holstenius ‖ **7** τὴν evanuit in A | ἀνδρείαν Holstenius: ἀνδρίαν libri Stob. ‖ **8** ἡ δικαιοσύνη (om. τὸ τοιοῦτον) Holsteniana ‖ **11** ἡ δὲ evanuit in A ‖ **12** ἡ om. Holstenius p. 82 | δὲ καὶ κάθαρσις Holstenius ‖ **13** καθαρεύουσα Holstenius ‖ **15** καθαρθείσῃ ci. Gaisford: καθαρθείσης M[d]A Br καθάρσει Holsteniana ‖ **16** τὸ κεκαθάρθαι (-ται Holst.) Holstenius τὸ κ. ex τοῦ κ. in ras. corr. Br[1]: τοῦ κεκαθάρθαι M[d]A | ἐπεὶ το Br Holstenius: ἐπὶ τοῦ M[d]A ‖ **17** παντὸς τοῦ ἀλλοτρίου ex corr. (vocabuli ἀφαίρεσις littera σ extr. et proximum ἦν in ras. atramento pallidiore) Br: τοῦ παντὸς τοῦ ἀλλοτρίου M[d] A παντὸς ἀλλοτρίου Holsteniana ‖ **18** καθαίροντος tacite Gesn.[2] p. 22, inde vulg. Holstenius: καθάραντος M[d]A Br | ὥστ᾽ εἴ γε scripsi: ὥστε γε M[d]A Br ὡς εἴ γε Holstenius ‖ **19** πρὸ M[d] Br Holstenius: πρὸς A | ἀγαθὸν ἦν τὸ καθαιρόμενον (ita scripsi pro καθαιρούμενον), ἡ κάθαρσις addidi ex Holsteniana. manifesta lacunae origo

κάθαρσις⟩ ἀρκεῖ· ἀλλ' ἀρκέσει μὲν ἡ κάθαρσις, τὸ δὲ καταλειπόμενον ἔσται τὸ ἀγαθόν, καὶ οὐχ ἡ κάθαρσις. ἀλλ' ἡ ψυχῆς φύσις οὐκ ἦν ἀγαθόν, ἀλλ' ἀγαθοῦ μετέχειν δυνάμενον καὶ ἀγαθοειδές· οὐ γὰρ ἂν ἐγένετο ἐν κακῷ. τὸ οὖν ἀγαθὸν αὐτῇ ἐν τῷ συνεῖναι τῷ γεννήσαντι, κακία δὲ τὸ τοῖς ὑστέροις. καὶ διπλῇ γε κακία, τό τε τούτοις συνεῖναι καὶ μετὰ παθῶν ὑπερβολῆς· διόπερ αἱ πολιτικαὶ ἀρεταὶ μιᾶς γοῦν αὐτὴν κακίας ἀπαλλάττουσαι ἀρεταὶ ἐκρίθησαν καὶ τίμιαι, αἱ δὲ καθαρτικαὶ τιμιώτεραι καὶ τῆς ὡς ψυχικῆς κακίας ἀπαλλάττουσαι. δεῖ τοίνυν καθηραμένην αὐτὴν συνεῖναι τῷ γεννήσαντι. καὶ ἀρετὴ ἄρα αὐτῆς μετὰ τὴν ἐπιστροφὴν αὕτη, ἥπερ ἐστὶν ἐν γνώσει καὶ εἰδήσει τοῦ ὄντος· οὐχ ὅτι οὐκ ἔχει παρ' αὐτῇ ταύτην, ἀλλ' ὅτι ἄνευ τοῦ πρὸ αὐτῆς οὐχ ὁρᾷ τὰ αὐτῆς. ἀλλ' οὖν γένος τρίτον ἀρετῶν μετὰ τὰς καθαρτικὰς καὶ τὰς πολιτικὰς νοερῶς τῆς ψυχῆς ἐνεργούσης· σοφία μὲν καὶ φρόνησις ἐν θεωρίᾳ ὧν νοῦς ἔχει, δικαιοσύνη δὲ ἐν οἰκειοπραγίᾳ μὲν ἐν τῇ πρὸς τὸν νοῦν ⟨δ'⟩ ἀκολουθίᾳ καὶ τῷ πρὸς νοῦν ἐνεργεῖν. σωφροσύνη δὲ ἡ εἴσω πρὸς νοῦν στροφή· ἡ δὲ ἀνδρεία ἀπάθεια, καθ' ὁμοίωσιν τοῦ πρὸς

---

1 *ἀρκεῖ* M^d^A Br: *ἤρκει* Holstenius | *ἀρκέσει* M^d^A Br: *ἀρέσκει* Holstenius ‖ **2** *καὶ* om. Holstenius ‖ **3** *ἀλλ' ἡ* M^d^A Holstenius, dubito de Br: *ἀλλὰ ἡ* tacite Gesn.², inde vulg. ‖ **5** *οὖν* M^d^ Br Holstenius: *γοῦν* A | *αὐτῆς* scripserim coll. Plot. enn. I 2, 4 ‖ **7** *διὸ πᾶσαι αἱ* Holstenius ‖ **8** *κακίας αὐτὴν* A ‖ **9** *ἐκλήθησαν κ. τίμιοι* Holstenius ‖ **10** *ψυχικῆς κακίας* M^d^ Br: *ψυχῆς κακίας* A *ψυχὴν κακίαν* Holstenius l. c. p. 83 ‖ **11** *γεννήθεν* A corr. A¹ opinor (*σαντι* superscr.) ‖ **12** *αὕτη ἥπερ ἐστὶν*] *αὐτὴ πάρεστιν* Holstenius ‖ **13** *οὐκ — ἀλλ' ὅτι* om. Holstenius ‖ **14** *τοῦ* M^d^ Br Holstenius: *τὰ* A | *οὐχ ὁρᾷ τὰ αὐτῆς* om. Holstenius ‖ **15** *ἀλλ'* M^d^A: *ἄλλο* Br Holstenius | *οὖν* redintegravit Br ‖ **16** *τὰς* om. Holstenius | *μὲν καὶ* M^d^ Br Holstenius: *μὲν γὰρ καὶ* A ‖ **17** *ὧν* A Holstenius: *ὤν* M^d^ *ἦν* Br ‖ **18** *μὲν* ut paulo ante *ἐν* om. Holstenius | *ἐν τῇ πρὸς τὸν νοῦν* etiam A, fallitur Gaisford | *δ'* addidit Buecheler | *καὶ τῷ πρὸς νοῦν ἐνεργεῖν* M^d^ Br: *καὶ πρὸς τὸν νοῦν ἐνεργεῖν* A *καὶ τὸ πρὸς τὸν ν. ἐ.* Holstenius. fortasse *καὶ τῷ πρὸς τὸν ν. ἐ.* ut scripsit Creuzer ante Plotini ed. Didot. p. XXXIX ‖ **19** *ἡ* om. Holstenius ‖ **20** *στροφὴ* M^d^A Holstenius: *συστροφή* Br | *ἀνδρεία* M^d^ Holstenius: *ἀνδρία* A Br

ὃ βλέπει ἀπαθὲς ὂν τὴν φύσιν. καὶ ἀντακολουθοῦσί γε αὗται ἀλλήλαις ὥσπερ καὶ ⟨αἱ⟩ ἄλλαι. τέταρτον ⟨δ᾽⟩ εἶδος ἀρετῶν τὸ τῶν παραδειγματικῶν, αἵπερ ἦσαν ἐν τῷ νῷ κρείττους οὖσαι τῶν ψυχικῶν, καὶ τούτων παραδείγματα ⟨ὧν καὶ τῆς ψυχῆς ἦσαν ὁμοιώματα· νοῦς μέν, ἐν ᾧ ἅπαντα⟩ ὥσπερ παραδείγματα· ἐπιστήμη δὲ ἡ νόησις, σοφία δὲ γιγνώσκων ὁ νοῦς· τὸ δὲ πρὸς αὐτὸν ἡ σωφροσύνη, τὸ δ᾽ οἰκεῖον ἔργον ἡ οἰκειοπραγία, ἡ δὲ ἀνδρεία ἡ ταυτότης καὶ τὸ ἐφ᾽ ἑαυτοῦ μένειν καθαρὸν διὰ δυνάμεως περιουσίαν. τέτταρα τοίνυν ἀρετῶν γένη πέφηνεν· ⟨ὧν⟩ αἱ μὲν ἦσαν αἱ τοῦ νοῦ αἱ παραδειγματικαὶ καὶ σύνδρομοι αὐτοῦ τῇ οὐσίᾳ· αἱ δὲ ψυχῆς πρὸς νοῦν ἐνορώσης ἤδη καὶ πληρουμένης ἀπ᾽ αὐτοῦ· αἱ δὲ ψυχῆς ἀνθρώπου καθαιρομένης τε καὶ καθαρθείσης ἀπὸ σώματος καὶ τῶν ἀλόγων παθῶν· αἱ δὲ ψυχῆς ἀνθρώπου κατακοσμούσης τὸν ἄνθρωπον διὰ τοῦ τὰ μέτρα τῇ ἀλογίᾳ ἀφορίζειν καὶ μετριοπάθειαν ἐνεργάζεσθαι. καὶ ὁ μὲν ἔχων τὰς μείζους ἐξ ἀνάγκης ἔχει καὶ τὰς ἐλάττους· οὐ μὴν καὶ ἔμπαλιν. οὐκέτι μέντοι τῷ ἔχειν καὶ τὰς ἐλάττους ὁ ἔχων τὰς μείζους ἐνεργήσει καὶ κατὰ τὰς

2 *αἱ* addidit Buecheler | *δ᾽* addidi ex Holsteniana ‖ **3** *παραδειγμάτων* Holstenius ‖ **4** *τούτων παραδείγματα* M^d^A: *τούτων παραδειγμάτων* Br; *τούτων* (om. *παραδείγματα*) temere Gesn.[2] p. 23, inde vulg. ‖ **5** *ὧν καὶ — ἐν ᾧ ἅπαντα* addidi ex Holsteniana, qua edebatur *ἐν ᾧ ἅματα*. possis etiam *ἐν ᾧ ἅμα πάντα* (ut Creuzer l. c.) vel *ἅμ᾽ ἅπ.* ‖ **6** *δὲ* M^d^A Br Holstenius: *μὲν* temere Gesn.[2], inde vulg. | *νόησις* M^d^A Br: *φρόνησις* Holstenius ‖ **7** *σοφία* A Holstenius: *σοφίαν* M^d^ Br | *αὑτὸν* Holstenius, Plot. enn. I 2, 7 ‖ **8** *δ᾽* M^d^ Br: *δὲ* A ut videtur, Holstenius | *δ᾽* Br | *ἀνδρεία* Holstenius: *ἀνδρία* M^d^A Br ‖ **11** *ὧν* ex Holsteniana addidit Gaisford | *αἱ* ante *τοῦ* om. Holstenius l. c. p. 84 ‖ **12** *ψυχῆς πρὸς νοῦν* M^d^ Br Holstenius: *ψυχῆς ἤδη πρὸς νοῦν* A ‖ **13** *αἱ δὲ ψυχῆς* M^d^A Br: *αἱ δὲ ὡς ψυχῆς* Holstenius ‖ **16** *διὰ τοῦ τὰ* M^d^A Br: *διὰ τὸ* Holstenius ‖ **17** *ἐργάζεσθαι* Holstenius ‖ **19** *καὶ ἔμπαλιν* M^d^A Br: *τοὔμπαλιν* Holstenius | *τῷ ἔχειν καὶ τὰς ἐλάττους ὁ ἔχων* scripsi cum Holstenio: *ἔχει τὰς ἐλάττους ὁ ἔχων* M^d^ *καὶ τὸ ἔχειν καὶ τὰς ἐλάττους ὁ ἔχων* A *καὶ εἰ ἔχει τὰς ἐλάττους ὁ μὴ ἔχων* sed *ὁ μὴ* in ras. ut videtur Br; *ὁ ἔχων* reliquis licenter omissis Gesn.[2], inde vulg. ‖ **20** *καὶ* om. Holstenius

ἐλάττους προηγουμένως, ἀλλὰ μόνον κατὰ περίστασιν τῆς γενέσεως. ἄλλοι γὰρ οἱ σκοποί, ὥσπερ εἴρηται, καὶ κατὰ γένος διάφοροι. τῶν μὲν γὰρ πολιτικῶν, μέτρον ἐπιθεῖναι τοῖς πάθεσι πρὸς τὰς ἐν τοῖς κατὰ φύσιν ἐνεργείας· τῶν δὲ καθαρτικῶν, τελέως τῶν παθῶν ἀποστῆσαι, τὸ τέως μέτρον λαμβανουσῶν· τῶν δὲ πρὸς νοῦν ἐνεργῆσαι μηδὲ τοῦ ἀποστῆσαι ἐκ τῶν παθῶν εἰς ἔννοιαν ἐρχομένους· τῶν δὲ μηδὲ πρὸς νοῦν ἐχουσῶν τὴν ἐνέργειαν, ἀλλὰ τῇ αὐτοῦ οὐσίᾳ εἰς συνδρομὴν ἀφιγμένων. διὸ καὶ ὁ μὲν κατὰ τὰς πρακτικὰς ἐνεργῶν σπουδαῖος ἦν ἄνθρωπος, ὁ δὲ κατὰ τὰς καθαρτικὰς δαιμόνιος ἦν ἄνθρωπος ἢ καὶ δαίμων ἀγαθός, ὁ δὲ κατὰ μόνας τὰς πρὸς τὸν νοῦν θεός, ὁ δὲ κατὰ τὰς παραδειγματικὰς θεῶν πατήρ. ἐπιμελητέον οὖν μάλιστα τῶν καθαρτικῶν ἡμῖν, σκεψαμένοις ὅτι τούτων μὲν ἡ τεῦξις ἐν τῷ βίῳ τούτῳ, διὰ τούτων δὲ καὶ ἡ εἰς τὰς τιμιωτέρας ἄνοδος. διὸ θεωρητέον ἄχρι τίνος καὶ ⟨ἐπὶ⟩ πόσον οἵα τε παραλαμβάνεσθαι ἡ κάθαρσις. ἔστι μὲν γὰρ ἐν ἀποστάσει σώματος καὶ τῆς ἀλόγου παθητικῆς κινήσεως. πῶς δ' ἂν γένοιτο καὶ ἄχρι τίνος, ῥητέον. πρῶτον μὲν οἷον θεμέλιος καὶ ὑποβάθρα τῆς καθάρσεως τὸ γνῶναι ἑαυτὸν ψυχὴν ὄντα ἐν ἀλλο-

---

1 τὴν τῆς γενέσεως Holstenius ‖ **2** ἄλλοι γὰρ om. Holstenius qui mox διαφέρονται pro διάφορα ‖ **3** μὲν om. Holstenius ‖ **4** πρὸς τὰς πρακτικὰς τῆς κατὰ φύσιν ἐνεργείας Holstenius ‖ **5** ἀποστῆσαι — 9 ἀφιγμένων libri Stobaei: εἰς ἔννοιαν ἀφικνουμένους· τῶν δὲ λοιπῶν ἀναλόγως τοῖς εἰρημένοις Holstenius ‖ **6** λαμβανουσῶν Buecheler: λαμβάνον M^{d} Br λαμβάνων A ‖ **7** syll. στῆσαι bibliopegae incuria perierunt A | ἐρχομένους ad homines refertur praeditos istis virtutibus ‖ **8** μηδὲ ex Arsenio Wyttenbachii Gaisfordus (cf. Stob. flor. ed. Gaisf. Oxon. v. I p. IX): μηδὲν M^{d}A Br sed μηδὲν post v. πρὸς νοῦν collocat A ‖ **9** διὸ καὶ A Holstenius: διὸ M^{d} Br | ὁ μὲν κατὰ M^{d} Br Holstenius: ὁ κατὰ μὲν A hunc secuti sunt Gaisford et Meineke ‖ **10** πρακτικὰς sed ὰς in ras. pallidiore atramento Br ‖ **11** τὰς evanuit in A | ἦν ἄνθρωπος om. Br.: ἦν om. etiam Holstenius l. c. p. 85 | δαίμων M^{d} Br Holstenius: δαιμόνων compendiose A ‖ **12** v. τὰς πρὸς τὸν νοῦν θεός, ὁ δὲ κατὰ om. Gesn.^{2}, inde vulg. ‖ **16** τιμιοτέρας M^{d} ‖ **17** ἐπὶ πόσον Holstenius: πόσον M^{d}A πόσον Br ‖ **18** ἐν ἀποστάσει M^{d}B Br: ἀπόστασις Holstenius ‖ **19** ἄχρι M^{d}A Br: μέχρι Holstenius

τρίτῳ [τῷ] πράγματι καὶ ἑτερουσίῳ συνδεδεμένον· δεύτερον δὲ τὸ ἀπὸ τούτου ὁρμώμενον τοῦ πείσματος συναγαγεῖν αὐτὸν ἀπὸ τοῦ σώματος καὶ τοῖς οἷον τόποις, πάντως γε μὴν ἀπαθῶς πρὸς αὐτὸ διατιθέμενον. ἐνεργῶν μὲν γὰρ συνεχῶς τις κατ' αἴσθησιν, εἰ καὶ μὴ μετὰ προσπαθείας καὶ τῆς τοῦ ἥδεσθαι ἀπολαύσεως τοῦτο ποιεῖ, ἀλλ' οὖν ἐσκέδασται περὶ τὸ σῶμα συναφῆς αὐτῷ κατὰ ταύτην γινόμενος, προσπάσχων δὲ ταῖς τῶν αἰσθημάτων ἡδοναῖς ἢ λύπαις σὺν προθυμίᾳ καὶ ἐπινεύσει συμπαθεῖ· ἀφ' ἧς δὴ μάλιστα διαθέσεως αὑτὸν προσήκει καθαίρειν. τοῦτο δ' ἂν γένοιτο, εἰ καὶ τὰς ἀναγκαίας τῶν ἡδονῶν καὶ τὰς αἰσθήσεις ἰατρείας ἕνεκα μόνον τις παραλαμβάνοι ἢ ἀπαλλαγῆς πόνων, ἵνα μὴ ἐμποδίζοιτο. ἀφαιρετέον δὲ καὶ τὰς ἀλγηδόνας· εἰ δὲ μὴ οἷόν τε εἴη, πρᾴως οἰστέον ἐλάττους τιθέντα τῷ μὴ συμπάσχειν. τὸν δὲ θυμὸν ὡς οἷόν τε ἀφαιρετέον καὶ ⟨μὴ⟩ μελετητέον πάντῃ — εἰ δὲ μή, αὐτὸν γοῦν συναναμιγνύναι τὴν προαίρεσιν, ἀλλ' ἄλλου εἶναι τὸ ἀπροαίρετον· τὸ δ' ἀπροαίρετον ἀσθενὲς

---

1 τῷ om. Holstenius; τῳ ci. Buecheler et Wachsm. | πράγματι M[d] Holstenius σώματι A sed lineolam infra σώματι addidit et πράγματι superscr. A[1] σώματι sed litt. σω in ras. atramento pallidiore Br[1] ‖ **2** δὲ om. Holstenius | ἀπὸ τοῦ A sed τοῦ in τούτου mutavit A[2] | συνάγειν Holstenius ‖ **3** τοῖς οἷον τόποις Holstenius: τοῖς μὲν τόποις M[d]A Br ‖ **4** αὐτὸ M[d] Br Holstenius: αὐτὸν A | γὰρ συνεχῶς τις M[d]A Br Holstenius: γάρ τις συνεχῶς tacite Gesn.[2] p. 24, inde vulg. ‖ **5** εἰ καὶ μὴ Br ut videtur: καὶ μὴ A quod etiam in M legi suspicor (inde Gesn.[2]?), sed silet Dindorfii collator: κἂν μὴ Holstenius ‖ **7** ἐσκέδασται ὁ περὶ κτέ. Holstenius | κατ' αὐτὴν Holstenius l. c. p. 86 ‖ **8** γινόμενος libri sed ut facile cum γενόμενος confundi possit Br | προσπάσχων M[d] Br: προπάσχων A προσπάσχομεν Holstenius | αἰσθητῶν Holstenius ‖ **10** δὴ M[d]A Br: δὲ Holstenius | αὑτὸν Creuzer: αὐτὸν libri ‖ **11** δὴ ἂν Holstenius ‖ **12** παραλαμβάνει et mox παραλλαγὴν Holstenius ‖ **13** ἐμποδίζοιτο M[d] Br Holstenius: ἐμποδιάζοιτο A ‖ **14** οἰστέον M[d]A Br: ὑστερεῖν Holstenius ‖ **15** ἐλάττους τιθέντα tacite Gesn.[2], inde vulg.: ἐλάττω τιθέντα M[d]A Br ἀλλ' ἐλαττωθέντα Holstenius | τῷ tacite Gesn.[2], inde vulg. et sic Holstenius: τὸ M[d]A Br | ὡς M[d]A Br: ὅσον Holstenius ‖ **16** μὴ addidi ex Holsteniana ‖ **17** μὴ iterat Holsteniana | αὐτὸν γοῦν Holstenius: αὐτῷ γοῦν M[d]A Br | ἀλλ' ἄλλου M[d]ABr Hol-

καὶ ὀλίγον — τὸν δὲ φόβον πάντῃ, περὶ οὐδενὸς γὰρ φοβήσεται· τὸ δ' ἀπροαίρετον καὶ ἐνταῦθα. χρηστέον δὴ ἄρα καὶ θυμῷ καὶ φόβῳ ἐν νουθετήσει· ἐπιθυμίαν δὲ παντὸς φαύλου ἐξοριστέον· σίτων δὲ καὶ ποτῶν οὐκ αὐτὸς ἕξει ἧπερ αὐτός· ἀφροδισίων δὲ τῶν φυσικῶν οὐδὲ τὸ ἀπροαίρετον, εἰ δ' ἄρα, ὅσον μέχρι φαντασίας προπετοῦς τῆς κατὰ τοὺς ὕπνους. ὅλως δ' αὐτὴ μὲν πάντων ἡ ψυχὴ ⟨ἡ⟩ νοερὰ τοῦ καθαιρομένου τούτων ἔστω καθαρά. βουλέσθω δὲ καὶ τὸ κινούμενον πρὸς τὸ ἄλογον τῶν σωματικῶν παθῶν ἀσυμπαθῶς κινεῖσθαι καὶ ἀπροσέκτως, ὥστε καὶ τὰς κινήσεις εὐθύς [τε] λύεσθαι τῇ γειτνιάσει τοῦ λογιζομένου.

124 (5, 124 Mein.) *Πλάτωνος ἐκ τῆς Σωκράτους ἀπολογίας* (p. 29 A—B).

Τὸ γάρ τοι θάνατον δεδιέναι, ὦ ἄνδρες, οὐδὲν ἄλλο

---

stenius. quod manu recentiore superscriptum legitur *ως* (supra *ου*) et mox *καὶ* (supra *τὸ*) in Br, id manifesto adsumptum est ex editione secunda Gesneri qui coniecit *ἀλλ' ἄλλως εἶναι καὶ ἀπρ.* p. 24 mrg

1 *τε* pro *δὲ* Holstenius. *δὲ* etiam Plot. enn. I 2, 5 | *πάντα* Holstenius qui om. *περὶ* ‖ **2** *δὴ* M^d Br *δὲ* Holstenius: *μὴ* A ‖ **4** *σιτίων* Holstenius ‖ **5** *ἧπερ* (*ἥπερ* M^d) M^{d}A Holstenius: *ἧσπερ* Br | *δὲ* Br Holstenius: *τε* vel *τὲ* M^{d}A ‖ **6** *μέχρι* libri Stob. et Holstenius. num *ἄχρι*? ‖ **7** *δὲ* M^d Br Holstenius ‖ **8** *ἡ ψυχὴ ἡ ν.* Holstenius l. c. p. 87: *ἡ ψυχὴ ν.* libri Stob. | *τούτων* etiam A compendiose. errat Gaisford ‖ **9** *ἄλογον* M^d Br Holstenius: *ἀνάλογον* A ‖ **10** *ἀπροσέκτως* A Holstenius: *ἀπροσεκτῶς* M^d Br ‖ **11** *ὥστε* M^{d}A Holstenius: *ὡς* Br | *εὐθὺς* (om. *τε*) Holstenius: *εὐθύς τε* M^{d}A Br sed *τε* et proximi vocabuli litterae *λύε* in litura A manu incerta ‖ **13** ecl. cum integro lemmate hab. MA (post ecl. 1, 88 Mein.) cum lemmate *Πλάτωνος* Tr. p. 37 (post ecl. 5, 82 Mein.) cum lemmate *σωκράτους* Br (post ecl. 5, 55 Mein.). v. *τὸ γάρ τοι* — p. 97, 6 *οὐκ οἶδεν* iterantur intra maius excerptum flor. 7, 76 Mein. (*Πλάτωνος ἐκ τῆς Σωκράτους ἀπολογίας*) ‖ **15** *τὸ γάρ τοι* — p. 97, 2 *ὂν τῶν ἀγαθῶν* M^{d}A Br Plat.: *Φαντάζονται δέ τινες πολλάκις, καὶ δοκοῦσι τινὲς εἶναι, καὶ οἴονται τοῦτο εἶναι τῶν ἀνθρώπων πάντων μέγιστον ὄντων ἀγαθῶν* Tr. foedae interpolationis originem illustravi mus. Rh. XXXIX p. 400 sq. | *τοι γάρ τοι* M^d | *ὦ ἄνδρες* M^{d}A Br Plat. *ὦ Ἀθηναῖοι* ut videtur Stobaeus infra; fuerit igitur in archetypo *ὦ ἄνδρες Ἀθηναῖοι*

ἐστὶν ἢ δοκεῖν σοφὸν εἶναι μὴ ὄντα· δοκεῖν γὰρ εἰδέναι ἐστὶν ἃ οὐκ οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον οὐδ᾽ εἰ τυγχάνει τῷ ἀνθρώπῳ πάντων μέγιστον ὂν τῶν ἀγαθῶν· δεδίασι δὲ ὡς εὖ εἰδότες, ὅτι μέγιστον τῶν κακῶν ἐστι. καὶ τοῦτο πῶς οὐκ ἀμαθία ἐστὶν αὕτη ἡ ἐπονείδιστος, ἡ τοῦ οἴεσθαι εἰδέναι ἃ οὐκ οἶδεν; ἐγὼ δέ, ὦ ἄνδρες, τούτῳ καὶ ἐνταῦθα ἴσως διαφέρω τῶν πολλῶν ἀνθρώπων, καὶ εἰ δή τῳ σοφώτερός του φαίην εἶναι, τούτῳ ἄν, ὅτι οὐκ εἰδὼς ἱκανῶς περὶ τῶν ἐν Ἅιδου οὕτω καὶ οἴομαι οὐκ εἰδέναι· τὸ δὲ ἀδικεῖν καὶ ἀπειθεῖν τῷ βελτίονι, καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν ἐστιν οἶδα. πρὸ οὖν τῶν κακῶν, ὧν οἶδα ὅτι κακά ἐστιν, ἃ μὴ οἶδα εἰ καὶ ἀγαθὰ ὄντα τυγχάνει, οὐδέποτε φοβήσομαι οὐδὲ φεύξομαι.

125 (1, 46 Mein.) Ἐπικτήτου (fr. 1 III p. 65 ed. Schweigh.).

Ὁ τύχῃ βίος συμπεπλεγμένος ἔοικε χειμάρρῳ ποταμῷ· καὶ γὰρ ταραχώδης καὶ ἰλύος ἀνάμεστος καὶ δυσέμβατος καὶ τυραννικὸς καὶ πολύηχος καὶ ὀλιγοχρόνιος.

---

3 πάντων om. libri infra | ὂν] ὢν Br ‖ **4** ὡς] οι vel οἱ, superscr. ὡς compend. A, ουθε superscr. να A mrg ‖ **5** καὶ τοῦτο πῶς M[d] Tr. Br, Stob. infra, Plat., καὶ του (?) superscr. το περὶ A; καί τοι πῶς Eusebius praepar. evang. 13, 10 | ἀμαθία Stobaeus infra, Plat.: ἂν (ἀν M[d]) εὐήθεια M[d] Br, ἂν ἀλήθεια A Tr. qua ex diversitate emergat archetypi lectio εὐηθεια superscr. ἀμα; temere ἂν ἀμαθία Gesn.[1] p. 46, inde vulg. | αὕτη om. Br | ἡ post αὕτη A ni fallor, flor. 7, Plat., om. M[d] Tr. Br ‖ **6** ἡ τοῦ] ἡ οὐ praeterea superscr. nescio quid A, ἡ τοῦ A[2] mrg ‖ **8** ἀνθρώπων delet Hirschig | φαίην] φαίειν M[d] ‖ **9** τούτῳ vel τούτω M[d]A Br Platonis E F b d τούτων Tr. τοῦτο Platonis B D ‖ **10** τὸ] τῶν Tr. | ἀπειθεῖν M[d] Tr. Br Platonis D F b ἀπιθεῖν A Platonis B τὸ ἀπειθεῖν Platonis E | καὶ αἰσχρόν ἐστιν M[d]A Br, Plat., εἶναι τοῦτον Tr. ‖ **13** εἰ καὶ M[d]A Tr. Br, Theodoret. therapeut. p. 326 Gaisf., Euseb.: εἰ Platonis B D E F | φοβήσομαι M[d] Tr. Br, φησομαι superscr. οβι A superscr. A[2], φοβήσομαι Platonis B D E, φοβηθήσομαι Platonis F d Euseb. Theodoret. ‖ **14** φεύξομαι (sic) Br Plat.: φθέγξομαι M[d]A Tr. ‖ **15** ecl. cum lemm. hab. MA (post ecl. 5, 124 Mein.) Tr. p. 38 (post ecl. 5, 73 Mein.). recurrit haec et duae proximae in gnomologio Moschionis per H. Schenkelium edito *die Epikt. fragm.*

126 (1, 47 Mein.: fr. 2)

Ψυχὴ ὁμιλοῦσα ἀρετῇ ἔοικεν ἀενάῳ πηγῇ· καὶ γὰρ καθαρὸν καὶ ἀτάραχον καὶ πότιμον καὶ νόστιμον καὶ κοινωνικὸν καὶ πλούσιον καὶ ἀβλαβὲς καὶ ἀνώλεθρον.

127 (1, 48 Mein.: fr. 3)

Εἰ βούλει ἀγαθὸς εἶναι, πρῶτον πίστευσον ὅτι κακὸς εἶ.

128 (1, 49 Mein.: fr. 4 l. c. p. 66)

Βέλτιον ὀλιγάκις πλημμελεῖν ὁμολογοῦντα σωφρονεῖν πλεονάκις ἢ ὀλιγάκις ἁμαρτάνειν λέγοντα πλημμελεῖν πολλάκις.

129 (1, 50 Mein.: fr. 5)

Κόλαζε τὰ πάθη, ἵνα μὴ ὑπ᾽ αὐτῶν τιμωρῇ.

130 (1, 51 Mein.: fr. 6)

Μὴ οὕτω τὸ ἐκ τῆς δόξης ⟨αἰσχρὸν⟩ αἰσχύνου, ὡς τὸ ἐκ τῆς ἀληθείας ἀπόφευγε.

131 (1, 52 Mein.: fr. 7)

Εἰ βούλει καλῶς ἀκούειν, μάθε καλῶς λέγειν. μα-

Vindob. a. 1888 p. 78 n. 11—13; item ecl. 131 est Moschionis n. 16, ecl. 133 Moschionis n. 18. cf. p. 98, 7. 16 adn. 100, 16 adn. 101, 8 adn. 105, 12 adn. de fonte Stobaei vide mus. Rh. XXXIX p. 537 Schenkl l. c. p. 10

1 ecl. hab. MA Tr. (post ecl. 1, 46 Mein.) Br (post ecl. 5, 68 Mein. id est Epicteti ench. c. 43); *τοῦ αὐτοῦ* Tr. A² mrg archetypi rationi minus convenienter: om. M, qui coniunctam habet eclogam cum priore, A¹ Br ‖ **2** *ἀεννάῳ* libri ‖ **4** post *ἀνώλεθρον* quod addit Br *τὸ ὕδωρ ἐκβλύζει*, glossatoris est, cf. Schweighaeuser l. c. p. 180 ‖ **5** ecl. hab. lemmate non iterato MA¹ Tr., *τοῦ αὐτοῦ* add. A² mrg, nisi hoc lemma potius ad ecl. insequentem spectat ‖ **7** ecl. hab. lemmate non iterato M, ubi cohaeret ecloga cum praegressa, A (de quo cf. ad 5) Tr. recurrit corp. Par. 300 Elt. (*Μοσχίωνος*) ‖ **8** *βέλτιον ὀλιγάκις ὁμολογοῦντα κατορθοῦν σωφρονεῖν πολλάκις ἢ ὀλιγάκις κτἑ.* corp. Par. recte, opinor ‖ **9** *ἁμαρτάνειν* M^d^A corp. Par.: *ἁμαρτεῖν* Tr. illud commendatur concinnitate ‖ **11** ecl. hab. lemmate non iterato M, ubi cohaeret cum priore, A Tr. Br; *τοῦ αὐτοῦ* temere Gaisf. et hic et 7 ‖ **13** ecl. hab. lemmate non iterato MA Tr. Br ‖ **14** *οὕτως* M^d^A Br *οὕτω* Tr. | *ἐκ* ante *τῆς δόξης* om. A quem immerito secuti sunt Gaisford et Meineke | *αἰσχρὸν* inseruerunt Wachsmuth et Buecheler | *ἐκ* ante *τῆς ἀλ.* om. Tr. ‖ **16** ecl. hab. lemmate non iterato MA Tr. Br. recurrit corp. Par. 301 Elt. (*Μοσχίωνος*) ‖ **17** *βούλει* Tr.: *θέλεις* M^d^A Br corp. Par. illud puto praestare, cf. Halm lect. Stob. p. 29 adn. | *μάνθανε* corp. Par.

θὼν δὲ καλῶς λέγειν, πειρῶ καλῶς πράττειν, καὶ οὕτω καρπώσῃ τὸ καλῶς ἀκούειν.

132 (5, 84 Mein.: fr. 19 l. c. p. 71)

Ἐξέταζε σαυτὸν πότερον πλουτεῖν θέλεις ἢ εὐδαιμονεῖν. καὶ εἰ μὲν πλουτεῖν, ἴσθι ὅτι οὔτε ἀγαθὸν οὔτε ἐπὶ σοὶ πάντῃ, εἰ δὲ εὐδαιμονεῖν, ὅτι καὶ ἀγαθὸν καὶ ἐπὶ σοί. ἐπεὶ τὸ μὲν τύχης ἐπίκαιρον δάνειον, τὸ δὲ [τῆς εὐδαιμονίας] προαιρέσεως.

133 (5, 85 Mein.: fr. 20)

Καθάπερ ἔχιν ἢ ἀσπίδα ἢ σκορπίον ἐν ἐλεφαντίνῃ ἢ χρυσῇ θεώμενος κίστῃ οὐ διὰ τὸ πολυτελὲς τῆς ὕλης ἀγαπᾷς καὶ εὐδαιμονίζεις, ἀλλ' ὅτι λυμαντικὴ ἡ φύσις ἐκτρέπῃ καὶ μυσάττῃ, οὕτω καὶ ἐπειδὰν ἐν πλούτῳ καὶ ὄγκῳ τύχης θεάσῃ κακίαν ἐνοῦσαν, μὴ καταπλαγῇς τὸ περιλαμπὲς τῆς ὕλης, ἀλλὰ καταφρόνει τῆς ἐν τῷ τρόπῳ κιβδηλίας.

134 (5, 86 Mein.: fr. 21)

Ὁ πλοῦτος οὐ τῶν ἀγαθῶν, ἡ πολυτέλεια τῶν κακῶν, ἡ σωφροσύνη τῶν ἀγαθῶν. καλεῖ δὲ ἡ μὲν σωφροσύνη

---

1 *καλῶς* ante *πρ.* periit detrito margine A | *ποιεῖν* pro *πράττειν* Tr. || **3** ecl. hab. lemmate non iterato MA Tr. post ecl. 1, 52 Mein. cohaeret cum praegressa in M. *Ἐπικτήτου* addunt Schow Gaisford Meineke Gesneriana abducti traiectione || **4** *πότερον* Tr.: *πότερα* M^dA | *θέλεις ἢ*] litt. *θε* A^1 *εις* compendiose A rec. *ἢ* add. A^2 || **5** *ὅτι* om. A | *ἀγαθὸν* A^2 in marg. sinistro; praeterea *πλουτεῖν εὐδαιμονεῖν διαφ* compendiose A^2 mrg || **6** *ἐπί καιρον* (sic) A, ubi legi *ἐπὶ καίρον* falso dixerat Gaisford, unde male *ἐπικαίρου* coniecit Meineke. cf. infra p. 109, 10 || **7** *τῆς εὐδαιμονίας* seclusi. addidit hoc qui in prioribus male iunxit *τὸ μὲν τύχης*. desideratur quod verbis *ἐπίκαιρον δάνειον* respondere voluit in hoc membro Epictetus, velut *τὸ δὲ πρ. κτῆσις ἀναφαίρετος* vel *τὸ δὲ κτ. ἀ. πρ.*, sim. *τὸ δὲ δῶρον ἐπίμονον* (sive *δωρεὰ ἐπίμονος*) *πρ.* ci. Wachsmuth. minus apte proposuit Schweighaeuser p. 183 *τὸ δὲ τῆς εὐδαιμονίας, προαιρέσεως ἀίδιος καὶ ἀσφαλὴς κτῆσις* || **9** ecl. hab. lemmate non iterato MA Tr. cohaeret cum prioribus in M || **10** supplevit non nulla A rec. in margine resarto velut *χιν* in voce *ἔχιν*, infra *γαπᾷς* in voce *ἀγαπᾷς* aliaque quae enotare operae pretium non est. idem dicendum de ecl. 133—136 || **17** ecl. hab. lemmate non iterato MA Tr. cohaeret cum prioribus in M

ἐπὶ τὴν εὐτέλειαν καὶ τὴν κτῆσιν τῶν ἀγαθῶν· ὁ δὲ πλοῦτος ἐπὶ τὴν πολυτέλειαν, καὶ ἀφέλκει τῆς σωφροσύνης. δυσχερὲς ἄρα πλουτοῦντα σωφρονεῖν ἢ σωφρονοῦντα πλουτεῖν.

135 (5, 87 Mein.: fr. 22)

Ὥσπερ εἰ ἐν νηὶ ἐσπάρης ἢ ἐτέχθης, οὐκ ἂν ἔσπευδες αὐτῆς κυβερνήτης ὑπάρχειν ...... οὔτε γὰρ ἐκεῖ σοι φύσει ἡ ναῦς συνέστη οὔτε ἐνταῦθα ὁ πλοῦτος, ἀλλὰ πάντῃ ὁ λόγος. ὅπερ οὖν σοι φυσικὸν καὶ συγγενές, ὁ λόγος, τοῦτο καὶ οἰκεῖον ἡγησάμενος τούτου ἐπιμελοῦ.

136 (5, 88 Mein.: fr. 23 l. c. p. 73)

Ἐν Πέρσαις μὲν γεννηθεὶς οὐκ ⟨ἂν⟩ ἔσπευδες οἰκεῖν τὴν Ἑλλάδα ἀλλ᾽ αὐτόθι διάγων εὐτυχεῖν· ἐν πενίᾳ δὲ γεννηθείς, τί σπεύδεις πλουτεῖν, ἀλλ᾽ οὐκ αὐτόθι μένων εὐτυχεῖν;

137 (5, 89 Mein.: fr. 24)

Ὥσπερ ἐπὶ σμικροῦ σκίμποδος θλιβόμενον ὑγιαίνειν ἄμεινον ἢ ἐπὶ πλατείας κλίνης κυλινδούμενον νοσεῖν· οὕτω

1 ἢ pro καὶ M[d] | τὴν ante κτ. om. A ‖ 5 ecl. hab. lemmate non iterato MA Tr. cum ecloga priore iungunt M Tr. ‖ 7 post ὑπάρχειν alterum membrum intercidisse vidit Hieronymus Wolf. exspectes οὕτω μηδ᾽ ἐν πλούτῳ γεννηθεὶς ἐπιχείρει αὐτοῦ κύριος ὑπάρχειν, sim. ‖ 8 συνέσται libri: corr. Buecheler et Wachsmuth ‖ 9 ὁ λόγος secludi vult Meineke ‖ 10 τοῦτο refinxit A rec. in margine resarto. aberravit Gaisford ‖ 11 ecl. hab. lemmate non iterato MA Tr. recurrit corp. Par. 565 Elt. (Ἐπικτήτου) cf. Wachsmuth *stud.* p. 129 ‖ 12 μὲν frustra seclusit Meineke deceptus Gaisfordi indiligentia, habet etiam A compend. | ἂν addi iussit Schweighaeuser l. s. p. 184 ‖ 13 ἀλλ᾽ αὐτόθι M[d] Gesn.[2] p. 71, inde vulg.: αὐτόθι A Tr. corp. Par. | ἐντυχεῖν M[d] ‖ 14 μένων etiam Tr. p. 39 per compendium. hoc falso interpretatus μᾶλλον invexit Gesn.[1] p. 48, inde vulg. ‖ 16 ecl. hab. lemmate non iterato M, ubi cohaeret cum priore, A Tr. eclogae pars altera recurrit corp. Par. 308 Elt. (Μοσχίωνος): βέλτιόν ἐστιν ἐν μικρᾷ περιουσίᾳ συστελλόμενον εὐθυμεῖν ἢ ἐν μεγάλῃ (εὐθυμεῖν ἢ μεγάλῃ flor. Laur. p. 239, 16 Mein.) τυγχάνοντα δυστυχεῖν. cf. etiam flor. 5, 28 Mein. ‖ 17 μικροῦ M[d] ‖ 18 πλατίασ M[d] | κυλινδούμενον (καλινδ. Tr.) M[d] Tr.: κυλινδόμ(ενον suppl. A rec. in margine resarto) A quod recepit Meineke

καὶ ἐν μικρᾷ περιουσίᾳ βέλτιον συστελλόμενον εὐθυμεῖν ἢ ἐν μεγάλῃ τυγχάνοντα δυσθυμεῖν.

138 (5, 90 Mein.: fr. 25)

Οὐ πενία λύπην ἐργάζεται, ἀλλὰ ἐπιθυμία· οὐδὲ πλοῦτος φόβου ἀπαλλάττει, ἀλλὰ λογισμός. κτησάμενος τοιγαροῦν τὸν λογισμὸν οὔτε πλούτου ἐπιθυμήσεις οὔτε πενίαν μέμψῃ.

139 (5, 91 Mein.: fr. 26 l. c. p. 74)

Οὔτε ἵππος ἐπὶ φάτνῃ καὶ φαλάροις καὶ τάπησιν οὔτε ὄρνις ἐπὶ βρώμῃ καὶ καλιᾷ ὑψοῦται καὶ γαυριᾷ, ἀλλ' ἄμφω ἐπὶ ὠκύτητι, ὁ μὲν ποδῶν ὁ δὲ πτερῶν. καὶ σὺ τοιγαροῦν μὴ ἐπὶ τροφῇ καὶ σκέπῃ καὶ ἁπλῶς τῇ ἔξωθεν περιουσίᾳ μέγα ὀγκύλλου ἀλλ' ἐπὶ χρηστότητι καὶ εὐποιίᾳ.

140 (5, 92 Mein.: fr. 27)

Τὸ καλῶς ζῆν τοῦ πολυτελῶς διαφέρει· τὸ μὲν γὰρ ἐκ σωφροσύνης καὶ αὐταρκείας καὶ εὐταξίας καὶ κοσμιότητος [καὶ εὐτελείας] παραγίνεται, τὸ δὲ ἐξ ἀκολασίας καὶ τρυφῆς καὶ ἀταξίας καὶ ἀκοσμίας· τέλος δὲ τοῦ μὲν

---

1 εὐθυμεῖν M^{d}A: εὐδαιμονεῖν Tr. ‖ **2** τυγχάνοντα haud integrum: ἐν μεγάλῃ τύχῃ ὄντα ci. Schweighaeuser, μεγάλῃ ἐντυγχάνοντα vel μεγάλης τυχόντα maluit Meineke v. IV p. LVII. sed quod 'ex opposito respondeat illi συστελλόμενον' recte requirit Schweighaeuser. scripserim ἐν μ. τρυφῶντα vel ἐν μ. τύχῃ χλιδῶντα | δυσθυμεῖν M^d δυστυχεῖν (εῖν A rec. in marg. refecto) A Tr. ‖ **3** ecl. hab. lemmate non iterato MA Tr. Br ‖ **4** εὐθυμία oscitantur Gesn.^{2} p. 72, inde vulg. ‖ **5** φόβου M^d Tr. Br: φόβον ex A Gaisford et Meineke ‖ **6** τὸν seclusit Meineke | ἐπιθυμίαν Tr. ‖ **7** πενίαν A Tr.: πενία M^d πενίᾳ Br structura rariore ‖ **8** ecl. hab. lemmate non iterato M, ubi cohaeret cum priore, A Tr. cf. supra p. 34, 17. flor. 4, 93 Mein. Arr. Epict. diss. III 14, 11 sqq. Seneca ep. 41, 6. 47, 16. usus est hac ecloga Moschio corp. Par. 309 Elt. (Μοσχίωνος) ‖ **10** ῥώμῃ M^d βρώμῃ A κρώκῃ (unde κρόκῃ mire Gesn.^{1}) Tr. ‖ **13** μέγα (μετὰ Tr.) ὀγκύλλου M^d Tr.: μάταια (sic) ὄγκου A tritius vocabulum substituens reconditiori, non recte receperant Gaisford et Meineke ‖ **14** ecl. hab. lemmate non iterato MA S rec. Tr. ‖ **15** διαφέρει] etiam huic eclogae adscripsit ΔΦ A rec. mrg. cf. p. 99, 5 adn. ‖ **16** ἐν Tr. | εὐταξίας coniectura restituit Gesn.^{1} p. 48 mrg: εὐεξίας M^{d}A Tr. ‖ **17** καὶ εὐτελείας seclusit Hirschig misc. philol. p. 185 | δ' M^d

ἔπαινος ἀληθὴς τοῦ δὲ ψόγος. εἰ τοίνυν βούλει καλῶς ζῆν, μὴ ζήτει μετὰ πολυτελείας ἐπαινεῖσθαι.

141 (5, 93 Mein.: fr. 28 l. c. p. 75)

Μέτρον ἔστω σοι παντὸς σίτου καὶ ποτοῦ ἡ πρώτη τῆς ὀρέξεως ἔκπλησις, ὄψον δὲ καὶ ἡδονὴ αὐτὴ ἡ ὄρεξις· καὶ οὔτε πλείονα τῶν δεόντων προσοίσῃ, οὔτε ὀψοποιῶν δεήσῃ, ποτῷ τε τῷ παραπεσόντι ἀρκεσθήσῃ.

142 (5, 94 Mein.: fr. 29)

Τὰς σιτήσεις ποιοῦ μὴ πολυτελεῖς καὶ σκυθρωπάς, ἀλλὰ λαμπρὰς καὶ εὐτελεῖς, ἵνα μήτε διὰ τὰ σωματικὰ αἱ ψυχαὶ ταράττωνται μήτε φενακιζόμεναι πρὸς τῶν ἡδονῶν τῶν σωματικῶν ὀλιγωρῶσιν, ἐπεί τοι βλάπτονται τρυφῶντα μὲν παραυτίκα νοσοῦντα δὲ εἰσαῦθις τὰ σώματα.

143 (5, 95 Mein.: fr. 30)

Φρόντιζε ὅπως σε μὴ τὰ ἐν τῇ γαστρὶ σιτία πιαίνῃ, ἀλλ' ἡ ἐν τῇ ψυχῇ εὐφρασία, ἐπεὶ τὰ μὲν ἀποσκυβαλί-

---

2 *ταυτότης* M^d^ *ταύ*^τ^ (ς supra) A ‖ **3** *ἀνδρείας* M^d^: *ἀνδρίας* A ‖ **6** ecl. cum lemm. hab. M A ‖ **7** *πάθεσιν* M^d^ *πάθεσι* A ‖ **8** *θάρσος* M^d^: *θράσος* A ‖ **11** *τὸν θυμὸν τῷ λ.* ci. Wachsmuth ‖ **14** *εἴδη* ex *ἤθη* fecit A[1]: *ἤθη* M^d^, inde Gesn.[2], vulg. sed *εἴδη* ci. Gesn.[2] p. 89 mrg | *ἀνδρείας* M^d^: *ἀνδρίας* A ‖ **18** *ἑαυτὴν* M^d^: *ἑαυτα* A ‖ **22** ecl. cum lemm. hab. M A ‖ **23** *περιπτώμεθα* M^d^ *περιττώματα* (π supra) A corr. A[2] ‖ **25** *κατάγνοιαν* M^d^ *κατ᾽ ἄγνοιαν* A | *μηδὲ* Gesn.[2], inde vulg.: *μὴ δὲ* M^d^ *μὴ* A ‖ **26** ecl. cum lemm. hab. M A (post ecl. 7, 43 Mein.) Br (post ecl. 7, 76 Mein.); *τοῦ αὐτοῦ* M A *πλάτωνος* compend. Br. cf. quae congessit Sternbach ad gnomol. Vat. 183

Οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν.

44 (7, 45 Mein.) *Ζήνωνος.*

Ζήνων ὡς ἤδη γέρων ὢν πταίσας κατέπεσεν 'ἔρχομαι' εἶπε· 'τί με αὔεις;' καὶ εἰσελθὼν ἑαυτὸν ἐξήγαγεν.

45 (7, 46 Mein.) *Λεωνίδου.*

Λεωνίδης ἀκούσας ἐπισκιάζεσθαι τὸν ἥλιον τοῖς Περσῶν τοξεύμασιν 'χαρίεν' ἔφη 'ὅτι καὶ ὑπὸ σκιᾷ μαχούμεθα'.

46 (7, 47 Mein.) *Διογένους.*

Ὁρῶν Μεγαρέας ὁ Διογένης τὰ μακρὰ τείχη ἱστάντας 'ὦ μοχθηροί' εἶπε 'μὴ τοῦ μεγέθους προνοεῖτε τῶν τειχῶν, ἀλλὰ τῶν ἐπ' αὐτῶν στησομένων'.

47 (7, 48 Mein.) *Ἆγις* (Ps.-Plut. apophth. reg. et imp. p. 190 C. D).

Ἆγις ὁ βασιλεὺς ἔφη τοὺς Λακεδαιμονίους μὴ ἐρωτᾶν ὁπόσοι εἰσίν, ἀλλὰ ποῦ εἰσὶν οἱ πολέμιοι. καὶ ἐρωτῶντός τινος πόσοι εἰσὶν Λακεδαιμόνιοι, ἔφη 'ἱκανοὶ τοὺς κακοὺς ἀπερύκειν'.

---

1 *οὐ τὸ ζῆν* M^d A: *ἔφη ὁ αὐτός, οὐ τὸ ζῆν* Br | *πλείστου* Br idque tacite scripserat Gesn.^{2} p. 89: *πλειστο*^{ου} M *ου* compend. M^1 *πλεῖστα* A ‖ **2** ecl. cum lemm. hab. M A. similiter Laertius VII 28, alii ‖ **4** *αὔεις* Meineke ex Laert., ubi v. *ἔρχομαι, τί μ' αὔεις* citantur *ἐκ τῆς Νιόβης*, sed vide Nauck tr. gr. fr.^{2} p. 51: *ἄγεις* M^d A ‖ **5** ecl. cum lemm. hab. M A (post ecl. 7, 45 Mein.), sine lemm. Mac. Chrys. (post ecl. 7, 31 Mein.); *λεονίδου* M A. confer Herodot. VII 226 Ps.-Plut. apophth. Lac. p. 225 B alios ‖ **6** *λεονίδης* M^d *-δας* A Mac. *ω* ex *ο* fecit A^1 ‖ **7** *χάριεν* M^d: *χάρις* A Mac., vide Ps.-Plut. ‖ **9** ecl. cum lemm. hab. M A ‖ **12** *τῶν* om. M^d ‖ **13** ecl. hab. M A (post ecl. 7, 47 Mein.) Br (post ecl. 7, 28 Mein.) Mac. Chrys. (post ecl. 7, 46 Mein.); lemma *ἄγισ* M sicut Photius p. 62 Elt., om. ceteri. cf. Ps.-Plut. apophth. Lac. p. 215 D 3. 5; Plut. Lyc. 20; C. Schmidt de apophth. (Gryph. a. 1879) p. 56 sq. ‖ **15** *βασίων* Br | *οὐκ ἔφη τοὺς Λακεδαιμονίους ἐρωτᾶν* Ps.-Plut. ‖ **16** *πόσοι* Ps.-Plut. | *οἱ* om. Gesn.^{2} p. 89, inde vulg. | *καὶ ἐρωτῶντος τινὸς* M^dA Mac.: *ἑτέρου δὲ πυνθανομένου* Ps.-Pl. apophth. reg., *πυνθανομένου δέ τινος* Ps.-Plut. apophth. Lac. ‖ **17** *εἰσὶν* M^d *εἰσὶ* A Mac.: *εἰσὶν οἱ* Ps.-Pl., sed cf. Plut. Lyc. l. c. | *ἔφη ἱκανοὶ* (acc. vocis *ἱκανοὶ* in corr. M^1) M^d A Br Mac.: *ὅσοι, εἶπεν, ἱκανοὶ* vel *ὅσοι ἱκανοί, εἶπε*

48 (7, 49 Mein.) *Ξενοφῶντος.*

Ξενοφῶντι ἐν Σκιλλοῦντι ἐστεφανωμένῳ καὶ θύοντι ἀπήγγειλέ τις Γρύλλον τὸν υἱὸν περὶ Μαντίνειαν πολεμοῦντα ἀνῃρῆσθαι. ὃ δὲ ἀποθέμενος τὸν στέφανον ἤρετο ὅπως ἀγωνιζόμενος τελευτήσειε· τοῦ δ' εἰπόντος ʿἄριστα' ἐπιθέμενος τὸν στέφανον πάλιν ἔθυεν.

49 (7, 50 Mein.) *Δημοσθένους ἐν τῷ Ὑπὲρ τοῦ στεφάνου* (XVIII § 97 p. 258).

Πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις ἑαυτὸν καθείρξας τηρῇ. δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν δ' ὃ ἂν ὁ θεὸς διδῷ γενναίως.

50 (7, 76 Mein.) *Πλάτωνος ἐκ τῆς Σωκράτους ἀπολογίας* (p. 28 D — 29 B).

Οὕτω γὰρ ἔχει, ὦ Ἀθηναῖοι, τῇ ἀληθείᾳ· οὗ ἂν

Ps.-Plut., sed cf. Plut. Lyc. ‖ **18** *ἀπερύκειν* (-*κην* M^d) M^d A Br Mac. Ps.-Pl. apophth. Lac. Plut. Lyc.: *ἀπείργειν* Ps.-Pl. apophth. reg.

1 ecl. cum lemm. hab. M A, sine lemm. Br Mac. Chrys. cf. Plut. cons. ad Apoll. p. 118 F Valerius Max. V 10 Ext. 2 Aelian. v. h. III 3 Laertius II 55 alii ‖ **2** *ἐν σκιλλοῦντι* Br: *ἐν σκιαλοῦντι* M^d *ἐν σκιλ*^{α}*λοῦντι* A sed alt. *λ* del. A^2 *αὐλοῦντι* (om. *ἐν*) Mac. ‖ **3** syll. *ἀπή* in ras. M^2 ‖ **4** *ἤρετο* Br Mac., A ex em.: *εἴρετο* M^d, inde vulg. ‖ **5** *τελευτήσειε* sed *τ* (prius?) in ras. Br ‖ **7** ecl. cum lemm. hab. M A Mac. Chrys. (post ecl. 7, 49 Mein.) Br (post ecl. 7, 74 Mein.); *ἐν τῶ* M^d: *ἐκ τῶν* A Mac. *ἐν τῷ ὑπὲρ στ.* om. Br. eclogam integram aut prius eius enuntiatum citant haud pauci, vide Wyttenbach animadv. in Plut. de superst. p. 166 F Demosth. ed. Blass. v. I p. XCVI ‖ **9** *πᾶσιν* A | post *ἀνθρ.* add. *ἐστὶ* libri Demosthenis, flor. Mon. 109 ‖ **10** *ἑαυτὸν* M^d A Br Mac.: *αὑτὸν* Demosth. *αὐτὸν* flor. Mon. | *καθείρξαι* flor. Mon. ‖ **11** *μὲν ἅπασιν ἀεὶ* M^d Br Mac. Demosth.: *ἀεὶ ἅπασι μὲν* A ‖ **12** *δὲ* M^d Br Mac. | *ὃ ἂν* M^d A Br Mac.: *αν ὃ* Demosthenis S, *ὅ τι ἂν* Demosthenis vulg.; *ἂν* Dindorf ‖ **14** ecl. cum lemm. hab. M A Mac. Chrys. (post ecl. 7, 50 Mein.) Br (post ecl. 7, 27 Mein.); *Πλάτωνος ἐκ τῆς Σωκράτους ἀπολογίας* Gaisford: *Πλάτωνος ἐκ τῆς ἀπολογίας* M^dA Mac. *σωκράτους* compend. nec. plura Br ‖ **16** v. *Οὕτω γὰρ* — 323, 16 *οὐκ*

τις ἑαυτὸν τάξῃ ἡγησάμενος βέλτιστον εἶναι ἢ ὑπὸ ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ, ὡς ἐμοὶ δοκεῖ, μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον μήτε θάνατον μήτε ἄλλο μηδὲν πρὸ τοῦ αἰσχροῦ. ἐγὼ οὖν δεινὰ ἂν εἴην εἰργασμένος, ὦ Ἀθηναῖοι, εἰ ὅτε μέν με οἱ ἄρχοντες ἔταττον, οὓς ὑμεῖς εἵλεσθε ἄρχειν μου, καὶ ἐν Ποτιδαίᾳ καὶ ἐν Ἀμφιπόλει καὶ ἐπὶ Δηλίῳ, τότε μὲν οὗ ἐκεῖνοι ἔταττον ἔμενον ὥσπερ καὶ ἄλλος ⟨τις⟩ καὶ ἐκινδύνευον ἀποθανεῖν, τοῦ δὲ θεοῦ τάττοντος, ὡς ἐγὼ ᾠήθην τε καὶ ὑπέλαβον, φιλοσοφοῦντά με δεῖν ζῆν καὶ ἐξετάζοντα ἐμαυτὸν καὶ τοὺς ἄλλους, ἐνταῦθα δὲ [εἰ] φοβηθεὶς ἢ θάνατον ἢ ἄλλο ὁτιοῦν πρᾶγμα λίποιμι τὴν τάξιν. δεινὸν ἂν εἴη, καὶ ὡς ἀληθῶς τότ' ἄν με δικαίως εἰσαγάγοι τις εἰς δικαστήριον, ὅτι οὐ νομίζω θεοὺς εἶναι ἀπειθῶν τῇ μαντείᾳ καὶ δεδιὼς θάνατον καὶ οἰόμενος σοφὸς εἶναι οὐκ ὤν. τὸ γάρ τοι θάνατον δεδιέναι, ὦ Ἀθηναῖοι,

---

ὢν om. Mac. | *ἀθηναῖοι* Br $\overset{\Theta}{\alpha}$ in ras. M¹ vel M² *ἄνδς* A; *ἄνδρες Ἀθηναῖοι* tacite ex Plat. Gesn.² p. 95, inde vulg.

1 *ἑαυτὸν* Mᵈ Br Plat.: *αὐτὸν* A; *αὑτὸν* Gaisford | *τάξῃ* Mᵈ A Br Platonis E, Theodoret. therapeut. p. 326 Gaisf., Eusebius praepar. evang. XIII 10, Marcus Antoninus 7, 45: *τάξῃ ἢ* Platonis B D F, sed *ἢ* punctis notavit *b* ‖ **2** *ταχθῇ* (ut tacite ex Plat. scr. Gesn.², inde vulg.) Br: *ταχθῆναι* Mᵈ A | *δεῖ* A Br: *δὴ* Mᵈ ‖ **3** *μηδὲ θάνατον* temere Gesn.², inde vulg. | *ἄλλο* Mᵈ A Br Plat.; *ἄλλο τι* tacite ex Platonis Ald. p. 15 Gesn.², inde vulg. ‖ **4** *οὖν* Mᵈ Br Plat.: *γοῦν* A | *ἐργασμένος* A ‖ **5** *ἀθηναῖοι* Br $\overset{\Theta}{\alpha}$ Mᵈ *ἄνδς* A; *ἄνδρες Ἀθηναῖοι* tacite ex Plat. Gesn.², inde vulg. ‖ **7** *δηλίῳ* Br Plat., *δηλείῳ* Mᵈ, *ἠλείῳ*, nisi fuit *κλείῳ* A ‖ **8** *τις* tacite ex Plat. addidit Gesn.², inde vulg. ‖ **9** *τάττοντος* Mᵈ Br Plat.: *πράττοντος* A ‖ **10** *δεῖν ζῆν* tacite ex Plat. Gesn.², inde vulg.: *διὰ ζῆν* Mᵈ A *διαζῆν* Br ‖ **11** *ἐμαυτον* A Plat.: *ἑαυτὸν* Mᵈ Br | *φοβηθεὶς* tacite ex Plat. Gesn.², inde vulg.: *εἰ φοβηθεὶς* Mᵈ A Br ‖ **12** *ὁτιοῦν* Br Plat.: *ὅτοῦν* Mᵈ *ὁτοῦν* A | *λίποιμι* Mᵈ A Platonis B D: *λείποιμι* Br, idem ex Platonis Ald. (Platonis E F) Gesn.², inde vulg. | **13** *ἂν* Mᵈ A Br: *τἂν* Plat.; *μέντ' ἂν* tacite ex Platonis Ald. (Platonis E) Gesn.², inde vulg. ‖ *εἰσαγάγοι* Hirschig: *εἰσαγαγεῖν* Mᵈ A Br, *εἰσάγοι* Plat., unde tacite Gesn.², vulg. ‖ **14** *ἀπϊθῶν* A ‖ **16** v. *το γάρ τοι* usque ad fin. supra leguntur in maiore excerpto III 1, 124 | *δε-*

οὐδὲν ἄλλο ἐστὶν ἢ δοκεῖν σοφὸν εἶναι, μὴ ὄντα· δοκεῖν γὰρ εἰδέναι ἐστὶν ἃ οὐκ οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον οὐδ' εἰ τυγχάνει τῷ ἀνθρώπῳ ⟨πάντων⟩ μέγιστον ὂν τῶν ἀγαθῶν· δεδίασι δ' ὡς εὖ εἰδότες ὅτι μέγιστον τῶν κακῶν ἐστί. καὶ τοῦτο πῶς οὐκ ἀμαθία ἐστὶν αὕτη ἡ ἐπονείδιστος, ἡ τοῦ οἴεσθαι εἰδέναι ἃ οὐκ οἶδεν;

51 *Πλάτωνος* (Phaedr. p. 274 A).

Ἀλλὰ καὶ ἐπιχειροῦντα τοῖς καλοῖς καλὸν καὶ πάσχειν ὅ τι ἂν ξυμβῇ τῳ παθεῖν.

52 *Ἀλεξάνδρου.*

Ἐν Ἰλίῳ θύοντι τῷ Ἀλεξάνδρῳ ἔφη ὁ ἱερεὺς δείξειν τὴν Πάριδος λύραν· ὁ δὲ 'τὴν Ἀχιλλέως' εἶπεν 'εἰ ἔχεις, δεῖξον, καὶ πρό γε τῆς λύρας τὴν μελίαν'.

53 *Κορίσκου.*

Κορίσκος εὖ μάλα γέρων ὢν ὡς ἀπό τινος χαλεπῆς ἀρρωστίας ἀνερράισεν 'ἄπαγε' ἔφη 'ὡς ἀηδῶς ἀνέστροφα,

---

δοικέναι Mac. | *ὦ Ἀθηναῖοι* Br *ω* (superscr. *θ*) Md *ἄνθρωπον* A Mac.: *ὦ ἄνδρες* III 1, 124, Plat., ex Platone Gesn.², vulg.; liber Stobaei praebuerit *ὦ ἄνδρες Ἀθηναῖοι*

1 *μη* A Mac., III 1, 124, Plat.: *οὐκ* Md Br ‖ **2** v. *οἶδε μὲν* — 7 *οὐκ οἶδεν* temere om. Gesn.², inde vulg. primus supplevit ex A Gaisford ‖ **3** *πάντων* (quod exciderit post *ἀνῳι*) addidi ex III 1, 124, Plat. ‖ **4** *ὢν* (superscr. *ὂν*) Mac. ‖ **5** *καὶ τοῦτο πῶς* Md A Br, III 1, 124, Plat., *καίτοι πῶς* Eusebius ‖ **6** *αὕτη* Md, III 1, 124, Plat.: *αὐτὴ* A Br, *αὕτη κτἑ.* om. Mac. ‖ **8** ecl. cum lemm. hab. M A (post ecl. 7, 76 Mein.) ‖ **9** *ἐπιχειροῦντα* Md A: *ἐπιχειροῦντί τοι* libri Plat.; *ἐπιχειρεῖν* temere Gesn.² p. 90, inde vulg.; malim *ἐπιχειροῦντι* ‖ **10** *τῳ* (*τῶ* Md) post *ξυμβῇ* collocant Md A, ante *ξυμβῇ* libri Plat.; v. *τῳ παθεῖν* temere om. Gesn.², inde vulg. ‖ **11** ecl. cum lemm. hab. M A. cf. Plut. vit. Alex. p. 672 C, de Alex. fort. p. 331 D, Aelian. v. h. IX 38 qui et cum Stobaeo discrepant et inter se ipsi ‖ **12** *τῷ Ἀλεξ.* A: *Ἀλεξ.* Md ‖ **15** ecl. cum lemm. hab. M A (post ecl. 7, 52 Mein.), sine lemm. Br (post ecl. 7, 50 Mein.) Mac. Chrys. (post ecl. 7, 76 Mein.). iteratur Maxim. c. 4 p. 187 Rib. (*Corisci*) ‖ **17** *ἀνέρρωσεν* libri: corr. Buecheler: 'rectius *ἀνερρώσθη*' monuerat Meineke v. IV p. LVII

ἤδη πολὺ τῆς ὁδοῦ προκεκοφὼς ἣν δεῖ πάντως πορευθῆναι'.

54 *Κλεάνθους.*

Κλεάνθης ὑπὸ γλώττης ἕλκους αὐτῷ γενομένου τὴν τροφὴν οὐκ ἐδύνατο παραπέμπειν· ὡς δὲ ῥᾷον ἔσχε, καὶ ὁ ἰατρὸς αὐτῷ τροφὴν προσήγαγεν 'σὺ δέ με' ἔφη 'βούλει ἤδη τὸ πλέον τῆς ὁδοῦ κατανύσαντα ἀναστρέφειν, εἶτα πάλιν ἐξ ὑπαρχῆς τὴν αὐτὴν ἔρχεσθαι;' καὶ ἐξῆλθεν τοῦ βίου.

55 *Κλειτομάχου.*

Κλειτόμαχος νοσήσας καὶ ληθάργῳ περιπεσὼν ὡς ἀνένηψεν 'οὐδέν με' ἔφη 'ἐξαπατήσει ἡ φιλοζωία', καὶ ἐξήγαγεν ἑαυτὸν τοῦ βίου.

56 *Σωκράτους.*

Σωκράτους φεύγοντος τὴν δίκην, Λυσίας λόγον τινὰ συγγράψας ἦλθεν αὐτῷ κομίζων καὶ ἐκέλευε χρήσασθαι· τοῦ δὲ Λυσίου εἰπόντος καὶ μὴν κάλλιστον αὐτὸν εἶναι· 'καὶ τὰ ῥόδα' ἔφη 'κάλλιστά ἐστιν', ἀλλ' οὐ πρέπειν αὑτῷ τὸ στεφάνωμα. 'τεθνήξῃ τοίνυν' ἔφη ὁ Λυσίας 'εἰ μὴ οὕτως ἀπολογήσῃ'· ὃ δὲ 'οὐ γάρ' ἔφη 'κἂν μὴ νῦν, πάντως τεθνήξομαι;'

57 *Ἐρασιστράτου.*

Ἐρασίστρατος ὁ Κῷος ἤδη γηραιὸς ὢν ἕλκος ἐπὶ τοῦ

---

3 ecl. cum lemm. hab. M A Br. cf. Laert. VII 176 Lucian. macrob. 19 ‖ **4** *ἕλκους* M^d Br: *ἕλκος* A | *γενομένου* M^d Br: *γινομένου* A ‖ **5** *ἐδύνατο* M^d A Br sed *ε* in ras. M¹; fort. *ἠδύνατο* ‖ **6** *προσήγαγε* ut mox *ἐξῆλθε* (sic) Br | *προσήνεγκεν* mavult Cobet mnemos. IX p. 112 ‖ **8** *ἔρχεσθαι* ci. Gesn.² p. 90 mrg: *ἄρχεσθαι* M^d A Br, fallitur Gaisford ‖ **10** ecl. cum lemm. hab. M A, lemmate omisso Br. iteratur corp. Par. 595 (*Δημοκρίτου* de quo vide quae dixi p. 317 adn. 7), cf. Freudenthal mus. Rh. XXXV p. 429 ‖ **14** ecl. cum lemm. hab. M A. cf. Laert. II 40 sq. ‖ **19** *αὐτῷ* libri ‖ **20** *οὐ γὰρ* A: *ἦ γὰρ* M^d; *εἰ γὰρ* proposuit Gesn.³ p. 90 mrg | *κἂν* A: *καὶ* M^d; '*εἰ γάρ*' *ἔφη* '*καὶ μὴ νῦν, πάντως τεθνήξομαι*' Gaisford et Meineke ‖ **22** ecl. cum lemm. hab. M A (post ecl. 7, 56), sine lemm. Br (post ecl. 7, 55, sed om. 56) ‖ **23** *Κῷος* Wyttenbach: *Χῖος* vel *Χίος* libri

ποδὸς δυσίατον ἔχων ʽεὖ γεʼ εἶπεν ʽὅτι τῆς πατρίδος ὑπομιμνήσκομαιʼ, καὶ κώνειον πιὼν κατέστρεψεν.

58 (7, 81 Mein.) Ξενοφῶντος ἐκ τῆς Σωκράτους ἀπολογίας (p. 25—26 init. 27).

Θαυμαστὸν ἔμοιγε δοκεῖ εἶναι ὅπως ποτὲ ὑμῖν ἐφάνη τοῦ θανάτου ἔργον ἄξιον ἐμοὶ εἰργασμένον. ἀλλʼ οὐδὲ μέντοι ὅτι ἀδίκως ἀποθνήσκω, διὰ τοῦτο μεῖον φρονητέον· οὐ γὰρ ἐμοὶ ἀλλὰ τοῖς καταγνοῦσι τοῦτο αἰσχρόν ἐστιν. Εἰπὼν δὴ ταῦτα μάλα ὁμολογουμένως τοῖς εἰρημένοις ἀπήει καὶ ὄμματι καὶ σχήματι καὶ βαδίσματι φαιδρός. ὡς δὲ ᾔσθετο ἄρα τοὺς παρεπομένους δακρύοντας, τί τοῦτο; εἰπεῖν αὐτόν, ἢ ἄρτι δακρύετε; οὐ γὰρ πάλαι ἴστε, ὅτι ἐξ ὅτουπερ ἐγενόμην, κατεψηφισμένος ἦν μου ὑπὸ τῆς φύσεως θάνατος;

---

3 ecl. cum lemm. hab. M A ‖ **5** ὥστε ante θαυμ. temere ex Xenophonte addidit Gesn.² p. 96, inde vulg. | εἶναι om. A | ὅπως Mᵈ A Xenophontis cod. Vat. 1950: ὅπου Xenophontis cod. Vat. 1335, e Xen. tacite Gesn.² vulg. | ὑμῖν ἐφάνη Mᵈ A: ἐφάνη ὑμῖν tacite e Xenophonte Gesn.², inde vulg. ‖ **6** τοῦ Mᵈ A Xenophontis Vat. 1950: τὸ τοῦ Xenophontis Vat. 1335, e Xen. Gesn.², vulg. | ἄξιον ἐμοὶ εἰργασμένον Mᵈ A: ἐμοὶ ἄξιον (om. εἰργασμένον) Xenophontis libri, e Xen. tacite Gesn.², inde vulg. ‖ **8** φρονητέον· οὐ tacite e Xenophonte Gesn.², inde vulg.: φρο οὔτε ut videtur Mᵈ φρονητέον οὔτε A ‖ **9** quae post αἰσχρόν ἐστι habet apologiae auctor παραμυθεῖται δέ τι (δʼ ἔτι Gesn.²) καὶ Παλαμήδης ὁ παραπλησίως ἐμοὶ τελευτήσας· ἔτι γὰρ καὶ νῦν πολὺ καλλίους ὕμνους παρέχεται Ὀδυσσέως τοῦ ἀδίκως ἀποκτείναντος αὐτόν· οἶδʼ ὅτι καὶ ἐμοὶ μαρτυρήσεται ὑπό τε τοῦ ἐπιόντος καὶ ὑπὸ τοῦ παρεληλυθότος χρόνου ὅτι ἠδίκησα μὲν οὐδένα πώποτε οὐδὲ πονηρότερον ἐποίησα, εὐεργέτουν δὲ τοὺς ἐμοὶ διαλεγομένους προῖκα διδάσκων ὅτι ἐδυνάμην ἀγαθόν om. Mᵈ A: temere haec ex Xenophonte addidit Gesn.², vulgatam retinuerunt Gaisford et Meineke | δὴ Mᵈ A: δὲ tacite e Xen. Gesn.², inde vulg. | δὴ post ὁμολ. tacite e Xen. addidit Gesn.², inde vulg. ‖ **10** ὄμματι καὶ σχήματι Mᵈ A: ὄμμασι καὶ σχήμασι tacite e Xenophonte Gesn.², inde vulg. ‖ **12** εἰπεῖν sed εῖν e corr. Mᵈ | ἦ H. Stephanus | δακρύετε sed ε posterius e corr. Mᵈ ‖ **13** ᾔστε mavult Cobet | ὅτι om. Xenophontis libri | ἐξ ὅτουπερ ἐγενόμην tacite e Xenophonte Gesn.², inde vulg.: ἐξότου παρεγενόμην Mᵈ A ‖ **14** θάνατος Mᵈ A: ὁ θάνατος Xenophontis

59 (7, 58 Mein.) *Ἡροδότου ἱστορίας ζ'* (VII 102).

Λέγει Δημάρατος τάδε· 'ἐπειδὴ ἀληθείῃ διαχρήσασθαι πάντως κελεύεις ταῦτα λέγοντα τὰ μὴ ψευδόμενός τις ὕστερον ὑπὸ σεῦ ἁλώσεται, τῇ Ἑλλάδι πενίη μὲν αἰεί κοτε σύντροφος σύνεστιν, ἀρετὴ δὲ ἔπακτός ἐστιν, ἀπό τε σοφίης κατεργασμένη καὶ νόμου ἰσχυροῦ· τῇ διαχρεωμένη ⟨ἡ⟩ Ἑλλὰς τήν τε πενίην ἀπαμύνεται καὶ τὴν δεσποσύνην'.

60 (7, 59 Mein.) *Φιλίππου.*

Φίλιππος ἦλθεν ἐπὶ Λακεδαίμονα καὶ προσστρατοπεδεύσας, ἔπεμψεν ἀπειλῶν πολλὰ καὶ χαλεπά, ἢν μὴ ποιῶσι τὰ προστασσόμενα· τῶν δὲ Λακεδαιμονίων τις ἀκούσας τῶν ἀπειλῶν χάριν αὐτῷ ἔφη εἰδέναι, ὅτι οὐ κωλύει ὃ ἐπὶ τοῖς μαχομένοις ἐστὶν ἀποθανεῖν.

61 (7, 60 Mein.) *Πύρρου.*

Πύρρου ἐπιστρατεύσαντος Λακεδαιμονίοις καὶ πολλὰ ἀπειλοῦντος, Δερκυλλίδας εἷς τῶν γερόντων ἀναστὰς ἐν τῇ ἐκκλησίᾳ εἶπεν 'εἰ μὲν θεός ἐστιν ὁ ἀπειλῶν, μὴ φο-

---

Vat. 1335 m. sec., e Xenophonte Gesn.², vulg. post *θάνατος* e Xenophonte Socrateae orationis clausulam temere invexit Gesn.², omittunt libri. vulgatam sequuntur Gaisford et Meineke

1 ecl. cum lemm. hab. M A (post ecl. 7, 81 Mein.) ‖ **2** *Λέγει Δημάρατος τάδε* M^d A: *ὡς δὲ ταῦτα ἤκουσε Δημάρητος, ἔλεγε τάδε* Her. | *ἐπειδὴ* M^d A: *βασιλεῦ, ἐπειδὴ* Her. | *διαχρήσασθαι* M^d Her.: *δὴ χρήσασθαι* A, *χρήσασθαι* Herodoti *PR* ‖ **3** *πάντως* M^d A Herodoti *ABC*: *πάντως με* Her. *PR* | *τὰ μὴ* A Her.: *μὴ* M^d ‖ **4** *σεῦ* A Her.: *σὲ* M^d ‖ **5** *κοτε* om. Her. *A B C* | *σύνεστιν* M^d A, Her. *R*: *ἐστί* Her. ‖ **6** *διαχρεωμένη* M^d A Her.: *διαχρεομένη* Her. *P*, Gesn.² p. 90, inde vulg. ‖ **7** *ἡ* addidi ex Her. | *τε* om. Her. *PR* ‖ **9** ecl. cum lemm. hab. M A. ex alio fonte Ps.-Plut. apophth. Lac. p. 219 E ‖ **10** *προσστρατοπεδεύσας* Halm lect. Stob. p. 24: *προστρατοπεδεύσας* M^d *προστρατεύσας* A ‖ **11** *ἢν* Meineke: *εἰ* M^d A ‖ **12** *δὲ* A: *δη* M^d ‖ **14** *ὁ* M^d, inde vulg. ‖ **15** ecl. cum lemm. hab. M A (post ecl. 7, 59 Mein.) Mac. Chrys. (post ecl. 7, 53). iteratur Maxim. c. 4 p. 187 Rib. (*Pyrrhus*). alio modo concepta legitur narratiuncula Ps.-Plut. apophth. Lac. p. 219 F; cf. Plut. Pyrr. c. 26 extr. ‖ **17** *δερκυλλίδης* compend. A

βώμεθα, οὐδὲν γὰρ ἀδικοῦμεν· εἰ δ' ἄνθρωπος, γνώτω ἀνδράσιν ἀπειλῶν'.

62 (7, 61 Mein.) Σερήνου.

Ἀλέξανδρον τὸν Φεραίων τύραννον Θήβη ἀπέκτεινε γυνὴ καὶ τοὺς Φεραίους ἠλευθέρωσεν. συνέβη δὲ καὶ θεωροὺς ἥκοντας αὐτῶν παρ' Ἄμμωνος λέγειν αὐτοῖς κελεύειν τὸν Ἄμμωνα Ἥβης ἱερὸν ἱδρύσασθαι. τῶν δὲ πρεσβυτέρων τις παρακοῦσαι ἔφη τοὺς θεωρούς· τὸν γὰρ Ἄμμωνα Θήβης εἰπεῖν τῆς αὐτοὺς ἐξελομένης τῆς δουλείας.

63 (7, 62 Mein.) Ἐκ τῶν Πλουτάρχου διηγήσεων (Plut. parall. min. p. 305 B).

Δαρεῖος ὁ Περσῶν βασιλεὺς μετὰ τριάκοντα μυριάδων ἐν Μαραθῶνι ἐστρατοπεδεύσατο. Ἀθηναῖοι δὲ χι-

---

1 ἀδικοῦμεν] ῦ in ras. M² | ἔστι post ἄνθρωπος add. A ‖ 3 ecl. cum lemm. σερίνου hab. M A ‖ 6 παραγράμμως corr. A²: παραγραμμως (ἄμμωνος) M^d ‖ 7 δὲ A: δὴ M^d, inde vulg. ‖ 8 τοὺς θεωροὺς M^d: τῶν θεωρῶν A ‖ 11 ecl. cum lemm. hab. M A. iteratur corp. Par. 596 Elt. (ἐκ τῶν Πλουτάρχου διηγήσεων). ex parallelis descripsit scholiasta Aristidis t. III p. 126 sq. Dind. Plutarchi q. d. parallela minora haud raro excerpsit Stobaeus, sed hoc uno loco (quo usus est Hercher Plut. de fluv. praef. p. 32) commemorat nomen Plutarchi, cum in reliquis doctrinae opinor ostentandae gratia citarit libros quos falsarius excogitaverat ficticios. vide Valckenaer in Herodot. VI 14. ceterum raro in his eclogis ascivi Plutarchi vulgatam, cui quanto praestare soleant Ioannis excerpta luculenter exposuit Hercher l. c. p. 11 sqq. ‖ 13 Δαρεῖος ὁ περσῶν βασιλεὺς M^d A corp. Par.: Δάτης (l. Δᾶτις) ὁ περσῶν σατράπης Gesn.² p. 91 mrg ex Plutarcho ‖ 14 ἐν Μαραθῶνι ἐστρατοπεδεύσατο M^d A corp. Par.: εἰς Μαραθῶνα παραγενόμενος πεδίον τῆς Ἀττικῆς καὶ στρατοπεδευσάμενος πόλεμον τοῖς ἐγχωρίοις κατήγγειλεν Plut. vulg., quae quin propius absit a Plutarcho non dubito collato parallelorum loco ap. Stob. flor. 39, 33 Mein.: παραγενόμενος δ' εἰς Ἀθήνας ... ἀπήγγειλεν, quem addere possis exemplis ab Herchero collectis l. c. p. 12 n. 10 | δὲ e corr. M^d | χιλίους M^d A corp. Par.: πρὸς τοσοῦτον πλῆθος χιλίους μόνον schol. Ar. ἐνναкισχιλίους Gesn.² mrg ex Plut. recte fortasse, modo scribas δὲ ⟨θ'⟩ χιλ. cum Meinekio

λίους ἔπεμψαν στρατηγοὺς αὐτοῖς δόντες Πολύζηλον Καλλίμαχον Κυνέγειρον Μιλτιάδην· συμβληθείσης δὲ τῆς παρατάξεως, Πολύζηλος μὲν ὑπεράνθρωπον φαντασίαν θεασάμενος τὴν ὅρασιν ἀπέβαλεν καὶ τυφλὸς ὢν ἀνεῖλε τεσσαράκοντα καὶ ὀκτώ· Καλλίμαχος δὲ πολλοῖς περιπεπαρμένος δόρασιν καὶ νεκρὸς ἐστάθη· Κυνέγειρος δὲ Περσικὴν ἀναγομένην ναῦν κατέχων ἐχειροκοπήθη. ὅθεν καὶ εἰς αὐτοὺς ὑπὸ Παντελέου τοιάδε γεγράφθαι λέγεται·

ὦ κενεοῦ καμάτοιο καὶ ἀπρήκτου πολέμοιο,
ἡμετέρῳ βασιλῆι τί λέξομεν ἀντιάσαντες;
ὦ βασιλεῦ, τί μ' ἔπεμπες ἐπ' ἀθανάτους πολεμιστάς;
βάλλομεν, οὐ πίπτουσι· τιτρώσκομεν, οὐ φοβέονται.
μοῦνος ἀνὴρ σύλησεν ὅλον στρατόν· ἐν δ' ἄρα μέσσῳ
αἱματόεις ἕστηκεν ἀτειρέος Ἄρεος εἰκών.
δένδρον δ' ὡς ἕστηκε σιδηρείαις ὑπὸ ῥίζαις,
κοὐκ ἐθέλει πεσέειν, τάχα δ' ἔρχεται ἔνδοθι νηῶν.

---

1 *στρατηγοὺς αὐτοῖς δόντες* M^d A *ἐπιστήσαντες αὐτοῖς στρατηγους* schol. Ar. ‖ **2** *κυνέγειρον* M^d corp. Par. *κυναίγειρον* A, schol. Ar., Plut. vulg. | post *Μιλτιάδην* quod addit schol. Ar. *καὶ ἑτέρους ἕξ* ignorat etiam Plut. vulg. | *συμβληθείσης* M^d A corp. Par. Plut. vulg. *γενομένης* schol. Ar.; vide Hercher l. s. c. § 1 n. 51 ‖ **3** *πολύζηλον* M^d | *ὑπὲρ ἄνθρωπον* libri: corr. Bernardakis ‖ **5** *μὲν* compend. pro *μ'* (i. e. *τεσσαράκοντα*) A | de Callimacho et Cynegiro inverso ordine refert schol. Arist., cum Stob. consentit Plut. vulg. | *περιπεπαρμένος δόρασιν* M^d A corp. Par. Plut. vulg.: *πεπαρμένος βέλεσι* schol. Ar. ‖ **6** *ἐστάθη* M^d A corp. Par. Plut. vulg.: *ἵστατο* schol. Ar. | in *κυνέγ.* et *κυναίγ.* discrepant ut supra ‖ **7** *ἀναγομένην* dedi ex Plut.: *ἀγομένην* M^dA corp. Par. schol. Ar. | *κατέχων* M^dA corp. Par.: *κατασχὼν* Plut. vulg. schol. Ar. | post *ἐχειρ.* addit *εἶτα πάλιν κατασχὼν τοῖς ὀδοῦσιν ἀφῃρέθη τὴν* [illegible] *ν* schol. Ar. | *ὅθεν κτὲ.* om. Plut. vulg. ‖ **8** *ὑπο παντελεlου* A: *πο* [illegible] *ντελείου* corp. Par.; *παντελέου* Gesn.², inde vulg. ‖ **9** *ἀ* [illegible] ar. | *πολέμοιο* A: *πολεμῖο* M^d *πολέμου* corp. Par. ‖ **10** [illegible] ed *η* e corr. M^d ‖ **12** *βάλομεν* corp. Par. ‖ **13** *μόνος* corp. [illegible] *σσῳ* tacite Gesn.², inde vulg. cf. anth. Pal. II p. 607 Duebn.: [illegible] *έσῳ* (σ) corr. A¹ vocabulum om. corp. Par. ‖ **14** *ἄρεος* M^d corp. [illegible] A ‖ **15** *σιδηρείαις* M^d: *σιδηρέαις* A *σιδηραίαις* corp. Par. | [illegible] i. Meineke | ʿputo *ῥιπαῖς*: *mordaci velut icta ferro pinus* [illegible] er ‖ **16** *κοὐκ ἐθέλει* M^d corp. Par.: *κοὐ θέλει* A

λῦε, κυβερνῆτα, νέκυος προφύγωμεν ἀπειλάς.

64 (7, 63 Mein.) Ἀγαθαρχίδου Σαμίου ἐν δ' Περσικῶν (Plut. parall. min. p. 305 D).

Ξέρξης μετὰ πεντακοσίων μυριάδων Ἀρτεμισίῳ προσορμίσας πόλεμον τοῖς ἐγχωρίοις κατήγγειλεν. Ἀθηναῖοι δὲ συγκεχυμένοι κατάσκοπον ἔπεμψαν Ἀγησίλαον τὸν Θεμιστοκλέους ἀδελφόν, καίπερ Νεοκλέους τοῦ πατρὸς αὐτοῦ κατ' ὄναρ ἑωρακότος ἀμφοτέρας ἀποβεβληκέναι τὰς χεῖρας. παραγενόμενος δὲ ὁ ἀνὴρ εἰς πλῆθος τῶν βαρβάρων ἐν σχήματι Περσικῷ Μαρδόνιον ἕνα τῶν σωματοφυλάκων ἀνεῖλεν, ὑπολαβὼν Ξέρξην ὑπάρχειν. συλληφθεὶς δὲ ὑπὸ τῶν δορυφόρων πρὸς τὸν βασιλέα δέσμιος ἤχθη. βουθυτεῖν δὲ τοῦ προειρημένου μέλλοντος ἐπὶ τὸν βωμὸν τοῦ Ἡλίου τὴν δεξιὰν ἐπέθηκε χεῖρα καὶ ἀστένακτος ὑπομείνας τὴν ἀνάγκην τῶν βασάνων ἠλευθερώθη καὶ τῶν δεσμῶν εἰπών 'τοιοῦτοι πάντες ἐσμὲν Ἀθηναῖοι· εἰ δ' ἀπιστεῖς, καὶ τὴν ἀριστερὰν ἐπιθήσω'. φοβηθεὶς δ' ὁ Ξέρξης φρουρεῖσθαι τὸν Ἀγησίλαον προσέταξεν.

65 (7, 64 Mein.) Ἀριστείδου ἐν τῷ γ' Περσικῶν (Plut. parall. min. p. 306 C).

---

1 νέκοιος corp. Par. | προφύγωμεν sed ν ex corr. M^d^ || **2** ecl. cum lemm. hab. M A; Agatharchidis nomen om. pinacogr. Photii: vide Elter p. 59 et 38. Ἀγαθαρχίδου Gaisford coll. Plut.: ἀγαθαργίδου M^d^ ἀγαθαργίδας compend. A | δ̅ M^d^ A β' Plutarchi vulg. || **4** ἀρτεμησίω M^d^ || **6** Ἀγησίλαον Plat.: ἡγησίλαον M^d^ A; cf. Valckenaer ad Herodot. VIII 22 || **8** αὐτοῦ M^d^ Plut.: αὐτῶν A | ἀποβεβληκέναι A: ἀποβεβηκέναι M^d^; ἀποβεβληκότα Gesn.² p. 91 mrg ex Plut. || **10** Μαρδώνιον M^d^ A || **11** ὑπάρχειν M^d^ A: εἶναι Plutarchi vulg., vide Hercheri praef. ad Plut. de fluv. § 1 adn. 53 || **13** δὲ τοῦ tacite ex Plut. Gesn.², inde vulg.: δὲ αὐτοῦ M^d^ A | προειρημένου tacite ex Plut. Gesn.², inde vulg.: προηρημένου, prius η e corr. M^d^ προηρημένου A | καὶ ante μέλλ. add. A || **14** χεῖραν M^d^ || **15** ἠλευθερώθη A Plut.: ἐλευθερώθη M^d^ || **16** καὶ τῶν δεσμῶν M^d^ A: τῶν δεσμῶν tacite e Plut. Gesn.², inde vulg. || **20** ecl. cum lemm. hab. M A (post ecl. 7, 63 Mein.) Br (post ecl. 7, 57 Mein.); ἐν τῷ γ' Περσικῶν om. Br. ἐν τῷ γ̅ M^d^ A: ἐν πρώτῃ Plutarchi vulg. | Περσικῶν M^d^ A Plut.: τῶν Π. temere Gaisford. vide Wyttenbach ad Plut. l. c.

Περσῶν μετὰ πεντακοσίων μυριάδων ἐπὶ τὴν Ἑλλάδα φερομένων, Λακεδαιμόνιοι τριακοσίους εἰς Θερμοπύλας ἔπεμψαν στρατηγὸν αὐτοῖς δόντες Λεωνίδαν. οὗτος τὸ ἐπερχόμενον θεασάμενος τῶν πολεμίων πλῆθος εὐωχουμένοις εἶπε τοῖς συμμάχοις 'οὕτως ἀριστᾶτε, ὦ τριακόσιοι, ὡς ἐν ᾅδου δειπνήσοντες'. ἐπιφανέντων οὖν τῶν βαρβάρων Λεωνίδας πολλοῖς περιπεπαρμένος δόρασι μεθ' ὁρμῆς ἐπὶ Ξέρξην ἠνέχθη καὶ περιελόμενος αὐτοῦ τὸ διάδημα πρὸ τῶν τραυμάτων κατέσχε καὶ αἱμορραγήσας ἐξέπνευσεν. ἀνατεμὼν δὲ ὁ βασιλεὺς τοῦ προειρημένου τὸ στῆθος εὗρεν αὐτοῦ τὴν καρδίαν τριχῶν γέμουσαν.

66 (7, 69 Mein.) *Καλλισθένους ἐν δευτέρῳ Μεταμορφώσεων* (Plut. parall. min. p. 306 E).

Κατὰ Κελαινάς, πόλιν τῆς Φρυγίας, διὰ μῆνιν Ἰδαίου Διὸς χάσμα μεθ' ὕδατος γενόμενον πολλὰς οἰκίας αὐτάνδρους εἰς τὸν βυθὸν καθείλκυσε. τοῦ δὲ δήμου κινδυνεύοντος, Μίδας ὁ βασιλεὺς χρησμὸν ἔλαβε, συνελεύσεσθαι τὴν γῆν, ἐὰν εἰς τὸ βάραθρον βάλῃ τὸ τιμιώτατον ἐν ἀνθρωπίνῳ βίῳ. τῶν δὲ Κελαινιτῶν χρυσόν τε καὶ ἄργυρον καὶ τὸν κόσμον τῶν γυναικῶν εἰς τὸ χάσμα ῥιψάντων, καὶ μηδ' οὕτω τοῦ κακοῦ λήξαντος, Ἀγχοῦρος ὁ υἱὸς Μίδα λογισάμενος μηδὲν εἶναι τιμιώτερον ἐν βίῳ

---

3 *λεωνίδαν* M[d] A Br: *-δην* tacite Gesn.[2], inde vulg. ‖ **5. 6** '*οὕτως — δειπνήσοντες*' testimonia effati collegit Sternbach ad gnomol. Vatic. 390. memoria labitur cum *etiam apud Herodotum esse* putat Seneca pater suasor. II p. 17, 20 Kiessl. | *οὕτως* M[d] Br Plut.: *οὗτος* A | *ὦ* ex *ὡς* corr. A[2] | *ὦ τριακόσιοι* om. Br ‖ **6** 'debuit certe *ἐπιστάντων*' Buecheler ‖ **13** ecl. cum lemm. hab. M A (post ecl. 7, 64 Mein.) Tr. p. 2 (post ecl. 5, 135 Mein.); *Καλλισθένης* pro *-ους* Tr. hunc locum respexit pinacographus Photii, non 7, 65 Mein. ut notavit Elter p. 60. cum Tr. ut solet conspirat Apost. cent. I 58[b] ‖ **15** *ἰδαίου* A Tr.: *ἰδίου* M[d] ‖ **17** *καθείλκυσε* (*-σεν* M[d]) M[d] A Tr.: *καθείλκυσι* operarius Gesn.[2] p. 93, inde vulg. ‖ **22** *οὕτως* A | *λήξαντος* A: *λήγοντος* M[d] Tr. | *ἀγχοῦρος* A *ἀγχοῦρας* M[d]: *αἰγιστέος* Tr., inde vulg.; *ἄγχουρος* Gesn.[1] p. 4 mrg ex Plut.

ψυχῆς ἀνθρωπίνης, δοὺς περιπλοκὰς τῷ γεννήσαντι καὶ ἀποταξάμενος τῇ γυναικὶ Τιμοθέᾳ, μεθ᾽ ὁρμῆς ἔφιππος εἰς τὸν τόπον τοῦ χάσματος ἠνέχθη. τῆς δὲ γῆς εἰς τὴν φυσικὴν ἁρμονίαν συνελθούσης, Μίδας βωμὸν ἱδρύσατο Διὸς Ἰδαίου, ὃν χρύσεον ἐποίησε ταῖς χερσὶν ἁψάμενος. οὗτος ὁ βωμὸς περὶ ἐκεῖνον τὸν καιρόν, ἐν ᾧ τὸ χάσμα συνέβη γενέσθαι, λίθινος γίνεται· τῆς δ᾽ ὡρισμένης προθεσμίας παρελθούσης, χρύσεος ὁρᾶται.

67 (7, 65 Mein.) *Καλλισθένους ἐν τρίτῳ Μακεδονικῶν* (Plut. parall. min. p. 307 D).

Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεὺς δύο καὶ τριάκοντα Χαλκιδικὰς πόλεις τοῖς ἰδίοις ὑποτάξας σκήπτροις, Μεθωναίους καὶ Ὀλυνθίους λεηλατεῖν ἤρξατο. γενόμενος δὲ κατὰ γέφυραν ποταμοῦ Σάρδωνος καὶ εἰς τὸ πέραν διαβῆναι βιαζόμενος, ὑπὸ τοῦ πλήθους τῶν Ὀλυνθίων ἐπεσχέθη. τοξότης δέ τις, Ἀστὴρ τοὔνομα, τόξον ἐντείνας ἐτύφλωσε τὸν Φίλιππον εἰπών·

Ἀστὴρ Φιλίππῳ θανάσιμον πέμπει βέλος.

ἀποβαλὼν δὲ ὁ βασιλεὺς τὸν ὀφθαλμὸν εἰς τὸν ποταμὸν ἑαυτὸν ἔρριψε καὶ πρὸς τοὺς οἰκείους διανηξάμενος τὸν κίνδυνον ἐξέφυγεν.

67 (7, 66 Mein.) *Σωστράτου ἐν δευτέρῳ Θρᾳκικῶν* (Plut. parall. min. p. 310 A).

---

1 *ἀνθρωπίνης* M[d] A Plut.: *ἀναποδήσας* (*ἀναπηδ-* Apost.) *καὶ* Tr.; *ἀνθρωπίνης, ἀναπηδήσας καὶ* tacite scr. Gesn.[2] (inde vulg.), non recte: *ἀναπηδήσας* finxerit interpolator compendio vocis *ἀνθρωπίνης* male intellecto ‖ **3** *τῆς δὲ γῆς* usque ad fin. om. Tr. ‖ **5** *ἰδαίου* A Plut.: *ἰουδαίου* M[d] ‖ **6** *τὸν καιρὸν* M[d] Plut.: *τὸν //// καιρὸν* A, quid fuerit nescio ‖ **7** *προθεσμίας*, sed *μίας* e corr. M[1d] ‖ **9** ecl. cum lemm. hab. M A (post ecl. 7, 69 Mein.). cf. Wyttenbach ad Plut. l. c. ‖ **12** *χαλκηδικὰς* M[d] ‖ **14** *σάρδωνος* M[d] A: *σανδάνου* Gesn.[2] p. 92 mrg e Plut. ‖ **16** *ἐπεσχέθη* M[d] *κατεσχέθη* (*ἐπ* supra *κατ*) A, fort. A[1] | *τοὔνομα*] vid. Hercheri praef. ad Plut. de fluv. § 1 n. 52 ‖ **20** *διανηξάμενος* M[d]: *διανοιξάμενος* A ‖ **22** ecl. cum lemm. hab. MA (post ecl. 7, 65 Mein.) Br (post ecl. 7, 64 Mein.); *σωστράτου* nec plura Br. *Σώστρατος* pinacographus Photii p. 61 Elt. *Σωκράτης* Plut. *Σωκράτου* Gaisfordi ed. Lips., remansit apud Meinekium nuperque imposuit Wagnero Herm. XXVII p. 140

Ἀθηναῖοι πρὸς Θρᾷκας πόλεμον ἔχοντες στρατηγὸν ἐχειροτόνησαν Κόδρον. οὗτος ἀκούσας ὅτι χρησμὸν εἰλήφασιν οἱ πολέμιοι ἐγκρατεῖς γενήσεσθαι τῆς νίκης αὐτούς, ἐὰν τοῦ στρατηγοῦ φείσωνται τῶν Ἀθηναίων, ἐν δρυτόμου σχήματι συνέβαλε μάχην μετά τινων Θρᾳκῶν ξυλιζομένων καὶ τῷ δρεπάνῳ καιρίως ἐξ αὐτῶν ἕνα πλήξας ἀνεῖλεν· οἱ δὲ λοιποὶ τὴν περίστασιν τοῦ στρατηγήματος μὴ γινώσκοντες ἀπέκτειναν τὸν Κόδρον θέλοντα· συμβαλόντες δὲ τὸν πόλεμον Ἀθηναῖοι τῆς νίκης ἐγκρατεῖς ἐγένοντο.

68 (7, 67 Mein.) *Ἐκ τῶν Θησέως* (fragm. hist. gr. ed. Mueller. IV p. 519 fr. 3).

Λακεδαιμόνιοι καὶ Ἀργεῖοι περὶ χωρίου Θυρέας ἐν μεθορίῳ κειμένης μέχρι μέν τινος ὅλοις τοῖς στρατεύμασι παρετάσσοντο πρὸς ἀλλήλους, τέλος ἔδοξεν αὐτοῖς ἐπιλέξαι παρ' ἑκατέρων τριακοσίους, κἀκείνων μαχεσαμένων τοῖς κρατήσασιν διαφέρειν τὸ χωρίον· οὗπερ γενομένου, Ὀθρυάδης Λακεδαιμόνιος στρατιώτης πολλοὺς ἀποκτείνας καὶ πολλὰ τετρωμένος ἔκειτο μεταξὺ τῶν ἀνῃρημένων Λακεδαιμονίων μόνος περιλειφθείς, Ἀργείων δὲ δύο Ἀλκήνωρ καὶ Χρόμιος· ὧν ἀπελθόντων εἰς Ἄργος ἀπαγγεῖλαι τὴν νίκην, Ὀθρυάδης πολλοὺς σκυλεύσας τῶν πολεμίων τρόπαιον ἔστησε καὶ χρησάμενος

---

3 *τῆς* om. A ‖ **6** *καιρίως* (ut tacite scr. Gesn.[2] p. 92, inde vulg.) A: *κυρίως* M[d] ‖ **9** *συμβαλόντες* (ut tacite Gesn.[2], inde vulg.) A: *συμβαλλόντες* M[d] ‖ **11** ecl. cum lemm. hab. M A. lemma repperit pinacographus Photii p. 60 Elt. *Χρύσερμος ἐν τρίτῳ Πελοποννησιακῶν* Plut. parall. min. p. 306 A cf. Herodot. I 82 ‖ **13** *Μακεδαιμόνιοι, Μ* rubr. M[d] | *Θυρέας* Meineke: *θυραίας* M[d] A; *Θυρεάτιδος* Gesn.[2] p. 92 mrg ex Plut. ubi *ὑπὲρ Θυρεάτιδος χώρας* ‖ **15** *τέλος δ'* Meineke ‖ **18** *λακεδαιμόνιος σταρτιώτης* tamquam glossema secluserim; *Λακεδαιμονίων στρατηγὸς* duce Plutarcho ci. Barth, non recte ‖ **19** *τετρωμένος* A: *τετρωμένας* M[d] ‖ **21** *Ἀλκήνωρ καὶ Χρόμιος* Wesseling ex Herodoto: *ἀλκήνορος καὶ χραμίου* M[d] A; *Ἀγήνωρ καὶ Χρόμιος* ex Plut. Gesn.[2] p. 92 mrg. genetivum servandum putat Buecheler ‖ **22** *ὀθρυάδης* hic et 18 M[d] | *σ^{κ}υλεύσας* corr. A[2] ‖ **23** *χρησάμενος* A: *χρισάμενος* M[d]

τῷ τῶν τραυμάτων αἵματι ἐπέγραψεν ʽΛακεδαιμόνιοι κατ' Ἀργείων', καὶ τοῦτο πράξας ἀπέθανεν.

69 (7, 70 Mein.) *Τοῦ αὐτοῦ.*

Λοιμοῦ κατασχόντος τὴν Λακεδαίμονα διὰ τὴν ἀναίρεσιν τῶν κηρύκων τῶν ἀπεσταλέντων παρὰ Ξέρξου αἰτοῦντος γῆν καὶ ὕδωρ ὥσπερ ἀπαρχὰς δουλείας, χρησμὸς ἐδόθη, ἀπαλλαγήσεσθαι αὐτούς, εἴ γέ τινες ἕλοιντο Λακεδαιμονίων παρὰ τοῦ βασιλέως ἀναιρεθῆναι. τότε Βοῦλις καὶ Σπερθίης ἀφικόμενοι πρὸς βασιλέα ἠξίουν ἀναιρεθῆναι· ὁ δὲ θαυμάσας αὐτῶν τὴν ἀρετὴν ἐπανιέναι προσέταξεν.

70 (7, 68 Mein.) *Ἐκ τῆς Φαλάριδος ἐπιστολῆς πρὸς Περισθένην* (epistologr. gr. LXXII p. 427 sq. Herch.).

Τὴν Εὐβούλου καὶ τὴν Ἀριστοφῶντος γυναῖκα τῶν ἐπιβουλευσάντων μοι ἔπεμψας ὡς ἀπολουμένας· πάντως που θαυμάζεις ὅτι ὑφήρηκα τῆς ὀργῆς. εἰ δὲ πύθοιο τὴν αἰτίαν, ὅτι δι' εὐγενείας ὑπερβάλλουσαν ἀπόκρισιν

---

3 ecl. cum lemm. hab. M A (post ecl. 7, 67 Mein.) Tr. p. 3 (post ecl. 7, 69 Mein.); *τοῦ αὐτοῦ* MA: *Ἐκ τοῦ θησεως* Tr., inde vulg. rem inde ab Herodoto VII 134 narrant aut memorant multi, infra Serenus flor. 39, 27 Mein., ubi vide ‖ **5** *ἀποσταλέντων* M[d]A: *ἀπεσταλμένων* Tr., inde vulg. ‖ **6** *δουλείας* M[d]A: *λείας* Tr., inde vulg. ‖ **7** *ἀπαλλαγήσεσθαι* M[d]A: *ἀπαλλαχθήσεσθαι* Tr. | *αὐτοῦ* mavult Wachsmuth ‖ **8** *Βοῦλις* Herod.: *βούλης* M[d] A Tr. ‖ **9** *Σπερθίης* Herod.: *σπέρχης* M[d] A Tr. | *προς* M[d] A: *εἰς* Tr., inde vulg.; *ὡς* proposuit cod. Par. 1985 manu sec. teste Gaisfordo, fortasse recte: cf. flor. 39, 27 Mein. ‖ **12** ecl. cum lemm. hab. MA (post ecl. 7, 70 Mein.) ‖ **14** *Ἀριστοφῶντος* Hercher: *ἀριστοφάντου* M[d] A *ἀριφάντου* libri Phal. | *τῶν ἐπιβουλευσάντων* M[d] Phal.: *ἐπιβουλευσάντων* A ‖ **15** *ἐπιβουλευσάντων μοι ἔπεμψας ὡς ἀπολουμένας· πάντως* (*καὶ πάντως* ex Phal. Gesn.[2] p. 92, inde vulg.) M[d] A: *ἐπιβουλευσάντων μοι, Περίσθενες, ἃς ἑλὼν αἰχμαλώτους ἔπεμψας ὡς ἀπολουμένας πρός με, σφόδρα σπουδάσας τὸ πρῶτον ἀνελεῖν σέσωκα. καὶ πάντως* Phal.; post *ἀπολουμένας* lacunam indicavit Meineke, debuit etiam post *ἐπιβουλευσάντων μοι*, nisi clausula eclogae comparata probabilius esset leviter rem egisse ipsum eclogarium ‖ **16** *ὑφήρηκα* M[d] A Phal.: *ὑφῆκα* recte Valckenaer | *εἰ δὲ* M[d] A: *εἰ δὲ καὶ* tacite ex Phal. Gesn.[2], inde vulg. ‖ **17** *δη* pro *δι'* (*δι* M[d]) oscitanter Gesn.[2], inde vulg. | *ὑπερ-*

οὐδὲν πρὸς ἐμοῦ πεπόνθασι, ⟨μᾶλλον ἂν ἔτι θαυμάσειας·⟩ ἐρωτώμεναι γὰρ παρ᾽ ἐμοῦ τὴν ἐπιβουλὴν εἰ συνήδεσαν τοῖς ἀνδράσιν, οὐ μόνον ἔφασαν, ἀλλὰ καὶ συνορμῆσαι τυραννοκτονεῖν. ‘ἀντὶ ποίας ἀδικίας;’ εἰπόντος μου ‘ἰδίας μὲν οὐδεμιᾶς, τῆς δὲ κοινῆς’ ἀπεκρίναντο· κοινὴν γὰρ ἀδικίαν εἶναι τὸ καταδουλοῦσθαι πόλεις ἐλευθέρας. ‘τί παθοῦσαι τοιγάρτοι’ πάλιν ἐπανερομένου μου ‘δίκην ἀποτίσαιτ᾽ ἂν μοι τοῦ μίσους τὴν κατ᾽ ἀξίαν;’ ‘ἀποθανοῦσαι’ προσέθηκαν. ζῆν δή, οὐ τεθνάναι ἔκρινα τὰς μετὰ τοιαύτης ἀρετῆς ἀποθνησκούσας.

71 (7, 77 Mein.) *Πλάτωνος ἐκ τῆς Σωκράτους ἀπολογίας* (p. 38 E — 39 A).

Οὔτε γὰρ ἐν δίκῃ οὔτ᾽ ἐν πολέμῳ οὔτ᾽ ἐμὲ οὔτ᾽ ἄλλων οὐδένα δεῖ τοῦτο μηχανήσασθαι, ὅπως ἀποφεύξεται πᾶν ποιῶν θάνατον. καὶ γὰρ ἐν ταῖς μάχαις πολλάκις δῆλον γίγνεται ὅτι τό γε ἀποθανεῖν ἂν τις ὑπεκφύγοι

βάλλουσαν M^d A: *ὑπερβαλλούσης* Phalaridis Ald. et Paris. 1038 | *ἀπόκρισιν* M^d A Phalaridis Paris. 1038: *ἀπόδειξιν* Phal. atque sic demum intellegitur *εὐγενείας*

1 *οὐδὲν πρὸς ἐμοῦ πεπόνθασι* om. Phal. | *μᾶλλον ἂν ἔτι θαυμάσειας* tacite e Phal. addidit Gesn.^{2}, inde vulg., fallitur Gaisford ‖ **2** *παρ᾽ ἐμοῦ* M^d A: *ὑπ᾽ ἐμοῦ* (om. Paris. 1038) Phal. ‖ **3** *ἔφασαν* M^d A Phalaridis Ald.: *ἔφασαν εἰδέναι* (*συνειδέναι* Westerm.) Phal. ‖ **4** *ποίας ἀδικίας* M^d A Phalaridis Paris. 1038: *ποίας δὲ ἀδικίας* Phal. | post *εἰπόντος μου* habet *μείζονος ἢ ἐλάττονος εἰς ὑμᾶς ἐξ ἐμοῦ γενομένης* Phal. ‖ **6** *ὑπολαμβάνειν* pro *εἶναι* Phalaridis Aldina quod commendat Hercher ‖ **7** *παθοῦσαι* A Phal.: *παθοῦσας* M^d ‖ **8** *ἀποτίσαιτ᾽* (acc. corr. fortasse M^1) M^d A Phal.: *ἀποτίσαιντ᾽* Gesn.^{2}, inde vulg. ‖ **9** *δὴ* M^d A: *δὲ* libri Phal. | *ἔκρινα* M^d *προέκρινα* A: *κρίνας* Phal. ubi integrum enuntiatum sic legitur: *ζῆν δέ, οὐ τεθνάναι* (*τεθνάναι δεῖν* Paris. 1038) *κρίνας τοὺς μετα τοιαύτης ἀρετῆς ἀποθνήσκοντας φρονήματός τε τοσούτου, Περίσθενες, ἐγὼ δικαίως ἐφεισάμην, σύ τε κτέ.* ‖ **11** ecl. cum lemm. hab. M A (post ecl. 7, 68 Mein.) ‖ **13** *ἄλλον* M^d Plat.: *ἄλλων* A ‖ **14** *μηχανήσασθαι* A *μηχανίσασθαι* M^d: *μηχανᾶσθαι* tacite ex Plat. Gesn.^{2} p. 95, inde vulg. | *ἀποφεύξεται πᾶν ποιῶν* tacite ex Plat. Gesn.^{2}, inde vulg.: *ἀποφεύξηται παντοῖον* M^d A ‖ **16** *ἂν* M^d A Platonis B D F, *ῥᾷον ἂν* Platonis E; *ῥᾷον ἂν* tacite ex Platonis Ald. Gesn.^{2}, inde vulg. | *ὑπεκφύγοι* M^d A: *ἐκφύγοι* tacite ex Plat. Gesn.^{2}, inde vulg.

καὶ ὅπλα ἀφεὶς καὶ ἐφ᾽ ἱκετείαν τραπόμενος τῶν διωκόντων· καὶ ἄλλαι μηχαναὶ πολλαί εἰσιν ἐν ἑκάστοις ⟨τοῖς⟩ κινδύνοις, ὥστε διαφυγεῖν θάνατον, ἐάν τις τολμᾷ πᾶν ποιεῖν καὶ λέγειν. ἀλλὰ μὴ οὐ τοῦτ᾽ ᾖ χαλεπόν, ὦ ἄνδρες, θάνατον ἐκφυγεῖν, ἀλλὰ πολὺ χαλεπώτερον πονηρίαν· θᾶττον γὰρ θανάτου θεῖ.

72 (7, 78 Mein.) *Πλάτωνος ἐκ τοῦ Φαίδωνος* (p. 84 D—E).

Βαβαί, ὦ Σιμμία, ἦ που χαλεπῶς ἂν τοὺς ἄλλους ἀνθρώπους πείσαιμι ὡς οὐ συμφορὰν ἡγοῦμαι τὴν παροῦσαν τύχην, ὅτε γε μηδ᾽ ὑμᾶς δύναμαι πείθειν· ἀλλὰ φοβεῖσθε μὴ δυσκολώτερον νῦν διάκειμαι ἢ ἐν τῷ πρόσθεν βίῳ.

73 (7, 79 Mein.) *Πλάτωνος ἐκ τοῦ Πρωταγόρου* (p. 350 E —351 B).

Ἐγὼ δὲ οὐδαμοῦ οὐδ᾽ ἐνταῦθα ὁμολογῶ τοὺς δυνα-

---

1 *καὶ ὅπλα* M^d A Plat.: *τά τ᾽* (sic) *ὅπλα* operarius ut videtur ap. Gesn.^{2}, inde vulg. | *ἱκετίαν* temere Gesn.^{2}, inde vulg. | *τραπόμενος* M^d A Plat.: *τραπεὶς* tacite ex Platonis Ald. Gesn.^{2}, inde vulg. ‖ **2** *μηχαναὶ πολλαὶ* M^d *μηχαναί* (om. *πολλαὶ*) A *μηχαναὶ πολλαί* Platonis B D F: *πολλαὶ μηχαναί* tacite ex Platonis Ald. (Platonis E) Gesn.^{2}, inde vulg. | *εἰσὶν* M^d | *τοῖς* tacite ex Plat. addidit Gesn.^{2}, inde vulg. ‖ **3** *διαφυγεῖν* M^d A: *διαφεύγειν* tacite ex Plat. Gesn.^{2}, inde vulg. ‖ **4** *οὐ τοῦτ᾽ ᾖ* tacite ex Plat. Gesn.^{2}, inde vulg.: *οὐ τοῦτ᾽* M^d *οὕτω τ᾽ ἢ* A | *ὦ ἄνδρες* M^d A Platonis D F: *ὦ ἄνδρες Ἀθηναῖοι* tacite ex Platonis Ald. (Platonis E b) Gesn.^{2}, inde vulg. ‖ **6** clauditur ecloga verbo *θεῖ,* propter Schanzium moneo Plat. op. v. I p. 59 ‖ **7** ecl. cum lemm. hab. M A; *Τοῦ αὐτοῦ* pro *Πλάτωνος* A. temere locum omiserat Gesn.^{2}, primus edidit Gaisford ex A. recurrit eodem lemm. praemisso in maiore excerpto flor. 120, 31 Mein. ‖ **8** *χαλεπῶς ἂν* M^d, flor. 120, Plat.: *χαλεπῶς* A, inde Gaisford ‖ **9** *ἀνθρώπους* M^d, flor. 120, libri Plat.: *αὐτοὺς* A, inde Gaisford; *αὐτοὺς* ortum ex compendio *ἄνους* ‖ **10** *φοβεῖσθε* A, flor. 120, Plat., *φοβεῖσθαι* M^d ‖ **11** *δυσκολώτερον νῦν* M^d A, *δυσκολώτερον* flor. 120: *δυσκολώτερόν τι νῦν* Plat. | *διάκειμαι*] *διακέωμαι* Hirschig ‖ **13** ecl. cum lemm. hab. M A; *τοῦ αὐτοῦ* pro *Πλάτωνος* A, idem *πρωταγόρα*^{ου}, corr. A^1 ‖ **15** *δυνατοὺς* tacite ex Plat. Gesn.^{2} p. 95, inde vulg.: *δυναμένους* M^d A, aberravit Gaisford

τοὺς ἰσχυροὺς εἶναι, τοὺς μέντοι ἰσχυροὺς δυνατούς. οὐ γὰρ ταὐτὸν εἶναι δύναμίν τε καὶ ἰσχύν, ἀλλὰ τὸ μὲν καὶ ἀπὸ ἐπιστήμης γίγνεσθαι, τὴν δύναμιν, καὶ ἀπὸ μανίας γε καὶ θυμοῦ, ἰσχὺν δὲ ἀπὸ φύσεως καὶ [ἀπὸ] εὐτροφίας τῶν σωμάτων. οὕτω δὲ κἀκεῖ οὐ ταὐτὸν εἶναι θάρσος τε καὶ ἀνδρείαν· ὥστε συμβαίνει τοὺς μὲν ἀνδρείους θαρραλέους εἶναι, μὴ μέντοι τούς γε θαρραλέους ἀνδρείους ⟨πάντας⟩. θάρσος μὲν γὰρ καὶ ἀπὸ τέχνης γίγνεται ἀνθρώποις καὶ ἀπὸ θυμοῦ γε καὶ ἀπὸ μανίας, ὥσπερ ἡ δύναμις, ἀνδρεία δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν ψυχῶν γίγνεται.

74 (7, 80 Mein.) *Δημοκρίτου* (fr. mor. 81 Mullach.).

Σοφίη ἄθαμβος ἀξίη πάντων τιμιωτάτη ἐοῦσα.

75 (7, 74 Mein.) *Ξενοφῶντος Ἀπομνημονευμάτων* (III 9, 1).

Πάλιν δὲ ἐρωτώμενος, ἡ ἀνδρεία πότερον εἴη διδακτὸν

---

3 *ἐπιστήμης* tacite ex Plat. Gesn.[2], inde vulg.: *ἐπιστήμην* M[d] *τῆς ἐπιστήμης* A || **4** *γε* M[d] A Platonis t: *τε* Platonis B T | *θυμοῦ* M[d] A Platonis T: *ἀπὸ θυμοῦ* Platonis B t; *ἀπὸ θυμοῦ* tacite ex Platonis Ald. (p. 405) Gesn.[2], inde vulg. | *εὐτροφίας* tacite ex Plat. Gesn.[2], inde vulg.: *ἀπὸ εὐτροφίας* M[d] A (cf. 10) || **5** *θάρσος* tacite ex Plat. Gesn.[2], inde vulg.: *θάρρος* M[d] A || **6** *ἀνδρείαν* M[d] Platonis T: *ἀνδρίαν* A Platonis B, idem ex Platonis Ald. tacite Gesn.[2], inde vulg. | *συμβαίνει* M[d] A Plat.: *συμβαίνειν* dormitanter Gesn.[2], inde vulg. || **7** *τούς γε* M[d] Plat.: *τοὺς* A || **8** *πάντας* tacite ex Plat. addidit Gesn.[2], inde vulg. | *θάρρος* A || **9** *γε* M[d] A: *τε* tacite ex Plat. Gesn.[2] p. 96, inde vulg.; *θυμοῦ γε καὶ μανίας* ci. Naber || **10** *ἀνδρεία* M[d] Platonis T *ἀνδρία* A Platonis B, idem tacite ex Platonis Ald. Gesn.[2], inde vulg. || **12** ecl. cum lemm. hab. M A Tr. p. 3, ante ecl. 7, 74 M A Tr., post ecl. 7, 79 M A, post ecl. 7, 70 Tr. temere olim etiam tertio capiti inseruerat Gesner voce *σοφίη* deceptus, unde apud Gaisfordum et Meinekium remansit ecl. 3, 34 Mein. vide quae exposui mus. Rh. XXXIX p. 526 sq. || **13** *πάντων* compend. (non *πάντως*) etiam A | *οὖσα* M[d]A: corr. Mullach || **14** ecl. cum lemm. hab. M A Tr. (post Democriteam) Br (post ecl. 7, 49 Mein.); *ἀπομνημονευμάτων* om. Tr. Br. fuerit ⟨*ἐν γ′*⟩ *Ἀ.* vel *Ἀ.* ⟨*γ′*⟩. clausula eclogae inde ab *ὁρῶ δ' ἔγωγε* sine lemm. servata est etiam in S f. 6[r] ubi ab his ipsis verbis incipit codicis manus vetusta. sed folii 6 pars superior umore passim oblitterata est. lacunis igitur deformata sunt quae huic parti respondent Tr. p. 53, 8 *ὁρᾷ* (sic, dein lac. decem fere litterarum) *καὶ ἐπὶ τῶν ἄλλων κτἑ.* || **15** *πάλιν δὲ* M[d] Br Xen.: *πάλιν* A Tr. | *ἐρωτόμενος* A | *ἡ*

ἢ φυσικόν· οἶμαι μέν, ἔφη, ὥσπερ σῶμα σώματος ἰσχυρότερον πρὸς τοὺς πόνους φύεται, οὕτω καὶ ψυχὴν ψυχῆς ἐρρωμενεστέραν πρὸς τὰ δεινὰ φύσει γίγνεσθαι· ὁρῶ γὰρ ἐν τοῖς αὐτοῖς νόμοις τε καὶ ἔθεσι τρεφομένους, πολὺ διαφέροντας ἀλλήλων τόλμῃ. νομίζω μέντοι πᾶσαν φύσιν μαθήσει καὶ μελέτῃ πρὸς ἀνδρείαν αὔξεσθαι· δῆλον μὲν γὰρ ὅτι Σκύθαι καὶ Θρᾷκες οὐκ ἂν τολμήσειαν ἀσπίδας καὶ δόρατα λαβόντες Λακεδαιμονίοις διαμάχεσθαι· φανερὸν δ᾽ ὅτι Λακεδαιμόνιοι οὔτ᾽ ἂν Θρᾳξὶν πέλταις καὶ ἀκοντίοις, οὔτε Σκύθαις τόξοις ἐθέλοιεν διαγωνίζεσθαι. ὁρῶ δ᾽ ἔγωγε καὶ ἐπὶ τῶν ἄλλων πάντων ὁμοίως καὶ φύσει διαφέροντας ἀλλήλων τοὺς ἀνθρώπους, καὶ ἐπιμελείᾳ πολὺ ἐπιδιδόντας. ἐκ δὲ τούτων δῆλόν ἐστιν ὅτι πάντας χρὴ καὶ τοὺς εὐφυεστέρους καὶ τοὺς ἀμβλυτέρους φύσιν, ἐν οἷς ἂν ἀξιόλογοι βούλωνται γενέσθαι, ταῦτα καὶ μανθάνειν καὶ μελετᾶν.

M^{d} A Br Xen.: εἰ Tr. | ἀνδρεία M^{d} Tr. Xen.: ἀνδρία A Br | πότερον εἴη M^{d} Br Xen.: πότερον A Tr.

2 πρὸς τοὺς πόνους M^{d} A Br Xen.: πρὸς πόνους Tr., inde vulg. ‖ 3 πρὸς M^{d} A Br: εἰς Tr., inde vulg. | γίνεσθαι Tr. | ὁρῶ γὰρ M^{d} A Br Xen.: ὁρῶ δ᾽ Tr., inde vulg. ‖ 4 αὐτοῖς M^{d} Tr. Br Xen.: τοιούτοις (nisi est τοιαύτοις) A^{1} unde αὐτοῖς fecit A^{2} | νόμοις τε (vel τὲ) M^{d} Tr. Br Xen.: νόμοις A ‖ 5 νομίζω M^{d} A Br Xen.: μανθάνω Tr., inde vulg. ‖ 6 μαθήσει A Tr. Br Xen.: μαθήσῃ M^{d} | ἀνδρείαν M^{d} Tr. Xen.: ἀνδρίαν A Br | αὔξεσθαι M^{d} A Br Xen.: αὔξασθαι Tr. ‖ 8 ἀσπίδας M^{d} A Br Xen.: ἀσπίδα Tr., inde vulg. | δούρατα (δόρατα A^{2}) A^{1} ‖ 9 θραξὶ (θραξὶν M^{d}) πέλταις — σκύθαις τόξοις M^{d} A Tr. Br: θραξὶν ἐν πέλταις — σκύθαις ἐν τόξοις libri Xenophontis ‖ 10 τόξοις in rasura ut videtur Br | ἐθέλοιεν M^{d} A Tr. Br: ἐθέλοιν ἂν Xen. ‖ 11 ὁρῶ δ᾽ ἔγωγε S M^{d} A Br Xen.: ὁρᾷ Tr. p. 53 ‖ 12 ἀλλήλων τοὺς ἀνθρώπους (ἀ̅ν̅ο̅υ̅ς̅ S) S M^{d} A Tr. Xen.: τοὺς ἀνθρώπους ἀλλήλων Br ‖ 13 v. ἐπιμελείᾳ πολὺ praeter ἐπὶ μὲν (sic) om. Tr. l. c. ‖ 14 πάντας S Tr. A Br Xen.: πάντα M^{d}, inde Gesn.^{2} p. 94, vulg. | καὶ τοὺς om. Tr. ‖ 15 ἀμβλυτέρους (ἀξιωτέρους Tr.) φύσιν libri Stobaei sed ut ους litteris erasis correxerit ἀμβλυτέρ^ους^ τὴν φύσιν Br: ἀμβλυτέρους τὴν φύσιν Xen. | ἂν ἀξιόλογοι βούλωνται libri Stob. Xen.: καὶ ἀξιόλογοι βούλονται Tr. | γενέσθαι S Tr. M^{d} Br Xen.: γίγνεσθαι A

76 (7, 73 Mein.) *Τοῦ αὐτοῦ ἐν δ' Ἀπομνημονευμάτων* (IV 6, 10).

Ἀνδρείαν, ὦ Εὐθύδημε, ἆρα τῶν καλῶν νομίζεις εἶναι; Κάλλιστον μὲν οὖν ἔγωγ', ἔφη. Χρήσιμον ἄρα οὐ πρὸς τὰ ἐλάχιστα νομίζεις τὴν ἀνδρείαν; Νὴ Δί', ἔφη, πρὸς τὰ μέγιστα μὲν οὖν. Ἆρ' οὖν δοκεῖ σοι πρὸς τὰ δεινά τε καὶ ἐπικίνδυνα χρήσιμον εἶναι τὸ ἀγνοεῖν αὐτά; Ἥκιστά γ', ἔφη. Οἱ ἄρα μὴ φοβούμενοι τὰ τοιαῦτα διὰ τὸ μὴ εἰδέναι τί ἐστιν οὐκ ἀνδρεῖοι εἰσίν; Νὴ Δί', ἔφη· πολλοὶ γὰρ ἂν οὕτω γε τῶν τε μαινομένων καὶ τῶν δειλῶν ἀνδρεῖοι εἶεν. Τί δὲ οἱ καὶ τὰ μὴ δεινὰ δεδοικότες; Ἔτι γε, νὴ Δία, ἧττον, ἔφη. Ἆρ' οὖν τοὺς μὲν ἀγαθοὺς πρὸς τὰ δεινὰ καὶ ἐπικίνδυνα ὄντας ἀνδρείους ἡγῇ εἶναι, τοὺς δὲ κακοὺς δειλούς; Πάνυ μὲν οὖν, ἔφη. Ἀγαθοὺς δὲ πρὸς τὰ τοιαῦτα νομίζεις ἄλλους τινὰς ἢ τοὺς δυναμένους αὐτοῖς καλῶς χρῆσθαι; Οὐκ ἀλλὰ τούτους, ἔφη. Κακοὺς δὲ ἄρα τοὺς οἵους τούτοις κακῶς χρῆσθαι; Τίνας γὰρ ἄλλους; ἔφη. Ἆρ' οὖν ἕκαστοι ἑκάστοις χρῶνται ὡς οἴονται δεῖν; Πῶς γὰρ ἄλλως; ἔφη. Ἆρ' οὖν οἱ μὴ δυνάμενοι καλῶς χρῆσθαι ἴσασιν ὡς δεῖ

1 ecl. cum lemm. hab. S M A Tr. post ecl. 7, 74. pro lemmate *τοῦ αὐτοῦ ἐν Δ̄ ἀπομνημονευμάτων* M A, *Πλάτωνος* Tr. p. 53. in S cum verba quibus articulus incipit evanuissent, sec. m. pauca supplevit, plura intacta reliquit. lacunis hiat haud paucis Tr. quas singulas enotare operae pretium non est ‖ **3** *ἀνδρειαν* (om. *δὲ* sec. m., pr. m. non apparet) S *ἀνδρεἰαν* M^d *ἀνδρίαν* A: *ἀνδρείαν δὲ* Xen. *ἀνδρείας δὲ* Tr. ‖ **4** *ἆρα* S^2 ‖ **5** *ἀνδρειαν* S M^d Tr.: *ἀνδρίαν* A | *νὴ δί'* S M^d A Tr. Xen.: *μὰ δί'* temere Gesn.^{2} p. 94, inde vulg. | *ἔφη* M^d A Xen.: *ἔφην* S Tr. ‖ **6** *ἆρ'* (*ἄρ'* S) *οὖν* (*οὐ* A^1 corr. A^2) S M^d A Xen.: *ἆρα* Gesn.^{2}, inde vulg. ‖ **7** *τῷ* A sed *το* corr. A^2 ‖ **8** *γ'* M^d Xen.: *γὰρ* A sed del. et *γ'* corr. A^2; *γὰρ* Gesn.^{2}, inde vulg. | *οἱ ἄρα* — 9 *νη δί', ἔφη* suppl. A^2 mrg ‖ **9** *μὰ Δί'* Weiske ‖ **11** *ἀνδρεῖοι* A Tr. Xen.: *ἀνδρεῖον* M^d | *μὴ* supra lin. A ‖ **12** *ἔτι γε* e Xen. Gesn.^{2}, inde vulg.: *ἔστι* S A^1 *ἐστί* M^d Tr. *ἔτι γε* supra lin. corr. A^2 | *νη δί'* M^d ‖ **16** *αὐτοῖς* M^d A (sic, fallitur Gaisford) Tr. Xen.: *τούτοις* Gesn.^{2} ad proxima aberrans, inde vulg. | *οὐκ, ἀλλὰ — κακῶς χρῆσθαι* (18) om. M^d ‖ **18** *ἕκαστοι ἑκάστοις* S M^d A (sic): *ἕκαστοι* Xen. ‖ **19** *οἴονται* e Xen. Gesn.^{2}, inde vulg.: *οἷόν τε* S M^d A Tr. | *δεῖ* M^d

χρῆσθαι; Οὐ δήπου γε, ἔφη. Οἱ ἄρα εἰδότες ὡς δεῖ χρῆσθαι, οὗτοι καὶ δύνανται; Μόνοι γ᾽, ἔφη. Τί δαὶ οἱ μὴ διημαρτηκότες, ἆρα κακῶς χρῶνται τοῖς τοιούτοις; Οὐκ οἴομαι, ἔφη. Οἱ ἄρα κακῶς χρώμενοι διημαρτήκασιν; Εἰκός γ᾽, ἔφη. Οἱ μὲν ἄρα ἐπιστάμενοι τοῖς δεινοῖς τε καὶ ἐπικινδύνοις καλῶς χρῆσθαι ἀνδρεῖοί εἰσιν, οἱ δὲ διαμαρτάνοντες τούτου δειλοί; Ἔμοιγε δοκοῦσιν, ἔφη.

CAPVT VIII.

ΠΕΡΙ ΔΕΙΛΙΑΣ.

1 *Εὐριπίδου Βελλεροφόντῃ* (fr. 288 N.²).

Δόλοι δὲ καὶ σκοτεινὰ μηχανήματα
χρείας ἀνάνδρου φάρμαχ᾽ εὕρηται βροτοῖς.

2 *Σοφοκλέους Ἀκρίσιος* (fr. 58 N.²).

ΧΟ. Βοᾷ τις, ὦ·
ἀκούετ᾽; ἢ μάτην ὑλακτῶ;

---

2 *δαὶ* S M^d Tr.: *δὲ* A Xen. ‖ **3** *τοιούτων* A corr. A² ‖ **4** *οἶμαι* Xen. ‖ **7** *τούτου* S M^d A Xen.: *τούτων* Tr. | *δοκοῦσιν, ἔφη* M^d A Xen.: *δοκοῦσιν* S Tr.

Caput octavum servarunt S M A, aliquot eclogas Br Mac. Chrys. inscriptionem ut Photius S M A Br Mac., numerum *η´* quem in M resecuit bibliopega addunt A Mac. *περὶ δειλίας λόγου δ´* in marg. super., eademque minio scripta in marg. dextro habet S ‖ **10** ecl. cum lemm. hab. S M A Mac. Chrys.; *Βελλεροφ^ω* S *βελλεροφῶντι* M^d *Βελλεροφον^τ´* A fab. nom. om. Mac. ‖ **11** *δοῦλοι* S ‖ **12** *χρείας ἄνανδρα* (vel *ἀνάνδροις*) ci. Herwerden exerc. cr. p. 43 *πείρας ἀνάνδρου* F. G. Schmidt sat. cr. p. 21 *χειρῶν ἀνάνδρων* Vitelli *appunti cr. sulla Elettra di Eur.* p. 33 *βροτοῖς ἀνάνδρου φ. ηὗρ. χερός* Nauck | *ηὕρηται* Eur. ‖ **13** ecl. cum lemm. hab. S M A; *ἀκρίσιος* in dativum corr. (accentu non mutato) A¹ receperunt Gaisford et Meineke ‖ **14** *χ.* S, om. M A | *βοᾷ τις, ὦ·* cum Meinekio separavi a proximis, ubi vide ne gnomologus reciderit vocativum velut *ἀκούετ᾽, ⟨ὦ γυναῖκες⟩, ἢ μάτην κτἑ.*, sed neque de chori personis constat neque de metro. *βοᾷ τις· οὐκ ἀκούετ᾽;* ci. Gaisford ‖ **15** *ἀκούετε* S | *ἢ μάτην ὑλακτῶ* S M A: *ἢ λάσκω μά-*

ἅπαντα γάρ τοι τῷ φοβουμένῳ ψοφεῖ.

3 *Εὐριπίδου Μελεάγρῳ* (fr. 519 N.²).

Δειλοὶ γὰρ ἄνδρες οὐκ ἔχουσιν ἐν μάχῃ
ἀριθμόν, ἀλλ' ἄπεισι κἂν παρῶσ' ὅμως.

4 *Ὁμήρου Ἰλιάδος μ'* (244—247).

Τίπτε σὺ δείδοικας πόλεμον καὶ δηιοτῆτα;
εἴπερ γάρ τ' ἄλλοι γε περὶ κτεινώμεθα πάντες
νηυσὶν ἐπ' Ἀργείων, σοὶ δ' οὐ δέος ἔστ' ἀπολέσθαι.
οὐ γάρ τοι κραδίη μενεδήιος οὐδὲ μαχήμων.

5 *Σοφοκλέους Φρυγῶν* (fr. 657 N.²).

Τοὺς εὐγενεῖς γὰρ κἀγαθούς, ὦ παῖ, φιλεῖ
Ἄρης ἐναίρειν. οἱ δὲ τῇ γλώσσῃ θρασεῖς
φεύγοντες ἄτας ἐκτός εἰσι τῶν κακῶν·
Ἄρης γὰρ οὐδὲν τῶν κακῶν λωτίζεται.

6 *Εὐριπίδου Ἰφιγενείᾳ* (Taur. 472—473).

Οὔ τοι νομίζω σοφόν, ὃς ἂν μέλλων θανεῖν
οἴκτῳ τὸ δεῖμα τοὐλέθρου νικᾶν θέλῃ.

7 *Τοῦ αὐτοῦ Φρίξῳ* (fr. 829 N.²).

Ἀνὴρ δ' ὃς εἶναι φής, † ἀνδρὸς οὐκ ἄξιον

την Porson in Ar. equ. 1013 *ἢ μάτην κλύω* Halm lect. Stob. p. 50 *ἢ μάτην καλῶ* Naber mnemos.² IX p. 241 *ἢ μάτην ἀλυκτῶ* scripsit Nauck probante Meinekio

1 *πάντα* S M^d A: *ἅπαντα* tacite scr. Gesn.¹, inde vulg. etiam verum hoc putaverim coll. Eur. Phoen. 269 sq. *ὠή τίς οὗτος; ἢ κτύπον φοβούμεθα; Ἅπαντα γαρ τολμῶσι δεινὰ φαίνεται κτἕ.* ‖ **2** ecl. cum lemm. hab. S M A ‖ **4** *ἄπεισιν* S | *παρῶσιν* S M^d A ‖ **5** ecl. cum lemm. (lemma compend. S) hab. S M A (post ecl. 8, 3) Mac. Chrys. (post ecl. 8, 1); *ὅμηρος* A ‖ **6** *δείδοικας* A Mac. Hom.: *δέδοικας* S M^d ‖ **8** *ὑπ'* Zenod. ‖ **9** *μαχίμων* M^d ‖ **10** ecl. cum lemm. hab. S M A. versus quartus sine p. et f. n. laudatur in schol. B L Il. II 833 ‖ **12** *ἐναίρειν* corrector codicis Paris. 1985 teste Gaisfordo: *συναίρειν* S M^d A ‖ **13** *ἐκτός εἰσι πημάτων* ci. Nauck, *τῶν μαχῶν* Buecheler dubitanter ‖ **14** *οὐδένα* schol. Il. | *λωτίζεται* C. Keil et Conington: *λογίζεται* S M^d A *ληίζεται* schol. Il. ‖ **15** ecl. cum lemm. hab. S M A ‖ **16** *θανεῖν* etiam libri Eur.: *κτανεῖν* Seidler ‖ **17** *τοὐλέθρου* M^d Eur.: *τὀλέθρου* S A sed fuerat ut videtur *τ' ὄλεθρον* in A ‖ **18** ecl. cum lemm. hab. S M A (post ecl. 8, 6) Mac. Chrys. (post ecl. 8, 4); *εὐριπίδου* (*εὐρ.* M^d) M^d Mac. ‖ **19** v. *ἀνηρ — φής* om. Mac. | *φής* S M^d *φῇς* A | *ἀνδρὸς* S A *ἀνδρὸς δ'* M^d Mac. emen-

δειλὸν κεκλῆσθαι καὶ νοσεῖν αἰσχρὰν νόσον.

8 *Μενάνδρου Ἀδελφοῖς* (fr. 7 com. IV p. 71).

Τί πολλὰ τηρεῖν πολλὰ δεῖ [τὸν] δεδοικότα;

9 *Θεόγνιδος* ((1221—1222)).

Πολλὰ φέρειν εἴωθε λόγος θνητοῖσι βροτοῖσι
πταίσματα τῆς γνώμης, Κύρνε, ταρασσομένης.

10 *Φιλήμονος ἐν Ἐγχειριδίῳ* (com. IV p. 8).

Κακὴ μὲν ὄψις, ἐν δὲ δείλαιαι φρένες.

11 *Σοφοκλέους* (fr. 841 N.[2]).

Οὐ τοῖς ἀθύμοις ἡ τύχη ξυλλαμβάνει.

12 *Εὐριπίδου Ἀλκμέωνος* (fr. 67 N.[2]).

Ὁ φόβος, ὅταν τις αἵματος μέλλῃ πέρι

---

datio incerta: *ἀνὴρ δ' ὃς εἶναι φησίν, ἄνδρ' οὐκ ἄξιον* olim Nauck *ἀνὴρ δ' ὃς εἶναι φησίν, οὐκ ἀνάξιον —;* Dobree adv. II p. 127 *ἀνὴρ δ' ὃς εἶναι φησί, τόνδ' οὐκ ἄξιον* ego exerc. cr. p. 42 *ἀνὴρ ὅδ' εἶναί φησιν· ἀνδρὸς ἄξιον —;* Gomperz *sitzungsb. d. Wien. akad.* 1875 p. 259 *ἀνδρὸς δ' ὃς εἶναι φήσ' ἀνήρ, οὐκ ἄξιον* nunc mavult Nauck

1 *δειλὸν* (ut tacite scripserat Gesn.[1], inde vulg.) Mac.: *δειλῶ* S M[d] *δειλῶν* compend. A | *αἰσχρὸν* M[d] || **2** ecl. cum lemm. hab. SMA || **3** *δεδοικότα* tacite Gesn.[1] p. 66: *τὸν δεδοικότα* SM[d]A || **4** ecl. cum lemm. hab. SMA; desunt versus in Theognidis codicibus || **5** *λόγος* SMA: *δέος* scripsit Bergk, *φόβος* Heimsoeth || **7** ecl. cum lemm. hab. SMA; *φιλήμονος* recte Tr., nam *φιλημ*^ο (*φιλήμον*^ο per errorem enotavit Gaisford) S *φιλήμων* MA. cf. Leutsch ad Diogenian. cent. V 89 || **8** *ὄψις* SA: *ὄψεις* M[d] | *δειλαῖαι* A: *δειλαὶ αἱ* S *δειλαίαι* accentu correcto M[2]. *δειλαὶ καὶ φρένες* coniecit Kock, nam Stobaei librum esse *περὶ δειλίας*. sed vide ne *δείλαιαι* gnomologus eadem fere vi acceperit ac *δειλαί*, cum praesertim *δειλαίνειν* dixerint posteriores || **9** ecl. cum lemm. hab. S MA (post ecl. 8, 10) Mac. Chrys. (post ecl. 8, 7) || **10** *συλλαμβάνει* M[d] || **11** ecl. hab. S, om. MA; *εὐρι*^π *ἀκμζ* fere S, fab. n. om. ut solet Tr. p. 54: *Εὐριπίδου Ἀλκμαίωνος* coniecit Gaisford Stob. Ecl. II p. 860, quod recepit Meineke, cui locus ex Alcmaeonis oratione matris caedem defendente desumptus videtur; *ἐν Ἀλκμήνῃ* scripserat Schow 'ex B. C.' ut adserit, sed interpolatum || **12** *τις* cod. Paris. 1985 m. sec. teste Gaisfordo: *τι* S | *αἵματος* Nauck: *σώματος* S | *μέλῃ* S *μέλει* Tr. p. 54, inde vulg. *μέλλει* cod. Paris. 1985 teste Gaisfordo | *δίκην* pro *πέρι* ci. Nauck qui mox *ἐρεῖν* mavult pro *λέγειν*

λέγειν καταστὰς εἰς ἀγῶν' ἐναντίον,
τό τε στόμ' εἰς ἔκπληξιν ἀνθρώπων ἄγει,
τὸν νοῦν τ' ἀπείργει μὴ λέγειν ἃ βούλεται·
τῷ μὲν γὰρ ἔνι κίνδυνος, ὁ δ' ἀθῷος μένει.
ὅμως δ' ἀγῶνα τόνδε δεῖ μ' ὑπεκδραμεῖν.
ψυχὴν γὰρ ἆθλα τιθεμένην ἐμὴν ὁρῶ.

13 *Εὐριπίδου Ἀρχελάῳ* (fr. 239 N.^{2}).

Ὁ δ' ἡδὺς αἰὼν ἡ κακή τ' ἀνανδρία
οὔτ' οἶκον οὔτε πόλιν ἀνορθώσειεν ἄν.

---

1 *ὑπάρχοι* S M^{d}: *ὑπάρχει* A | *ὁ τοιούτων* M^{d}: *τοιούτων* S A; fuit *ἆρ᾽ ὁ* | *τοσούτων* temere Gesn.^{2} p. 106, inde vulg. ‖ **5** *ἀλλ᾽ οὐδὲ* e. q. s. sine lemmate cohaerent prioribus M A, deest lemma etiam S: *Τοῦ αὐτοῦ* quod praemisit Tr. (inde vulg.) esse abiciendum intellexit Gesn.^{2} p. 106 mrg, quem secutus est Meineke ‖ **10** *καὶ* secludi vult Meineke v. IV p. LVIII ‖ **11** *τοῖς δὲ κελεύειν* S M^{d}: *τοὺς δὲ κελεύειν* A ‖ **12** *τοῦτον*] *τούτων* M^{1d} ‖ **13** *μὲν* om. A ‖ **14** post *τύραννος* non nulla videntur intercidisse Meinekio v. IV p. LVIII requirenti tale: *τύραννος; ἆρ᾽ οὐκ ἄτοπον πρῶτον μὲν κτὲ.* lenius erit infra (17) scribere *ἡγεῖσθε* auctore Buechelero pro *ἡγεῖσθαι* quod libri habent | *πρώτοις*, uterque acc. S^{1} *πρωτοις* M^{d} *πρώτοις* A Tr. p. 63: *πρῶτον* tacite scr. Gesn.^{2}, inde vulg. sed primi tyrannum sentiunt familiares ‖ **16** *συγγιγνόμενον* S M^{d}, *συγγινόμενον* A Tr. | *ἀνέδην* A: *αναίδην* S *ἀναίδειν* M^{d} ‖ **17** *ἡγεῖσθε*] vide ad 14 ‖ **18** ecl. cum lemm. hab. S M A ‖ **19** cf. Stob. II 7, 25 p. 146, 12 Wachsm. ‖ **20** cf. Stob. II 7, 5^{b1} p. 59, 9

στοᾶς ἕξιν ἰσότητος ἀπονεμητικήν. καὶ ὡς μὲν οὐ μόνον οὐ δίκαιον, ἀλλὰ καὶ ἀδικώτατον τὸ πάντας τῶν αὐτῶν ἀξιοῦν, ἐν τοῖς ἔμπροσθεν εἴρηται· τὸ δὲ μεταξὺ πλεονεξίας καὶ μειονεξίας, ἔκβασίς ἐστι πράξεως ἀκατονόμαστος, ἀλλ᾽ οὐκ ἀρετὴ ψυχῆς. πᾶσα δὲ πρᾶξις ἐνέργεια ψυχῆς διὰ σώματος· ἡ δ᾽ ἐνέργεια οὐκ ἀρετή, ἢ πᾶσ᾽ ἂν ἐνέργεια ἦν ἀρετή. τὴν δὲ δικαιοσύνην πάντες ἁπαξαπλῶς ἀρετὴν ψυχῆς ὁμολογοῦσιν, ἀλλ᾽ οὐ πρᾶξιν, οὐδὲ πράξεως ἀποτέλεσμα. τρία γάρ ἐστι περὶ ἕκαστον, ἢ ἕξις ἢ πρᾶξις ἢ ἀποτέλεσμα. ἕξις μέν, καθ᾽ ἣν πλεονεκτικοί τινες ἢ μειονεκτικοὶ ἐσμέν· πρᾶξις δὲ τὸ μειονεκτεῖν καὶ ⟨τὸ⟩ πλεονεκτεῖν· ἀποτέλεσμα δὲ ἡ μειονεξία καὶ ἡ πλεονεξία. ὥσπερ ἕξις μὲν ἡ ζωγραφική, πρᾶξις δὲ ἡ ζωγραφία, ἀποτέλεσμα δὲ ἡ γραφή. καὶ πάλιν· ἕξις μὲν ἡ ἀγαλματοποιική, πρᾶξις δὲ τὸ ἀγαλματοποιεῖν, ἀποτέλεσμα δὲ τὸ ἄγαλμα. εἰ δέ τις τὴν ἕξιν ὁρίζοιτο γραφὴν καὶ ἄγαλμα, τῷ τοῦ ἀποτελέσματος ὀνόματι καλῶν, σφάλλεσθαι ἂν ὁμολογοῖτο καὶ σύγχυσιν ποιεῖν· οὕτως ὁ πλεονεξίαν καὶ μειονεξίαν τὴν ἕξιν ὀνομάζων, τῷ τοῦ ἀποτελέσματος ὀνόματι χρῆται κατὰ τῆς ἐν τῇ ψυχῇ ἕξεως. καὶ ἡ μεσότης τοίνυν τῶν ἀποτελεσμάτων ἀποτέλεσμα ἂν εἴη· τεταγμένων γὰρ ἐν τοῖς ἐκ τῶν πραγμάτων ἀποτελουμένοις πλεονεξίας καὶ μειονεξίας, καὶ ἡ τούτων μεσότης εἴη ἂν ἀποτέλεσμα, οὐχ ἕξις. ἔστω δὲ μὴ ἔκβασις, ἀλλ᾽ ἕξις ψυχῆς, οὔτε πλεονεκτικὴ ⟨οὔτε μειονεκτική⟩· ὁ περί τι τοίνυν, ἢ τινὶ μήτε πλεο-

1 *ἕξιν* corr. ex *ἕξις* S ‖ **5** cf. Stob. II 7, 17 p. 130, 3 Wachsm. ‖ **6** *δ᾽* Tr.: *δὲ* S M[d] A | *ἢ πᾶσα* — 7 *ἀρετή* om. A | *ἢ* Tr., inde vulg.: *ἡ* S M[d] | *πᾶσ᾽ ἂν* Halm lect. Stob. p. 25: *πᾶσα* S M[d] ‖ **12** *τὸ* addidi | *ἡ μειονεξία καὶ ἡ πλεονεξία* S A: *ἡ πλεονεξία καὶ ἡ μειονεξία* M[d]. sed vide ne ordine codicis M potius probato (cf. 10 sq. 19. 23) scribendum sit in v. 11 sq. *τὸ πλεονεκτεῖν καὶ τὸ μειονεκτεῖν* ‖ **15** *ἀγαλματοποιητική* M[d] ‖ **16** v. *εἰ δέ τις* — 17 *καὶ ἄγαλμα* A m. rec. mrg, sed iam antea eadem ab alia m. ibidem add., mutilata tamen extremo marg. laeso ‖ **17** *ὀνόματι* S[1] *τοὔνομά ἐστι* corr. S m. rec. ‖ **26** *οὔτε μειονεκτική* add. Schowii aliquot libri interpolati ex em., recte | *περί τι* Halm lect. Stob. p. 25: *περὶ τὸ* S M[d] A

νεκτῶν μήτε μειονεκτῶν, ἔσται δίκαιος. περὶ μὲν δὴ τὰ σωματικὰ ἀγαθὰ οὐκ ἂν φαῖεν εἶναι ταύτην, οὔτε ὡς τούτων ἀκρότητα οὔτε ὡς μεσότητα· οὐ γὰρ δὴ κτητὰ ταῦτα γίγνεται κατὰ τὴν ἡμετέραν πρόθεσίν τε καὶ σπουδήν, ἀλλὰ τὰ πολλὰ τούτων ἐστὶ φύσεως. κάλλος μὲν γάρ ἐστι φύσει καὶ ἰσχὺς σώματος καὶ ὑγίεια· εἰ δὲ πειρώμεθα τὴν μὲν ἰσχὺν ἐπιτείνειν τροφαῖς τε καὶ γυμνασίοις, τὴν δὲ ὑγίειαν διαίτῃ ποιᾷ τηρεῖν καὶ ἐκπίπτουσαν ἀνακαλέσασθαι, ἀλλ᾽ ὅμως ὡς οὐκ ἐφ᾽ ἡμῖν οὔσης ἐξ ἀρχῆς τῆς τούτων κτήσεως, ἀπονεμητέον τῇ τοῦ σώματος φύσει. καίτοι καὶ τούτοις πλεονεκτεῖν λέγονταί τινες, ἰσχύι μέν, εἰ τύχοι, Μίλων ὁ Κροτωνιάτης, κάλλει δὲ Λαῒς ἡ Κορινθία, καὶ εἴ τινες τούτοις παραπλήσιοι. τίς οὖν ἂν γένοιτο Μίλωνος ἀδικία; ἢ τίς Λαΐδος πλεονεξία; ἆρα εἰ μὲν Μίλων περιέλθοι τοὺς ἀσθενεστέρους τύπτων τε καὶ τὰ τούτων χρήματα διαρπάζων καὶ τὰς τούτων γυναῖκας, καὶ Λαῒς ὁμοίως, μισθὸν μὲν πλεῖστον εἰσπράττουσα παρὰ τῶν ἐραστῶν, ἐνίων δὲ γυναικῶν καὶ γάμους διαλύουσα, τοῦτ᾽ ἂν εἴη τὸ πλεονεκτεῖν; περὶ ποίαν οὖν ὕλην τὴν αἵρεσίν τις ποιήσεται τοῦ μήτε ὑπερβάλλοντος μήτ᾽ αὖ ἐλλείποντος; ἢ τὸ ἀγελαῖον ἐκεῖνο καὶ κοινόν ʽἀρκοῦ τοῖς αὑτοῦ, καὶ

---

1 *ἔσται* S, M[d] (unde Gesn.[2] mrg), *ἔσται* suprascr. *ι* m. dub. A: *ἔστι* Tr., inde vulg. | v. *περὶ μὲν* — 11 *τοῦ σώματος φύσει* om. M A ‖ **2** *οὔτε ὡς* Tr.: *οὔτ᾽ ὡς* S cf. p. 251 adn. 4 ‖ **7** *πειρώμεθα* ci. Gesn.[1] mrg: *γηρώμεθα* S ‖ **11** v. *καίτοι καὶ* e. q. s. tamquam novam eclogam constituunt praem. lemm. *τοῦ αὐτοῦ* M A ‖ **17** ʽnescio an post *γυναῖκας* exciderit *βιαζόμενος* vel simile quid᾽ Meineke v. IV p. LVIII; malim *λυμαινόμενος* ‖ **18** *μὲν* om. A ‖ **19** *γυναικῶν* secluserim | *τοῦτ᾽ ἂν* A Tr. p. 64: *τοῦτ᾽ ἐὰν* S M[d] ‖ **20** v. *περὶ ποίαν* — *ποιεῖν ἀνεχόμενον* (368, 9) om. M A | *ὕλην* corr. ex *ὕλης* S ‖ **21** *μήτ᾽ αὖ* tacite ed. Wechel. p. 191: *μηδ᾽ αὖ* S *μη δ᾽ αὖ* Tr. ‖ **22** respici ab Hierace versum in carmen Ps.-Phocylidis receptum 6 *ἀρκεῖσθαι παρ᾽ ἑοῖς, τῶν δ᾽* (*παρεοῦσι καὶ* v. l.) *ἀλλοτρίων ἀπέχεσθαι* opinatur Bergk p. l.[4] II p. 82. verba *ἀρκοῦ* — 370, 2 *μειονεκτῶν* praemisso lemm. *Ἱέρακος* leguntur in ed. Frob. p. 75 (Apostol. cent. III 88b), unde nollem quasi

μὴ διάρπαζε τὰ ⟨τῶν⟩ πλησίον, μηδ᾽ αὖ προΐεσο τῶν σῶν ὡς κατὰ τοῦτο μειονεκτῶν; τὸ μὲν δὴ μὴ βιάζεσθαι [δυναίμην], εἴποι τις ἄν, ἐπ᾽ ἐμοὶ [γὰρ τοῦτο]· τὸ δὲ μὴ πλεονεκτεῖσθαι πῶς ἂν γένοιτο; πολλοὶ γὰρ οἱ κρείττους. ἀλλ᾽ εἴ τις βούλοιτο δεομένοις ἐπαρκεῖν καὶ ὀρφανὰς συνεκδιδόναι καὶ αἰχμαλώτους λύσασθαι, ταῦτα μὲν ἴσως δυνατόν ἐστι ποιεῖν, ἀλλ᾽ οὐ τῷ γε τιμῶντι τὴν προειρημένην μεσότητα· πλεονεκτεῖσθαι γάρ ἐστι καὶ μειονεκτεῖν τὸν ταῦτα ποιεῖν ἀνεχόμενον.

55 (9, 58 Mein.) *Τοῦ αὐτοῦ.*

Πῶς οὖν αὐτὴν ὁρίζεται ὁ καθ᾽ ἡμᾶς λόγος; ἕξιν εὔλογον ψυχῆς ὀρθότητος ἐπιμελουμένην· ἢ τιμωρίας ἀπαίτησιν παρὰ τῶν προηδικηκότων· οὐχ ὡς τοῦ ἢ συνδέσμου τὴν ἑτέραν τῶν προτάσεων . . . .

56 (9, 59 Mein.) *Ξενοφῶντος ἐν δ′ Ἀπομνημονευμάτων* (IV 2, 11).

Καὶ ὁ Σωκράτης ἔφη· Οὐ δήπου, ὦ Εὐθύδημε, ταύτης τῆς ἀρετῆς ἐφίεσαι, δι᾽ ἣν ἄνθρωποι πολιτικοὶ γίγνονται καὶ οἰκονομικοὶ καὶ ἄρχειν ἱκανοὶ καὶ ὠφέλιμοι τοῖς τε ἄλλοις ἀνθρώποις καὶ ἑαυτοῖς; καὶ ὁ Εὐθύδημος· Σφόδρα γ᾽, ἔφη, ὦ Σώκρατες, ταύτης τῆς ἀρετῆς

---

novam eclogam inter 'Addenda ex ed. Froben.' recepissent Gaisford et Meineke | *τοῖς αὐτοῦ* S, *τοῖς σαυτοῦ* (quod praeferri vult Meineke) Frob., *καθ᾽ αὐτοῦ* Apost.

1 *τῶν* addidit Nauck (per litt.); cf. Hierocl. in aur. carm. comm. p. 61, 2 Gaisf. ‖ **3** *δυναίμην* et *γὰρ τοῦτο* seclusit Nauck (per litt.) ‖ **7** *δυνατός* operarius Gesn.^{2} p. 107, inde vulg. | *οὐ τῷ γε* Tr., inde vulg.: .ὅ͂ *γε* fere S ‖ **10** ecl. cum lemm. hab. M A, perperam prioribus continuant S Tr., inde vulg. multa interfuerunt ‖ **13** *προηδικηκότων* S M^d, *προδικότων* A, sed corr. A^3; ceterum in marg. m^1 corr. apparet, cuius exstant litt. *προηδι* | v. *οὐχ ὡς — προτάσεων* tamquam scholium ex margine illatum seclusit Iacobs lect. Stob. p. 49 | *τοῦ ἢ* S M^d A | *συνδέσμου* S M^d A: *συνδεσμοῦντος* Schowii aliquot libri interpolati ex em. ‖ **14** *προτάσεων* S A, *ἀποτάσεων* M; 'deest *ἀναιροῦντος* sim.' Buecheler. aberraverit librarius ad genetivum *Ξενοφῶντος* ‖ **15** ecl. cum lemm. hab. S M A; *μνημονευμάτων* A ‖ **17** *ἔφη* S M^d Xen.: *εἶπεν* A

δέομαι. Νὴ Δί', ἔφη ὁ Σωκράτης, ⟨τῆς⟩ καλλίστης ἀρετῆς καὶ μεγίστης ἐφίεσαι τέχνης· ἔστι γὰρ τῶν βασιλέων αὕτη καὶ καλεῖται βασιλική. ἀτάρ, ἔφη, κατανενόηκας, εἰ οἷόν τέ ἐστι μὴ ὄντα δίκαιον ἀγαθὸν ταῦτα γενέσθαι; Καὶ μάλα, ἔφη· οὐχ οἷόν τέ γε ἄνευ δικαιοσύνης ἀγαθὸν πολίτην γενέσθαι. Τί οὖν, ἔφη, σὺ ἤδη τοῦτο κατείργασαι; Οἶμαί γε, ἔφη, ὦ Σώκρατες, οὐδενὸς ἂν ἧττον φανῆναι δίκαιος. Ἆρ' οὖν, ἔφη, τῶν δικαίων ἐστὶν ἔργα ὥσπερ τῶν τεκτόνων; Ἔστι μέντοι, ἔφη. Ἆρ' οὖν, ἔφη, ὥσπερ οἱ τέκτονες ἔχουσι τὰ ἑαυτῶν ἔργα ἐπιδεῖξαι, οὕτως οἱ δίκαιοι τὰ ἑαυτῶν ἔχοιεν ἂν ἐξηγήσασθαι; Μὴ οὖν, ἔφη ⟨ὁ⟩ Εὐθύδημος, ἐγὼ οὐ δύναμαι τὰ τῆς δικαιοσύνης ἔργα ἐξηγήσασθαι; καὶ νὴ Δί' ἔγωγε τὰ τῆς ἀδικίας· ἐπεὶ οὐκ ὀλίγα ἔστι καθ' ἑκάστην ἡμέραν ὁρᾶν τε τοιαῦτα καὶ ἀκούειν. Βούλει οὖν, ἔφη ὁ Σωκράτης, γράψωμεν ἐνταυθοῖ μὲν δέλτα, ἐνταυθοῖ δὲ ἄλφα, εἶτα ὅ τι μὲν ἂν δοκῇ ἡμῖν τῆς δικαιοσύνης ἔργον εἶναι, πρὸς τὸ δέλτα τιθῶμεν, ὅ τι δ' ἂν τῆς ἀδικίας, πρὸς τὸ ἄλφα; Εἴ τί σοι, ἔφη, δοκεῖ προσδεῖν τούτων, ποίει ταῦτα. καὶ ὁ Σωκράτης γράψας ὥσπερ εἶπεν· Οὐκοῦν, ἔφη, ἔστιν ἐν

1 τῆς καλλίστης e Xen. Gesn.[1] p. 80, inde vulg.: καλλίστης S M^d A καὶ καλλίστης Tr. ‖ **4** εἰ corr. ex ἢ S ‖ **5** οὐχ S M^d A: καὶ οὐχ Xen.; καὶ particula propter γε facile careri monet W. Gilbert ‖ **6** ἤδη corr. ex οὖν S ἤδη M^d A: δὴ Xen. ‖ **9** ὥσπερ S M^d Xen.: ὡς περὶ A ‖ **11** ἂν ἐξηγήσασθαι (ἡγήσασθαι A) S M^d A: διεξηγήσασθαι vel ἂν διηγήσασθαι libri Xen. | post ἡγήσ. praecipit καὶ νὴ Δί' ἔγωγε τὰ τῆς, del. A ‖ **12** ὁ Εὐθύδημος tacite e Xen. Gesn.[1], inde vulg.: εὐθύδημος S M^d A | ἐγὼ οὐ δύναμαι S A: ἐγὼ οὐ δύνομαι M^d; οὐ δύναμαι (δύνωμαι Paris. 1740) ἐγὼ Xen. fortasse ἐγὼ οὐ δύνωμαι Stobaeus, sed vide Gilbertum ad h. l. ‖ **14** ὁρᾶν τε τοιαῦτα S A ὁρᾶν τὲ τὰ τοιαῦτα M^d: τοιαῦτα ὁρᾶν τε Xen. ‖ **16** γράψωμεν Xen.: γράψομεν S M^d A | ἐνταυθοῖ — ἐνταυθοῖ (ἐνταυθοὶ M^d) S M^d A: ἐνταυθεῖ — ἐνταυθεῖ duo Parisini Xenophontis ‖ **17** δοκῇ (vel -ῇ) S M^d Xen.: δοκεῖ A | πρὸς τὸ Δ (vel δέλτα) S M^d A Xen.: πρὸς τῷ δ' Tr. p. 65, inde vulg. ‖ **18** τιθῶμεν S M^d A libri Xen.: θῶμεν Mead ‖ **19** ἔφη δοκεῖ S M^d A ἔφη Tr.: δοκεῖ ἔφη e Xen. tacite Gesn.[1], inde vulg. ‖ **20** εἶπον Tr.

ἀνθρώποις ψεύδεσθαι; Ἔστι μέντοι, ἔφη. Ποτέρωσε οὖν, ἔφη, θῶ τοῦτο; Δῆλον ὅτι, ἔφη, πρὸς τὴν ἀδικίαν. Οὐκοῦν, ἔφη, καὶ ἐξαπατᾶν ἔστι; Καὶ μάλα, ἔφη. Τοῦτο οὖν ποτέρωσε θῶ; Καὶ τοῦτο δῆλον ὅτι, ἔφη, πρὸς τὴν ἀδικίαν. Τί δαί; τὸ κλέπτειν; Καὶ τοῦτο, ἔφη. Τί δ' ἀνδραποδίζεσθαι; Καὶ τοῦτο. Πρὸς δὲ τῇ δικαιοσύνῃ οὐδὲν ἡμῖν τούτων κείσεται, ὦ Εὐθύδημε; Δεινὸν γὰρ ἂν εἴη, ἔφη. Τί δαί, ἐὰν στρατηγὸς αἱρεθεὶς ἄδικόν τε καὶ αἰσχρὰν πόλιν ἐξανδραποδίσηται, φήσομεν τοῦτον ἀδικεῖν; Οὐ δῆτα, ἔφη. Δίκαια δὲ ποιεῖν οὐ φήσομεν; Καὶ μάλα. Τί δ'; ἐὰν ἐξαπατᾷ πολεμῶν αὐτοῖς; Δίκαιον, ἔφη, καὶ τοῦτο. Ἐὰν δὲ κλέπτῃ τε καὶ ἁρπάζῃ τὰ τούτων, οὐ δίκαια ποιήσει; Καὶ μάλα, ἔφη· ἀλλ' ἐγώ σε τὸ πρῶτον ὑπέλαβον πρὸς τοὺς φίλους μόνους ταῦτα ἐρωτᾶν. Οὐκοῦν, ἔφη, ὅσα πρὸς τῇ ἀδικίᾳ ἐθήκαμεν, ταῦτα καὶ πρὸς τῇ δικαιοσύνῃ θετέον ἂν εἴη; Ἔοικεν, ἔφη. Βούλει οὖν, ἔφη, ταῦτα οὕτω θέντες, διορισώμεθα πάλιν πρὸς μὲν

---

1 *τὸ ψεύδ.* Ernesti ‖ **2** *θῶ* S M^d^ *θῶ καὶ* A: *θῶμεν* e Xen. Gesn.[1], inde vulg. commendari *θῶ* eo quod Euth. dixerat *ποίει*, non *ποιῶμεν* animadvertit Gilbert | *ὅτι ἔφη* S: *ὅτι* M^d^ A; *ἔφη ὅτι* libri Xen. ‖ **3** *οὐκοῦν* — 5 *ἀδικίαν* in margine supplevit A m. ant. | *καὶ τὸ ἐξαπατᾶν* aliquot libri Xenophontis ‖ **4** *θῶ* S M^d^ A: *θῶμεν* Xenophontis libri tantum non omnes ‖ **5** *δαι* S *δαὶ* M^d^ Tr. p. 65: *δὲ* A Xen. | *κλέπτειν* S M^d^ A Cobeto probante et Gilberto: *κακουργεῖν* libri Xen.; *βλέπειν* Tr., inde vulg. | *τί δ'* S M^d^ A: *τὸ δὲ* Xen. ‖ **6** post *καὶ τοῦτο* iterat *ἔφη. τί δ' ἀνδραποδίζεσθαι; καὶ τοῦτο* M^d^ ‖ **7** *ἡμῖν τούτων* M^d^ A Xen.: *τούτων ἡμῖν* S (Tr., inde vulg.) | *δεινὸν γὰρ* Xen.: *δεινὸν δ'* S M^d^ *δεινὸν* A; *δεινόν τἂν εἴη* ci. Gaisford ‖ **8** *δαὶ* S M^d^: *δὲ* A Xen. | *ἐὰν* S M^d^ A: *ἐάν τις* Xen., inde Gesn.[1] (vulg.). an *ἐὰν στρατηγός* ⟨*τις*⟩ *αἱρ.* vel *ἐὰν στρ. αἱρεθείς* ⟨*τις*⟩? sed vide p. 371, 4 | *αἱρεθεὶς* (*αἱρ.* M^d^) M^d^ A Tr. Xen.: *αἱρεθῇς* S ‖ **9** *αἰσχρὰν* SM^d^A: *ἐχθρὰν* Xen. ‖ **10** *φείσομεν* M^d^ ‖ **11** *τί δ'; ἐὰν* Xen.: *τί δέ* (supra scr. *δαί* S[1]) *ἂν* S *τί δαὶ αν* M^d^ *τί δὲ ἂν* A ‖ **12** *ἁρπάζῃ* (vel -*η*) S M^d^: -*ει* A ‖ **13** *ει* in *ποιήσει* e corr. M^d^ | *τὸ πρῶτον* S M^d^ Xen.: *πρῶτα* (om. *τὸ*) A ‖ **14** *ὑπέλαβον* S M^d^ A: *ὑπελάμβανον* Xen. | *ἐκ τοὺς* (supra scr. *πρὸς*) A m. dub. | *μόνους* S M^d^ A: *μόνον* Xen. ‖ **15** *καὶ* om. Tr., inde vulg. ‖ **16** *'ἔφη 'ἔοικεν* corr. S[1] *ἔοικεν* (*ἔοικεν* M^d^) *ἔφη* M^d^ A Xen.: *ἔφη ἔοικε* Tr., inde vulg. ‖ **17** *''θέντες 'οὕτω* corr. S[1] *οὕτω θέντες* M^d^ A

τοὺς πολεμίους δίκαιον εἶναι ταῦτα ποιεῖν, πρὸς δὲ τοὺς φίλους ἄδικον, ἀλλὰ δεῖν πρός γε τούτους ὡς ἁπλούστατον εἶναι; Πάνυ μὲν οὖν, ἔφη. Τί οὖν; ἔφη ὁ Σωκράτης, ἐάν τις στρατηγὸς ὁρῶν ἀθύμως ἔχον τὸ στράτευμα ψευσάμενος φήσῃ συμμάχους προσιέναι καὶ τῷ ψεύδει τούτῳ παύσῃ τῆς ἀθυμίας τοὺς στρατιώτας, ποτέρωθι τὴν ἀπάτην ταύτην θήσομεν; Δοκεῖ μοι, ἔφη, πρὸς τὴν δικαιοσύνην. Ἐὰν δέ τις υἱὸν ἑαυτοῦ δεόμενον φαρμακείας ⟨καὶ μὴ προσιέμενον φάρμακον⟩ ἐξαπατήσας ὡς σῖτον τὸ φάρμακον δῷ καὶ τῷ ψεύδει χρησάμενος οὕτως ὑγιῆ ποιήσῃ, ταύτην αὖ τὴν ἀπάτην ποῖ θετέον; Δοκεῖ μοι, ἔφη, καὶ ταύτην εἰς τὸ αὐτό. Τί δαί, ἐάν τις, ἐν ἀθυμίᾳ ὄντος φίλου, δείσας μὴ διαχρήσηται ἑαυτόν, κλέψῃ ἢ ἁρπάσῃ ⟨ἢ⟩ ξίφος ἢ ἄλλο τι τοιοῦτον, τοῦτο αὖ ποτέρωσε θετέον; Καὶ τοῦτο νὴ Δία πρὸς τὴν δικαιοσύνην. Λέγεις, ἔφη, σὺ οὐδὲ πρὸς τοὺς φίλους ἅπαντα δεῖν ἁπλοΐζεσθαι; Μὰ Δί' οὐ δῆτα, ἔφη· ἀλλὰ μετατίθεμαι τὰ εἰρημένα, εἴπερ ἔξεστιν. Δεῖ γέ τοι, ἔφη ὁ Σωκράτης, ἐξεῖναι πολὺ μᾶλλον ἢ μὴ ὀρθῶς τιθέναι.

Xen.: *θέντες οὕτω* Tr., inde vulg. | *διορισώμεθα* Xen.: *διορισόμεθα* S A *διορισάμεθα* M^d

1 *ταῦτα* S M^d A: *τὰ τοιαῦτα* Xen. ‖ **2** *γε* S Xen.: *τε* M^d A Tr. ‖ **3** *ἔφη* S M^d A: *ἔφη ὁ Εὐθύδημος* Xen., inde Gesn.[1], vulg. ‖ **4** *ἔχον* S A Xen.: *ἔχων* M^d ‖ **5** *φήσῃ* (vel *-σῃ*) S M^d A: *φήσει* Tr., inde vulg. ‖ **6** *παύσῃ* (vel *-σῃ*) M^d A Xen.: *καταπαύσῃ* (*κατα* per compend.) S *καταπαύσει* Tr., inde vulg. | *στρατιῶτας* (*ῶ* M^2) M^d | *ποτέρωθι* S M^d A libri Xenophontis: *ποτέρωσε* Cobet n. l. p. 702 ‖ **8** *ἑαυτοῦ* M^d A Xen.: *αὐτοῦ* S Tr., inde vulg. ‖ **9** *καὶ μὴ προσιέμενον φάρμακον* tacite e Xen. addidit Gesn.[1], inde vulg. ‖ **10** *σιτίον* Xen. | *τὸ φάρμακον* M^d A Tr. Xen.: *τ̃* (i. e. *τῷ*) *φάρμακον* S ‖ **11** *ὑγιῆ* S M^d A: *ὑγιᾶ* Xen. | *αὖ τὴν* M^d A Xen.: *αὐτὴν* S ‖ **12** *δαί* S M^d: *δὲ* A, Xen., inde tacite Gesn.[1] (vulg.) ‖ **14** *ἢ* addidi e Xen.: om. S M^d A | *τοιοῦτον* A Xen.: *τοιοῦτο* S M^d | *τοῦτο αὖ* Xen., inde Gesn.[1] (vulg.): *τοῦτο αὐτὸ* S M^d A (sic) ‖ **15** *τοῦτο* etiam A, fallitur Gaisford | *νὴ δία* S M^d A: *νὴ Δί', ἔφη* Xen. | *τὴν δικαιοσύνην* S M^d Xen.: *τῇ δικαιοσύνῃ* A ‖ **17** *ἔφη* M^d A Xen.: *ἔφηα* S ‖ **18** *ἔξεστιν* S M^d | *τοι* S M^d Xen.: *τί* A | *ὁ Σωκράτης* tacite e Xen. Gesn.[2] p. 109, inde vulg.: *ὦ σώκρατες* S M^d A

τῶν δὲ δὴ τοὺς φίλους ἐξαπατώντων ἐπὶ βλάβῃ, ἵνα μηδὲ τοῦτο παραλίπωμεν ἄσκεπτον, πότερος ἀδικώτερός ἐστιν, ὁ ἑκὼν ἢ ὁ ἄκων; Ἀλλ', ὦ Σώκρατες, οὐκέτι μὲν ἔγωγε πιστεύω οἷς ἀποκρίνομαι· καὶ γὰρ τὰ πρόσθεν πάντα νῦν ἄλλως ἔχειν δοκεῖ μοι ἢ ὡς ἐγὼ τότε ᾤμην· ὅμως δὲ εἰρήσθω μοι ἀδικώτερον εἶναι τὸν ἑκόντα ψευδόμενον τοῦ ἄκοντος. Δοκεῖ δέ σοι μάθησις καὶ ἐπιστήμη τοῦ δικαίου εἶναι ὥσπερ τῶν γραμμάτων; Ἔμοιγε. Πότερον δὲ γραμματικώτερον κρίνεις, ὃς ἂν ἑκὼν μὴ ὀρθῶς γράφῃ καὶ ἀναγινώσκῃ ἢ ὃς ἂν ἄκων; Ὃς ἂν ἑκών, ἔγωγε· δύναιτο γάρ, ὁπότε βούλοιτο, καὶ ὀρθῶς αὐτὰ ποιεῖν. Οὐκοῦν ὁ μὲν ἑκὼν μὴ ὀρθῶς γράφων γραμματικὸς ἂν εἴη, ὁ δὲ ἄκων ἀγράμματος; Πῶς γὰρ οὔ; Τὰ δίκαια δὲ πότερον ὁ ἑκὼν ψευδόμενος καὶ ἐξαπατῶν οἶδεν ἢ ὁ ἄκων; Δῆλον ὅτι ὁ ἑκών. Οὐκοῦν γραμματικώτερον μὲν τὸν ἐπιστάμενον γράμματα τοῦ μὴ ἐπισταμένου φῄς εἶναι; Ναί. Δικαιότερον δὲ τὸν ἐπιστάμενον τὰ δίκαια τοῦ μὴ ἐπισταμένου; Φαίνεται· δοκῶ δέ μοι καὶ ταῦτα οὐκ οἶδ' ὅπως λέγειν. Τί δὲ δή, ὃς ἂν βουλόμενος τἀληθῆ λέγειν μηδέποτε ταὐτὰ περὶ τῶν αὐτῶν λέγῃ, ἀλλ' ὁδόν τε φράζων τὴν αὐτὴν τοτὲ μὲν πρὸς ἕω, τοτὲ δὲ πρὸς ἑσπέραν φράζῃ, καὶ λογισμὸν ἀποφαινόμενος τὸν αὐτὸν τοτὲ μὲν πλείω, τοτὲ δὲ ἐλάττω ἀποφαίνηται, τί σοι δοκεῖ ὁ τοιοῦτος; Δῆλος νὴ Δί' εἶναι ὅτι ἃ ᾤετο εἰδέναι οὐκ οἶδεν. Οἶσθα δέ τινας ἀν-

2 *παραλίπωμεν* S Xen.: *παραλείπομεν* M[d] *παραλείπωμεν* A | **3** *ὁ ἄκων* S A Xen.: *ἄκων* M[d] ‖ **6** *ὅμως δὲ* S M[d] Xen.: *ὅμως* A ‖ **10** *γράφη* (vel -*ῃ*) S M[d] Xen.: *γράφοι* A ‖ **11** *γὰρ* libri Stob. ut Xenophontis Paris. 1740: *γὰρ ἂν* Xen. ‖ **12** *μὲν ἑκὼν μὴ ὀρθῶς γράφων*] *μὴ ἑκὼν γράφων,* dein *μὴ* transfixit et *μὴ ὀρθῶς* addidit in margine alia manu A ‖ **16** *τὸν μὴ ἐπιστάμενον* sed *μη* postea del. A ‖ **17** *εἶναι; ναί* S Xen.: *εἶναι; φησί* M[d] *εἶναι* A ‖ **18** *φαίνεται* S M[d] A: *φαίνομαι* Xen. | *δέ μοι* S M[d] Xen.: *δὲ* A ‖ **19** *τί δὲ δὴ* A[2], Xen., inde Gesn.[1] (vulg.): *τί δαὶ δη* S M[d] *τί δὲ δὲ* A[1] ‖ **20** *ταὐτα* tacite Gesn.[1], inde vulg.: *ταῦτα* S M[d] A Tr. p. 66; *τὰ αὐτὰ* libri Xen. ‖ **22** *φράζῃ* corr. ex *φράζει* S[1] ‖ **24** *ἀποφαίνηται* Xen.: *ἀποφαίνεται* S M[d] A

δραποδώδεις καλουμένους; Ἔγωγε. Πότερον δι᾽ ἀμαθίαν ἢ διὰ σοφίαν; Δῆλον ὅτι δι᾽ ἀμαθίαν. Ἆρ᾽ οὖν διὰ τὴν τοῦ χαλκεύειν ἀμαθίαν τοῦ ὀνόματος τούτου τυγχάνουσιν; Οὐ δῆτα. Ἀλλ᾽ ἄρα διὰ τὴν τοῦ τεκταίνεσθαι; Οὐδὲ διὰ ταύτην. Ἀλλὰ διὰ τὴν τοῦ σκυτεύειν; Οὐδὲ δι᾽ ἓν τούτων, ἔφη, ἀλλὰ καὶ τοὐναντίον· οἱ γὰρ πλεῖστοι τῶν τὰ τοιαῦτα ἐπισταμένων ἀνδραποδώδεις εἰσίν. Ἆρ᾽ οὖν τῶν τὰ καλὰ καὶ ἀγαθὰ καὶ τὰ δίκαια μὴ εἰδότων τὸ ὄνομα τοῦτό ἐστιν; Ἔμοιγε δοκεῖ, ἔφη. Οὐκοῦν δεῖ παντὶ τρόπῳ διατειναμένους φεύγειν, ὅπως μὴ ἀνδράποδα ὦμεν;

57 (9, 60 Mein.) *Ἐν ταὐτῷ* (IV 4, 5—25).

Οἶδα δέ ποτε αὐτὸν καὶ πρὸς Ἱππίαν τὸν Ἠλεῖον περὶ τοῦ δικαίου τοιάδε διαλεχθέντα. διὰ χρόνου γὰρ ἀφικόμενος ὁ Ἱππίας Ἀθήναζε παρεγένετο τῷ Σωκράτει λέγοντι πρός τινας, ὡς θαυμαστὸν εἴη τὸ εἰ μέν τις βούλοιτο σκυτέα διδάξασθαί τινα ἢ τέκτονα ἢ χαλκέα ἢ ἱππέα, μὴ ἀπορεῖν ὅποι ἂν πέμψας τούτου τύχοι· φασὶ δέ τινες καὶ ἵππον καὶ βοῦν τῷ βουλομένῳ δικαίους ποιήσασθαι πάντα μεστὰ εἶναι τῶν διδαξόντων· ἐὰν δέ τις βούληται ἢ αὐτὸς μαθεῖν τὸ δίκαιον ἢ υἱὸν ἢ οἰκέτην διδάξασθαι, μὴ εἰδέναι ποῖ ἂν ἐλθὼν τύχοι τούτου.

---

1 *δι᾽ ἀμαθίαν* (*διαμ.* M[d]) *ἢ διὰ σοφίαν;* S M[d] A: *διὰ σοφίαν ἢ* *δι᾽ ἀμαθίαν;* Xen. ‖ **2** *δῆλον ὅτι διὰ σοφίαν* (supra *᾽μαθίαν*) corr. A[1] ‖ **5** *ἀλλα διὰ τὴν* S M[d] A (sic) Xen.: *ἀλλὰ τὴν* Tr., inde vulg. ‖ **6** *τῶν τὰ τοιαῦτα* S M[d] A probante Cobeto n. l. p. 703: *τῶν γε τὰ τοιαῦτα* Xen. ‖ **8** *καὶ τὰ δίκαια* S M[d] A haud scio an recte: *καὶ δίκαια* Xen. ‖ **10** *διατειναμένους* Xen., inde Gesn.[1] (vulg.): *διατιμωμένους* S M[d] A[1] *διατιμωμενους* (supra *εινο*) A supra scr. A[2] ‖ **12** ecl. cum lemm. hab. S M A ‖ **13** *οἶδα δέ ποτ᾽ — δίκαιον λέγεις* (p. 376, 1) om. M[d] *οἶδα δέ ποτ᾽ — ἔργῳ ἐπιδείκνυμι* (p. 375, 7) om. A | *ποτε* S Tr. Xen.: *ποτ᾽* Gesn.[1], inde vulg. ‖ **17** *βούλοιτο* Xen.: *μέλλοιτο* S Tr. ‖ **18** *ὅποι* Xen.: *ὅπη* S | *φασὶ δέ τινες — 20 τῶν διδαξόντων* e textu Xenophontis removeri iussit Valckenaer, v. *δικαίους* (*ἱκανοὺς* Santenius) *ποιήσασθαι* tamquam vetus emblema Buecheler ‖ **22** *εἰδέναι* S Tr.: *εἶναι* libri Xenophontis | *ποῖ ἂν* scripsi: *ποίαν* S; *ὅποι ἂν* Xen.

καὶ ὁ μὲν Ἱππίας ἀκούσας ταῦτα ὥσπερ ἐπισκώπτων αὐτόν· Ἔτι γὰρ σύ, ὦ Σώκρατες, ἐκεῖνα τὰ αὐτὰ λέγεις ἃ ἐγὼ πάλαι ποτέ σου ἤκουσα; καὶ ὁ Σωκράτης· Ὃ δέ γε τούτου δεινότερον, ἔφη, ⟨ὦ⟩ Ἱππία, οὐ μόνον ἀεὶ ταὐτὰ λέγω, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν· σὺ δ' ἴσως διὰ τὸ πολυμαθὴς εἶναι περὶ τῶν αὐτῶν οὐδέποτε τὰ αὐτὰ λέγεις. Ἀμέλει, ἔφη, πειρῶμαι καινόν τι λέγειν ἀεί. Πότερον, ἔφη, καὶ περὶ ὧν ἐπίστασαι; οἷον περὶ γραμμάτων ἐάν τις ἔρηταί σε, πόσα καὶ ποῖα Σωκράτους ἐστίν, ἄλλα μὲν πρίν, ἄλλα δὲ νῦν λέγειν; ἢ περὶ ἀριθμῶν τοῖς ἐρωτῶσιν εἰ τὰ δὶς πέντε δέκα γίνονται, οὐ τὰ αὐτὰ νῦν καὶ πρότερον ἀποκρίνῃ; Περὶ μὲν τούτων, ἔφη, ὦ Σώκρατες, ὥσπερ σύ, καὶ ἐγὼ ἀεὶ τὰ αὐτὰ λέγω· περὶ μέντοι τοῦ δικαίου πάνυ οἶμαι νῦν ἔχειν εἰπεῖν, πρὸς ἃ οὔτε σὺ οὔτ' ἂν ἄλλος οὐδεὶς δύναιτο εἰπεῖν. Νὴ τὴν Ἥραν, ἔφη, μέγα λέγεις ἀγαθὸν εὑρηκέναι, εἰ παύσονται μὲν οἱ δικασταὶ δίχα ψηφιζόμενοι, παύσονται δ' οἱ πολῖται περὶ τῶν δικαίων ἀντιλέγοντές τε καὶ ἀντιδικοῦντες καὶ στασιάζοντες, παύσονται δ' αἱ πόλεις διαφερόμεναι περὶ τῶν δικαίων καὶ πολεμοῦσαι. καὶ ἐγὼ μὲν οὐκ οἶδ' ὅπως ἀπολειφθείην ἄν σου πρὸ τοῦ ἀκοῦσαι τηλικοῦτον ἀγαθὸν εὑρηκότος. Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ ἀκούσῃ, πρίν γ' ἂν αὐτὸς ἀποφήνῃ ὅ τι νομίζεις τὸ δίκαιον εἶναι. ἀρκεῖ γάρ, ὅτι τῶν

---

2 σὺ ὦ σώκρατες S: σύ, ἔφη, ὦ Σώκρατες Xen., inde tacite Gesn.[1] p. 82 (vulg.); fortasse σύ, ὦ Σώκρατες, ἔφη Stob. ‖ **4** ὦ tacite e Xen. addidit Gesn.[1], inde vulg. ‖ **5** ταὐτὰ (vel τὰ αὐτὰ) Xen.: ταῦτα S ‖ **10** πρὶν S: πρότερον Xen. | λέγειν S: πειρᾷ λέγειν; tacite e Xen. Gesn.[1], inde vulg.; vix desideratur πειρᾷ, sed vide ne exciderit ante ἢ περὶ ‖ **11** γίνονται S; ἐστὶν Xen. ‖ **12** καὶ S: ἃ καὶ Xen., inde Gesn.[1] (vulg.) immerito ‖ **15** ἔχειν ex ἔχων corr. S[1] | δύναιτο εἰπεῖν S: δύναιτ' ἂν εἰπεῖν libri Xen.; δύναιτ' ἀντειπεῖν nescio quis ‖ **16** τὴν ἥραν S Xen.: τὴν ἡμέραν Tr. p. 67, inde Gesn.[1], vulg. ‖ **17** ηὑρηκέναι et 22 ηὑρηκότος reddunt Xenophonti ‖ **18** δ' Xen.: δὲ S ‖ **21** πολεμοῦσαι ex πολεμοῦσι corr. S[1] | ἀπολειφθείην ἄν σου S: ἂν ἀπολειφθείην σου Xen.

ἄλλων καταγελᾷς ἐρωτῶν μὲν καὶ ἐλέγχων πάντας, αὐτὸς δ' οὐδενὶ ἐθέλων ὑπέχειν λόγον οὐδὲ γνώμην ἀποφαίνεσθαι περὶ οὐδενός. Τί δαί, ὦ Ἱππία, ⟨ἔφη,⟩ οὐκ ᾔσθησαι, ὅτι ἐγὼ ἃ δοκεῖ μοι δίκαια εἶναι οὐδὲν παύομαι ἀποδεικνύμενος; Καὶ ποῖος δή σοι, ἔφη, οὗτος ὁ λόγος ἐστίν; Εἰ δὲ μὴ λόγῳ, ἔφη, ἀλλ' ἔργῳ ἀποδείκνυμαι· ἢ οὐ δοκεῖ σοι ἀξιοτεκμαρτότερον τοῦ λόγου τὸ ἔργον εἶναι; Πολύ γε νὴ Δί', ἔφη· δίκαια μὲν γὰρ λέγοντες πολλοὶ ἄδικα ποιοῦσι, δίκαια δὲ πράττων οὐδ' ἂν εἷς ἄδικος εἴη. Ἤισθησαι οὖν πώποτέ μου ἢ ψευδομαρτυροῦντος ἢ συκοφαντοῦντος ἢ πόλιν ἢ φίλους εἰς στάσιν ἐμβάλλοντος ἢ ἄλλο τι ἄδικον πράττοντος; Οὐκ ἔγωγ', ἔφη. Τὸ δὲ τῶν ἀδίκων ἀπέχεσθαι οὐ δίκαιον ἡγῇ; Δῆλος εἶ, ἔφη, ὦ Σώκρατες, καὶ νῦν διαφεύγειν ἐγχειρῶν τὸ ἀποδείκνυσθαι γνώμην ὅ τι νομίζεις τὸ δίκαιον· οὐ γὰρ ἃ πράττουσιν οἱ δίκαιοι, ἀλλ' ἃ μὴ πράττουσι, ταῦτα λέγεις. Ἀλλ' ᾤμην ἔγωγε, ἔφη ὁ Σωκράτης, τὸ μὴ θέλειν ἀδικεῖν ἱκανὸν δικαιοσύνης ἐπίδειγμα εἶναι. εἰ δέ σοι μὴ δοκεῖ, σκέψαι, ἐὰν τόδε σοι μᾶλλον ἀρέσκῃ· φημὶ γὰρ ἐγὼ τὸ νόμιμον δίκαιον εἶναι. Ἆρα τὸ αὐτὸ λέγεις, ὦ Σώκρατες, νόμιμόν τε καὶ δίκαιον εἶναι; Ἔγωγε, ἔφη. Οὐκ ἄρα αἰσθάνομαί σου ὁποῖον νόμιμον ἢ ποῖον

---

2 *ἐθέλων* S: *θέλων* libri Xen. || **3** *τί δαὶ* S: *τί δὲ* Tr., inde vulg., Xen. | *ἔφη* tacite e Xen. addidit Gesn.[1], inde vulg. || **6** *ἀποδείκνυμαι* Xen.: *ἀποδείκνυμι* S *ἐπιδείκνυμι* Tr., inde vulg. || **7** *ἢ οὐ δοκεῖ κτέ.*] hinc incipit A. de M cf. etiam quae adnotavi ad p. 379, 1 || **8** *νὴ δί'* S sed *ν* e corr. S[1] || **9** *πράττων* Xen.: *πραττόντων* S A | *οὐδ' ἂν εἷς ἄδικος εἴη* S A: *οὐδὲ* vel *οὐδ' εἷς ἄδικος ἂν εἴη* (*ἂν* om. Paris. 1740) aliquot libri Xen. *οὐδ' εἷς ἄδικος ἔσται* ceteri || **10** *ᾔσθησαι οὖν — δίκαιον λέγεις* (p. 376, 1) om. A || **11** *πόλιν ἢ φίλους* S: *φίλους ἢ πόλιν* (*πόλεις* non nulli pro *πόλιν*) libri Xen. | *εἰς στάσιν* Xen., inde tacite Gesn.[1], vulg.: *ἢ στάσιν* S || **12** *ἐμβάλλοντος* S Xen.: *ἐμβαλόντος* Tr., inde vulg. || **18** *ἐθέλειν* L. Dindorf || **19** *τόδε σοι* Xen.: *τὸ δέ σοι* S || **20** *τὸ νόμιμον* Tr., inde vulg., Xen.: *τὸν νόμιμον* (ut Xenophontis Paris. 1740) S || **22** *οὐκ ἄρα* S: *οὐ γὰρ* Xen. | *σοῦ ⟨μᾶλλον⟩ ὁποῖον* Gilbert | *ἢ ποῖον*, *ν* ex *σ* corr. S[1]

δίκαιον λέγεις. Νόμους δὲ πόλεως, ἔφη, γιγνώσκεις; Ἔγωγε, ἔφη. Καὶ τίνας τούτους νομίζεις; Ἃ οἱ πολῖται, ἔφη, συνθέμενοι ἅ τε δεῖ ποιεῖν καὶ ὧν ἀπέχεσθαι ἐγράψαντο. Οὐκοῦν, ἔφη, νόμιμος μὲν ἂν εἴη ὁ κατὰ ταῦτα πολιτευόμενος, ἄνομος δὲ ὁ ταῦτα παραβαίνων; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν καὶ δίκαια μὲν ἂν πράττοι ὁ πειθόμενος, ἄδικα δὲ ὁ τούτοις ἀπειθῶν; Πάνυ μὲν οὖν. Οὐκοῦν ὁ μὲν τὰ δίκαια πράττων δίκαιος, ὁ δὲ τὰ ἄδικα ἄδικος; Πῶς γὰρ οὔ; Ὁ μὲν ἄρα νόμιμος δίκαιός ἐστιν, ὁ δὲ ἄνομος ἄδικος; καὶ ὁ Ἱππίας, Νόμους δ', ἔφη, ὦ Σώκρατες, πῶς ἄν τις ἡγήσαιτο σπουδαῖον πρᾶγμα εἶναι ἢ τὸ πείθεσθαι αὐτοῖς, οὕς γε πολλάκις αὐτοὶ οἱ θέμενοι ἀποδοκιμάσαντες μετατίθενται; Καὶ γὰρ πόλεμον, ἔφη ὁ Σωκράτης, πολλάκις ἀράμεναι ⟨αἱ⟩ πόλεις πάλιν εἰρήνην ποιοῦνται. καὶ μάλα, ἔφη. Διάφορον οὖν τι οἴει ποιεῖν, ἔφη, τοὺς τοῖς νόμοις πειθομένους φαυλίζων, ὅτι καταλυθεῖεν ἂν οἱ νόμοι, ἢ εἰ τοὺς ἐν τοῖς πολέμοις εὐτακτοῦντας ψέγοις, ὅτι γένοιτ' ἂν εἰρήνη; ⟨ἢ⟩ καὶ τοὺς ἐν τοῖς πολέμοις ταῖς πατρίσι προθύμως βοηθοῦντας μέμφῃ; Μὰ Δί' οὐκ ἔγωγ', ἔφη. Λυκοῦργον δὲ τὸν Λακεδαιμόνιον, ἔφη ὁ Σωκράτης, κατα-

---

1 ante *νόμους* iterum *ἐν ταυτῷ* pro lemmate A, hinc incipit M | *γιγνώσκεις* S A: *γινώσκεις* M^d Tr. ‖ **2** *ἔφην* M^d ‖ **6** *οὐκοῦν* prius *ο* corr. ex compendio S ‖ **7** *ὁ πειθόμενος* M^d A: *πειθόμενος* S; *ὁ τούτοις πειθόμενος* Xen., inde tacite Gesn.^{1} vulg. | *ἀπειθῶν* S M^d Xen.: *ἀπιθῶν* A ‖ **9** *πῶς γὰρ* — 10 *ἄδικος* S M^d, A fortasse prima m. mrg: om. libri Xen. | *νόμους* S M^d A Xen.: *ἀνόμους* Tr. p. 68, inde vulg. ‖ **12** *πρᾶγμα* S M^d Xen. (*πράγμασιν* Xen. cod. Paris. 1740): *πρᾶγμ'* A Tr., inde vulg. | *οὕς γε* Xen.: *οὗ γε* S *οἷς τε* M^d *οὗ˜ // γ* A (supra *ὅσ ε*) ubi *ὅσ* A^2 ‖ **13** *αὐτοὶ οἱ* S M^d A Xenophontis Paris. Sangerm. 389 mrg: *αὐτοῖς οἱ* vel *αὐτοὺς οἱ* cet. Xen. ‖ **14** *ἔφη* etiam A, fallitur Gaisford | *ἀράμεναι αἱ* Xen.: *ἀράμεναι* S A Xenophontis Paris. 1740 *ἀράμενοι* M^d ‖ **16** *τί* S ‖ **19** *ἢ καὶ* tacite e Xen. Gesn.^{1}, inde vulg.: *καὶ* S M^d A Xenophontis Paris. 1740 pr. fortasse igitur nil nisi *καὶ* habuit Stob. supraque nil nisi *ἀράμεναι* coll. p. 372, 11, sed vide etiam p. 371, 14 ‖ **20** *ἔγωγ'* Xen.: *ἐγω* S M^d *ἐγών* A ‖ **21** *ἔφη ὁ σωκράτης καταμεμάθηκας* S M^d Xen.: *μεμάθηκας ἔφη ὁ σωκράτης* A

μεμάθηκας ὅτι οὐδὲν ἂν διάφορον τῶν ἄλλων πόλεων τὴν Σπάρτην ἐποίησεν, εἰ μὴ τὸ πείθεσθαι τοῖς νόμοις μάλιστα ἐνειργάσατο αὐτῇ; τῶν δὲ ἀρχόντων ἐν ταῖς πόλεσιν οὐκ οἶσθα ὅτι οἵ τινες ἂν τοῖς πολίταις αἰτιώτατοι ὦσι ⟨τοῦ⟩ τοῖς νόμοις πείθεσθαι, οὗτοι ἄριστοί εἰσι, καὶ πόλις, ἐν ᾗ μάλιστα οἱ πολῖται τοῖς νόμοις πείθονται, ἐν εἰρήνῃ τε ἄριστα διάγει καὶ ἐν πολέμῳ ἀνυπόστατός ἐστιν; ἀλλὰ μὴν καὶ ὁμόνοιά γε μέγιστόν τε ἀγαθὸν δοκεῖ ταῖς πόλεσιν εἶναι καὶ πλειστάκις ἐν αὐταῖς αἵ ⟨τε⟩ γερουσίαι καὶ οἱ ἄριστοι ἄνδρες παρακελεύονται τοῖς πολίταις ὁμονοεῖν, καὶ πανταχοῦ ἐν τῇ Ἑλλάδι νόμος κεῖται τοὺς πολίτας ὀμνύναι ὁμονοήσειν, καὶ πανταχοῦ ὀμνύουσι τὸν ὅρκον τοῦτον· οἶμαι δ' ἐγὼ ταῦτα γίγνεσθαι οὐχ ὅπως τοὺς αὐτοὺς χοροὺς κρίνωσιν οἱ πολῖται, οὐδ' ὅπως τοὺς αὐτοὺς αὐλητὰς ἐπαινῶσιν, οὐδ' ὅπως τοὺς αὐτοὺς ποιητὰς αἱρῶνται, οὐδ' ἵνα τοῖς αὐτοῖς ἥδωνται, ἀλλ' ἵνα τοῖς νόμοις πείθωνται. τούτοις γὰρ τῶν πολιτῶν ἐμμενόντων, αἱ πόλεις ἰσχυρόταταί τε καὶ εὐδαιμονέσταται γίγνονται· ἄνευ δ' ὁμονοίας οὔτ' ἂν πόλις εὖ πολιτευθείη οὔτ' οἶκος καλῶς οἰκηθείη.

---

3 *μάλιστα* S M[d] Xen.: *μᾶλλον* A; *μάλιστα οὓς* temere e Xenophontis ed. (Brubachiana Hal.?) Gesn.[1], inde vulg. | *αὕτη* M[d] ‖ **5** *τοῦ τοῖς* tacite e Xen. Gesn.[1] p. 84, inde vulg.: *τοῖς* libri Stob. ‖ **6** *εἰσι* Tr.: *εἰσιν* S *εἰσίν* M[d] *εἰσὶν* sed *ν* eras. A ‖ **8** *γε μέγιστόν τε* S M[d] Xen.: *μέ-*
αις εσιν
γιστον A ‖ **9** *τοῖς πολίταις* corr. A[1] ad v. 11 aberravit Gaisford ‖ **10** *αἵ τε γ.* Xen.: *αἱ γ.* S M[d] A ‖ **12** *το* in *τοὺς* madore corruptum rescripsit M m. rec., item infra aliquot litteras vel syllabas *οὐ* in *οὐδ' ἵνα* (16) *π* et *αι* in *πείθωνται* (17) *τούτ* in *τούτοις* (ibid.) *αταί γε* pro *αταί τε* in *ἰσχυρόταταί τε* (18) ‖ **15** *οὐδ' ὅπως — ἐπαινῶσιν* M[d] A Xen.: om. S ‖ **16** *αἱρῶνται* Xen.: *αἱρωνται* S *αἵρωνται* Tr. *αἵρωνται* M[d] *αἵρονται* A ‖ **17** post *τοῖς αὐτοῖς* addi iubet *θεάμασιν* vel *ἀκούσμασιν* Reiske *σιτίοις* Madvig *ᾄσμασιν* Schenkl | *ἥδωνται* ni fallor ex *ἥδονται* S | *πείθωνται* M[d] A Xen.: *πίθωνται* S ‖ **19** *ὁμονοίας* S M[d] Xen.: *εὐδαιμονίας* A *εὐνομίας* superscr. A[2] *ὁμονοίας* A[3] mrg ‖ **20** *εὖ κτἑ.*] etiam in his versibus non nulla rescripsit M m. rec. perperam aliquotiens velut *ἂν* pro *εὖ* et mox *οῖ* pro *ῷ* in *τιμῷτο*

ἰδίᾳ δὲ πῶς μὲν ἄν τις ἧττον ὑπὸ πόλεως ζημιοῖτο, πῶς δ' ἂν μᾶλλον τιμῷτο, ἢ εἰ τοῖς νόμοις πείθοιτο; πῶς δ' ἂν ἧττον ἐν τοῖς δικαστηρίοις ἡττῷτο ἢ πῶς ἂν μᾶλλον νικῴη; τίνι δ' ἄν τις μᾶλλον πιστεύσειεν παρακαταθέσθαι ἢ χρήματα ἢ θυγατέρας ἢ υἱούς; τίνα δ' ἂν ἡ πόλις ὅλη ἀξιοπιστότερον ἡγήσαιτο τοῦ νομίμου; παρὰ τίνος δ' ἂν μᾶλλον τῶν δικαίων τύχοιεν ἢ γονεῖς ἢ οἰκεῖοι ἢ οἰκέται ἢ φίλοι ἢ πολῖται ἢ ξένοι; τίνι δ' ἂν μᾶλλον πολέμιοι πιστεύσειαν ἢ ἀνοχὰς ἢ σπονδὰς ἢ συνθήκας περὶ εἰρήνης; τίνι δ' ἂν μᾶλλον ἢ τῷ νομίμῳ σύμμαχοι ἐθέλοιεν γίγνεσθαι; τίνι δ' ἂν μᾶλλον οἱ σύμμαχοι πιστεύσειαν ⟨ἢ⟩ ἡγεμονίαν ἢ φρουραρχίαν ἢ πόλεις; τίνα δ' ἄν τις εὐεργετήσας ὑπολάβοι κομιεῖσθαι χάριν μᾶλλον ἢ τὸν νόμιμον; ἢ τίνα μᾶλλον ἄν τις εὐεργετήσειεν ἢ παρ' οὗ χάριν ἀπολήψεσθαι νομίζει; τῷ δ' ἄν τις βούλοιτο μᾶλλον φίλος εἶναι ἢ τῷ τοιούτῳ ἢ τῷ ἧττον ἐχθρός; τῷ δ' ἄν τις ἧττον πολεμήσειεν ἢ ᾧ μάλιστα μὲν φίλος εἶναι βούλοιτο, ἥκιστα δ' ἐχθρός, καὶ ᾧ πλεῖστοι μὲν φίλοι καὶ σύμμαχοι βούλοιντο εἶναι, ἐλάχιστοι δ' ἐχθροὶ καὶ πολέμιοι; ἐγὼ μὲν οὖν, ὦ Ἱππία, τὸ αὐτὸ ἀποδείκνυμαι νόμιμόν τε καὶ δίκαιον εἶναι· σὺ

---

2 εἰ τοῖς ν. S A Xen.: εἴ τις ν. M[d] | πείθοιτο corr. ex πίθοιτο S ‖ **4** νικώη. τίνι δ' ἄν τις μᾶλλον bis scribunt M[d] A (?) | παρακαταθέσθαι M[d] A (sic) Xen.: om. S. nisi igitur alius error subest Gaisfordi, παρακαταθήκας debetur correctori codicis Paris. 1985 ‖ **5** θυγατέρας ἢ υἱούς S M[d] A: υἱοὺς ἢ θυγατέρας Xen. ‖ **8** τίνι δ' ἂν — 10 περὶ εἰρήνης S M[d] A Xen.: om. Tr., inde vulg. ‖ **11** τίνι S M[d] A: τῷ Xen. | οἱ S M[d] A Xen.: ἢ Tr. p. 69, inde vulg. ‖ **12** ἢ addidi e Xen. | ἢ πόλεις supra lin. add. A ‖ **13** δὲ M[d] A | κομιεῖσθαι χάριν S M[d] A: χάριν κομιεῖσθαι Xen. ‖ **14** τὸν S M[d] A Xen.: τὸ Tr., inde vulg. ‖ **15** νόμιζει// S | τῷ Xen., inde tacite Gesn.[1], vulg.: τοῦ S M[d] A ‖ **17** τῷ (ante δ' ἂν) A Tr. Xen.: τὸν (corr. in τῶι) S τὸν M[d] | ἂν post ᾧ male add. libri Xenophontis ‖ 18 φίλος εἶναι M[d] A Xen.: εἶναι φίλος S ‖ **20** οὖν om. A ‖ **21** ἀποδείκνυμαι Xen.: ἐπιδείκνυμαι S M[d] A | σὺ δὲ τἀναντία ἃ γ. quod in Stobaeo ferendum S M[d] A: σὺ δ' εἰ τἀναντία γ. Xen.; σὺ δ' εἰ τἀναντία ἃ γ. Gesn.[1], inde vulg. an σὺ δὲ τἀναντία εἰ γ.?

δὲ τἀναντία ἃ γιγνώσκεις, δίδασκε. καὶ ὁ Ἱππίας, Ἀλλὰ μὰ τὸν Δί᾽, ἔφη, ὦ Σώκρατες, οὔ μοι δοκῶ τἀναντία γιγνώσκειν οἷς εἴρηκας περὶ τοῦ δικαίου. Ἀγράφους δέ τινας οἶσθα, ἔφη, ὦ Ἱππία, νόμους; Τούς γε ἐν πάσῃ χώρᾳ, ἔφη, κατὰ ταὐτὰ νομιζομένους. Ἔχοις ἂν οὖν εἰπεῖν, ἔφη, ὅτι οἱ ἄνθρωποι αὐτοὺς ἔθεντο; Καὶ πῶς ἄν, ἔφη, οἵ γε οὔτε συνελθεῖν ἅπαντες δυνηθεῖεν οὔτε ὁμόφωνοί εἰσι; Τίνας, ἔφη, νομίζεις τοὺς νόμους τεθεικέναι τούτους; Ἐγὼ μέν, ἔφη, θεοὺς οἶμαι τοὺς νόμους τούτους τοῖς ἀνθρώποις θεῖναι· καὶ γὰρ παρὰ πᾶσιν ἀνθρώποις πρῶτον νομίζεται θεοὺς εὐσεβεῖν. Οὐκοῦν καὶ γονέας τιμᾶν πανταχοῦ νομίζεται; Καὶ τοῦτο, ἔφη. Οὐκοῦν καὶ μήτε γονεῖς παισὶ μίγνυσθαι μήτε παῖδας γονεῦσιν; Οὐκέτι μοι δοκεῖ, ἔφη, ὦ Σώκρατες, οὗτος θεοῦ νόμος εἶναι. Τί δή; ἔφη. Ὅτι, ἔφη, αἰσθάνομαί τινας παραβαίνοντας αὐτόν. Καὶ γὰρ ἄλλα πολλά, ἔφη, παρανομοῦσιν· ἀλλὰ δίκην γέ τοι διδόασιν οἱ παραβαίνοντες τοὺς ὑπὸ τῶν θεῶν κειμένους νόμους, ἣν οὐδενὶ τρόπῳ δυνατὸν ἀνθρώπῳ διαφυγεῖν, ὥσπερ τοὺς ὑπ᾽ ἀνθρώπων κειμένους νόμους ἔνιοι παραβαίνοντες

---

1 *καὶ ὁ Ἱππίας — ἔφη, καὶ τοῦτο* (p. 380, 19) om. M[d] A sed in margine addit M manu diversa et scriptura minore: *ἐν ταυτῷ* (rubr.) *ἢ* (rubr.) *οὐ δοκεῖ σοι ἀξιοτεκμαρτότερον τοῦ λόγου τὸ ἔργον εἶναι πολύ γε νὴ δί᾽ ἔφη. δίκαια μὲν γὰρ λέγοντες πολλοὶ ἄδικα ποιοῦ* (sic compend.) *δίκαια δὲ πραττόντων οὐδ᾽ ἂν εἷς ἄδικος εἴη*: ∽ id est eandem eclogae particulam quam supra (p. 375, 7) in ipso verborum contextu praeter S Tr. conservavit etiam A ‖ **2** *ἔφην* Tr. | *δοκῶ* S Xen.: *δοκεῖ* Tr. ‖ **5** *χώρα* (vel -*ᾳ*) *ἔφη* S: *ἔφη χώρᾳ* Xen. | *ταὐτὰ* Xen., inde Gesn.[1], vulg.: *ταῦτα* S ‖ **8** *ὁμόφωνοί εἰσι* S Xen.: *ὁμόφωνοι, εἰς* Tr. | *τίνας* S sicut aliquot libri Xenophontis inter quos Paris. 1740: *τίνας οὖν* tacite e Xen. Gesn.[1], vulg. | *τοὺς νόμους τεθεικέναι* (*τεθηκέναι* Tr.) S: *τεθεικέναι τοὺς νόμους* Xen. suspecta sunt v. *τοὺς νόμους* L. Dindorfio ‖ **9** *τοὺς νόμους* — 10 *θεῖναι* eici vult Ernesti ‖ **11** *εὐσεβεῖν* S: *σέβειν* Xen. ‖ **12** *γονέας* Xen.: *γονεῖς* S Tr. ‖ **14** *οὐκέτι* Xen. ‖ **15** *τί δή;* Xen., inde Gesn.[1], vulg.: *τί δ᾽* S ‖ **16** *ἄλλα* Xen., inde Gesn.[1], vulg.: *ἅμα* S

διαφεύγουσι τὸ δίκην δοῦναι. Καὶ ποίαν, ἔφη, δίκην, ὦ Σώκρατες, οὐ δύνανται διαφεύγειν γονεῖς τε παισὶ καὶ παῖδες γονεῦσι μιγνύμενοι; Τὴν μεγίστην νὴ Δί', ⟨ἔφη⟩· τί γὰρ ἂν μεῖζον πάθοιεν ἄνθρωποι τεκνοποιούμενοι τοῦ κακῶς τεκνοποιεῖσθαι; Πῶς οὖν, ἔφη, κακῶς οὗτοι τεκνοποιοῦνται, ὅτε οὐδὲν κωλύει ἀγαθοὺς αὐτοὺς ὄντας ἐξ ἀγαθῶν τεκνοποιεῖσθαι; Ὅτι νὴ Δί', ἔφη, οὐ μόνον ἀγαθοὺς δεῖ τοὺς ἐξ ἀλλήλων παιδοποιουμένους εἶναι, ἀλλὰ καὶ ἀκμάζοντας τοῖς σώμασιν· ἢ δοκεῖ σοι ὅμοια τὰ σπέρματα εἶναι τὰ τῶν ἀκμαζόντων τοῖς τῶν μήπω ἀκμαζόντων ἢ τῶν παρηκμακότων; Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ εἰκὸς ὅμοια εἶναι. Πότερα οὖν, ⟨ἔφη, βελτίω; Δῆλον,⟩ ἔφη, ὅτι τὰ τῶν ⟨ἀκμαζόντων. Τὰ τῶν μὴ⟩ ἀκμαζόντων ἄρα οὐ σπουδαῖα; Οὐκ εἰκὸς μὰ Δί', ἔφη. Οὐκοῦν οὕτω γε οὐ δεῖ παιδοποιεῖσθαι; Οὐ γὰρ οὖν, ἔφη. Οὐκοῦν οἵ γε οὕτω παιδοποιούμενοι ὡς οὐ δεῖ παιδοποιοῦνται; Ἔμοιγε δοκεῖ, ἔφη. Τίνες οὖν, ἔφη, ἄλλοι κακῶς ἂν παιδοποιοῖντο, εἴ γε μὴ οὗτοι; Ὁμογνωμονῶ σοι, ἔφη, καὶ τοῦτο. Τί δαί; τοὺς εὖ ποιοῦντας ἀντευεργετεῖν οὐ πανταχοῦ νόμιμόν ἐστι; Νόμιμον, ἔφη· παραβαίνεται δὲ

---

1 *διαφεύγουσι* Tr.: *διαφεύγουσιν* S | *δοῦναι* S: *διδόναι* Xen. | post *διδόναι* addit *οἱ μὲν λανθάνοντες, οἱ δὲ βιαζόμενοι* Xen., hinc Gesn.[1], vulg.: om. S ‖ **3** *νὴ Δί', ἔφη* Xen.: *νὴ δία* (corr. ex *δί'*) S *νὴ δία* Tr.; *νὴ δία ἔφη* Gesn.[1], vulg. ‖ **6** *ὅτε* S: *οὕς γε* Xen. ‖ **7** *τεκνοποιεῖσθαι* S: *παιδοποιεῖσθαι* Xen. ‖ **10** *τὰ τῶν ἀκμαζόντων τοῖς τῶν μήπω ἀκμαζόντων* S Xen.: *τὰ τῶν ἀκμαζόντων* Tr., inde vulg. | **12** *πότερα οὖν, ἔφη, βελτίω; Δῆλον, ἔφη, ὅτι* scripsi coll. apomn. IV 2, 14 (p. 370 adn. 2) ubi *δῆλον ἔφη ὅτι* libri Xenophontis: *πότερα οὖν ἔφη ὅτι* S; *π. οὖν, ἔφη, βελτίω; δῆλον ὅτι, ἔφη* Xen., inde *π. οὖν ἔφη βελτίω; δῆλον ὅτι* male Gesn.[1], vulg. ‖ **13** *ἀκμαζόντων· τὰ τῶν μὴ* addidi ex Xen.: om. Tr. et ni fallor etiam S; *ἀκμαζόντων τῶν μὴ* addiderat Gesn.[1], vulg. ‖ **15** *παιποιεῖσθαι* (δο suprascr.) S ‖ **16** *οὕτω* ante *παιδοπ.* om. libri Xenophontis | *ὡς οὐ δεῖ* Xen., inde tacite Gesn.[1], vulg.: *ὡς οὐδὲ* S *ὡς δὲ* Tr. p. 70 ‖ **17** *ἔφη ἄλλοι* S: *ἄλλοι ἔφη* Xen. ‖ **19** a *τί δαὶ* incipiunt rursus M[d] A qui lemma praefigunt *τοῦ αὐτοῦ* | *τί δαὶ* S M[d] A: *τί δέ;* Xen., inde Gesn.[1], vulg. ‖ **20** post *Νόμιμον* addi iubet *μέν* Cobet n. l. p. 704

καὶ τοῦτο. Οὐκοῦν καὶ οἱ τοῦτο παραβαίνοντες δίκην διδόασι, φίλων μὲν ἀγαθῶν ἔρημοι γιγνόμενοι, τοὺς δὲ μισοῦντας ἑαυτοὺς ἀναγκαζόμενοι διώκειν; ἢ οὐχ οἱ μὲν εὖ ποιοῦντες τοὺς χρωμένους ἑαυτοῖς ἀγαθοὶ φίλοι εἰσίν, οἱ δὲ μὴ ἀντευεργετοῦντες τοὺς τοιούτους διὰ μὲν τὴν ἀχαριστίαν μισοῦνται ὑπ᾽ αὐτῶν, διὰ δὲ τὸ μάλιστα λυσιτελεῖν τοῖς τοιούτοις χρῆσθαι τούτους μάλιστα διώκουσι; Νὴ τὸν Δί᾽, ὦ Σώκρατες, ἔφη, θεοῖς πάντα ταῦτ᾽ ἔοικε· τὸ γὰρ τοὺς νόμους αὐτοὺς τοῖς παραβαίνουσι τὰς τιμωρίας ἔχειν βελτίονος ἢ κατὰ ἄνθρωπον νομοθέτου δοκεῖ μοι εἶναι. Πότερον οὖν, ὦ Ἱππία, τοὺς θεοὺς ἡγεῖ τὰ δίκαια νομοθετεῖν ἢ ἄλλα τῶν δικαίων; Οὐκ ἄλλα μὰ Δί᾽, ἔφη· σχολῇ γὰρ ἂν ἄλλος γέ τις τὰ δίκαια νομοθετήσειεν, εἰ μὴ θεός. Καὶ τοῖς θεοῖς ἄρα, ὦ Ἱππία, τὸ αὐτὸ δίκαιόν τε καὶ νόμιμον ⟨εἶναι⟩ ἀρέσκει.

58 (9, 61 Mein.) *Πλάτωνος Πολιτείας α′* (p. 348 E).

Τοῦτο, ἦν δ᾽ ἐγώ, ἤδη στερεώτερον, ὦ ἑταῖρε, καὶ οὐκ ἔτι ῥᾴδιον ἔχειν, ὅ τί τις εἴπῃ. εἰ γὰρ λυσιτελεῖν μὲν τὴν ἀδικίαν ἐτίθεσο, κακίαν μέντοι ἢ αἰσχρὸν αὐτὸ ὡμολόγεις εἶναι ὥσπερ ἄλλοι τινές, εἴχομεν ἄν τι λέγειν κατὰ τὰ νομιζόμενα λέγοντες· νῦν δὲ δῆλος εἶ ὅτι φήσεις αὐτὸ καὶ καλὸν καὶ ἰσχυρὸν εἶναι καὶ τἆλλα αὐτῷ πάντα προσθήσεις, ἃ ἡμεῖς τῷ δικαίῳ προσετίθεμεν, ἐπειδή γε καὶ ἐν ἀρετῇ αὐτὸ καὶ σοφίᾳ ἐτόλμησας

---

2 *διδόασιν* ut paulo ante *ἐστιν* S M^d | *γιγνόμενοι* Xen.: *γινόμενοι* S *γενόμενοι* M^d A ‖ **4** *χρομένους* Tr. ‖ **8** *θεοῖς* S M^d A libri Xen.: *θείοις* Xenophontis cod. Vossianus vel Leidensis alter | *πάντα ταῦτ᾽* S M^d: *ταῦτα πάντ᾽* (*πάντα* Xen.) A Xen. ‖ **9** *αὐτοὺς* Xen.: *αὐτοῖς* libri Stob. ‖ **12** *ἡγεῖ* S¹ ut Xenophontis unus Parisinus: *ἡγῇ* (vel *-ῇ*) S ex corr. M^d A Tr. Xenophontis ceteri ‖ **15** *νόμιμον εἶναι* tacite e Xen. Gesn.¹, vulg.: *νόμιμον* S M^d A ‖ **17** ecl. cum lemm. hab. S M A; *πολιτείας* M A: *πολιτειῶν* S *πολιτιῶν* Tr. ‖ **18** *τοῦτο, ἦν δ᾽ ἐγὼ* usque ad *οὕτως ἔχειν* (p. 384,1) om. M A ‖ **21** *ἄν τι λέγειν* Plat.: *ἀντιλέγειν* S ‖ **23** *ἰσχυρὸν* S Plat.: *αἰσχρὸν* Tr., inde vulg. | **24** *προςτίθεμεν* Tr.

θεῖναι. Ἀληθέστατα, ἔφη, μαντεύῃ. Ἀλλὰ τόδε μοι πειρῶ ἀποκρίνασθαι· ὁ δίκαιος τοῦ δικαίου δοκεῖ τί σοι ἂν ἐθέλειν πλέον ἔχειν; Οὐδαμῶς, ἔφη· οὐ γὰρ ἂν ἦν ἀστεῖος, ὥσπερ νῦν, καὶ εὐήθης. Τί δαί; τῆς δικαίας πράξεως; Οὐδὲ τῆς δικαίας, ἔφη. Τοῦ δὲ ἀδίκου πότερον ἀξιοῖ ἂν πλέον ἔχειν καὶ ἡγοῖτο δίκαιον εἶναι, ἢ οὐκ ἂν ἡγοῖτο ⟨δίκαιον⟩; Ἡγοῖτ' ἄν, ἦ δ' ὅς, καὶ ἀξιοῖ, ἀλλ' οὐκ ἂν δύναιτο. Ἀλλ' οὐ τοῦτο, ἦν δ' ἐγώ, ἐρωτῶ, ἀλλὰ εἰ τοῦ μὲν δικαίου μὴ ἀξιοῖ πλέον ἔχειν μηδὲ βούλεται ὁ δίκαιος, τοῦ δὲ ἀδίκου; Ἀλλ' οὕτως, ἔφη, ἔχει. Τί δὲ δὴ ὁ ἄδικος; ἆρα ἀξιοῖ τοῦ δικαίου πλεονεκτεῖν καὶ τῆς δικαίας πράξεως; Πῶς γὰρ οὔκ; ἔφη, ὅς γε πάντων πλέον ἔχειν ἀξιοῖ; Οὐκοῦν καὶ ἀδίκου γε ἀνθρώπου τε καὶ πράξεως ὁ ἄδικος πλεονεκτήσει; Ἔστι ταῦτα. Ὧδε δὴ λέγωμεν, ἔφην, ὁ δίκαιος τοῦ μὲν ὁμοίου οὐ πλεονεκτεῖ, τοῦ δὲ ἀνομοίου, ὁ δὲ ἄδικος τοῦ τε ὁμοίου καὶ τοῦ ἀνομοίου. Ἄριστα, ἔφη, εἴρηκας. Ἔστι δέ γε, ⟨ἔφην,⟩ φρόνιμός τε καὶ ἀγαθὸς ὁ ἄδικος, ὁ δὲ δίκαιος

---

1 quae inter *μαντεύῃ* et *ἀλλὰ τόδε* apud Platonem leguntur: *Ἀλλ' οὐ μέντοι, ἦν δ' ἐγώ, ἀποκνητέον γε τῷ λόγῳ ἐπεξελθεῖν σκοπούμενον, ἕως ἄν σε ὑπολαμβάνω λέγειν ἅπερ διανοεῖ. ἐμοὶ γὰρ δοκεῖς σύ, ὦ Θρασύμαχε, ἀτεχνῶς νῦν οὐ σκώπτειν, ἀλλὰ τὰ δοκοῦντα περὶ τῆς ἀληθείας λέγειν. Τί δέ σοι, ἔφη, τοῦτο διαφέρει, εἴτε μοι δοκεῖ εἴτε μή, ἀλλ' οὐ τὸν λόγον ἐλέγχεις; Οὐδέν, ἦν δ' ἐγώ. ἀλλὰ τόδε κτέ.* haec etiam apud Stobaeum exstitisse quominus probabile putem absumpta propter homoeoarctum, prohibeor eo quod in proximis dixit *πειρῶ ἀποκρίνασθαι*, non ut Plato *πειρῶ ἔτι πρὸς τούτοις ἀποκρ.* ‖ **3** *πλέον* Plato: *πλεῖον* S ‖ **4** *δαί* S: *δέ* Plat. | **6** *πλέον ἔχειν* S: *πλεονεκτεῖν* Plat. quod reposuerim in Stobaeo collatis proximis ‖ **7** *δίκαιον* tacite ex Platone add. Gesn.[1] p. 86, inde vulg. ‖ **11** *τί δαὶ δὴ* Tr. ‖ **12** *οὔκ* Plat. *οὐκ* S: *οὔ* Tr., inde vulg. ‖ **13** *ἀδίκου γε* S: *ἀδίκου* Plat. ‖ **14** *πλεονηκτήσει; Ἔστι ταῦτα* scripsi: *πλεονέκτης εἰ ἔστι ταῦτα* S; *πλεονεκτήσει καὶ ἁμιλλήσεται, ὡς ἁπάντων πλεῖστον αὐτὸς λάβῃ; Ἔστι ταῦτα* Plat. quod etiam Stobaeo tacite intulit (nisi quod *πλεονεκτήσει τε καὶ ἁμ.* scripsit) Gesn.[1], inde vulg. ‖ **15** *λέγωμεν* Platonis libri non nulli: *λέγω μὲν* S; *λέγομεν* tacite ex Platone Gesn.[1], inde vulg. | *ἔφην* Plato: *ἔφη* S ‖ **18** *ἔφην* tacite ex Platone add. Gesn.[1], inde vulg.

οὐδέτερα; Καὶ τοῦτ', ἔφη, εὖ. Οὐκοῦν, ἦν δ' ἐγώ, καὶ ἔοικε τῷ φρονίμῳ καὶ ἀγαθῷ ὁ ἄδικος, ὁ δὲ δίκαιος οὐκ ἔοικε; Πῶς γὰρ οὐ μέλλει, ἔφη, ⟨ὁ⟩ τοιοῦτος ὢν καὶ ἐοικέναι τοῖς τοιούτοις, ὁ δὲ μὴ ἐοικέναι; Καλῶς. τοιοῦτος ἄρα ἐστὶν ἑκάτερος αὐτῶν οἷσπερ ἔοικεν. Ἀλλὰ τί μέλλει; ἔφη. Εἶεν, ὦ Θρασύμαχε· μουσικὸν δέ τινα λέγεις, ἕτερον δὲ ἄμουσον; Ἔγωγε. Πότερον φρόνιμον, καὶ πότερον ἄφρονα; Τὸν μὲν μουσικὸν δήπου φρόνιμον, τὸν δὲ ἄμουσον ἄφρονα. Οὐκοῦν ἅπερ φρόνιμον, ἀγαθόν, ἃ δὲ ἄφρονα, κακόν; ⟨Ναί.⟩ Τί δὲ ἰατρικόν; οὐχ οὕτως; Οὕτως. Ἆρ' οὖν τίς σοι, ὦ ἄριστε, δοκεῖ μουσικὸς ἀνὴρ ἁρμοττόμενος λύραν ἐθέλειν μουσικοῦ ἀνδρὸς ἐν τῇ ἐπιτάσει καὶ ἀνέσει τῶν χορδῶν πλεονεκτεῖν ἢ ἀξιοῦν πλέον ἔχειν; Οὐκ ἔμοιγε. Τί δαί, ἀμούσου; Ἀνάγκη, ἔφη. Περὶ πάσης δὴ ὅρα ἐπιστήμης τε καὶ ἀνεπιστημοσύνης εἴ τίς σοι δοκεῖ ἐπιστήμων ὁστισοῦν πλείω ἂν ἐθέλειν αἱρεῖσθαι ἢ ὅσ' ἄλλος ἐπιστήμων ἢ πράττειν ἢ λέγειν, καὶ οὐ ταὐτὰ τῷ ὁμοίῳ ἑαυτῷ εἰς τὴν αὐτὴν [ὁμοίαν] πρᾶξιν; Ἀλλ' ἴσως, ἔφη, ἀνάγκη τοῦτό

---

1 *δὲ ἐγώ* S ‖ **2** *καὶ τῷ ἀγαθῷ* Plat. ‖ **3** post *οὐ* distinguit S | *ὁ* addidi ex Platone ‖ **4** *ὁ δὲ μὴ ἐοικέναι* S ut Platonis plerique: *ὁ δὲ μὴ μὴ ἐοικέναι* non nulli Platonis | *ἐοικέναι καλῶς* nulla distinctione S ‖ **5** *οἷσπερ ἔοικεν;* S ‖ **9** *Οὐκοῦν καὶ ἅπερ* Plato ‖ **10** *Ναί* tacite ex Platone add. Gesn.[1], inde vulg. | *τί δὲ* Plat.: *τί δ'* S; *τί δαί.* Tr. p. 71, inde vulg. ‖ **11** *ἆρ' οὖν τίς σε ὦ ἄριστε, δοκεῖ μουσικὸς ἀνὴρ* S: *δοκεῖ ἂν οὖν τίς σοι, ὦ ἄριστε, μουσικὸς ἀνὴρ* Plat. | *σοι* tacite ex Plat. Gesn.[1], inde vulg.: *σε* S ‖ **12** *ἀνὴρ* oscitanter om. operarius Gesn.[2] p. 113 extr., inde vulg. ‖ **14** *πλέον* Plat.: *πλεῖον* S | *δαὶ* S: *δὲ* Plat. ‖ **15** *Ἀνάγκη, ἔφη. Περὶ πάσης* S: *Ἀνάγκη, ἔφη. Τί δὲ ἰατρικός; ἐν τῇ ἐδωδῇ ἢ πόσει ἐθέλειν ἄν τι ἰατρικοῦ πλεονεκτεῖν ἢ ἀνδρὸς ἢ πράγματος; Οὐ δῆτα. Μὴ ἰατρικοῦ δέ; Ναί. Περὶ πάσης* Plat. quae omisit Stobaeus, tacite ex Plat. add. Gesn.[1], inde vulg. non retinere debebant Gaisford et Meineke | *δὴ* S: *δὲ* Plat. ‖ **17** *πλείω ἂν ἐθέλειν* (*ει* in *ἐθέλειν* ex corr. ut videtur) S Plat.: *ἂν ἐθέλοι* Tr.; *ἐθέλειν πλείω ἂν* temere Gesn.[1], inde vulg. | *ὅσ'* scripsi: *ὅσ* S *ὅσα* Plat. ‖ **18** *ταὐτὰ* Plat.: *ταῦτα* S | *τὴν αὐτὴν* Plat.: *τὴν αὐτὴν ὁμοίαν* S

γε οὕτως ἔχειν. Τί δ' ὁ ἀνεπιστήμων; οὐχ ὁμοίως μὲν ἐπιστήμονος πλεονεκτήσειεν ἄν, ὁμοίως δὲ ἀνεπιστήμονος; Ἴσως. Ὁ δ' ἐπιστήμων σοφός; Ναί. Ὁ δὲ σοφὸς ἀγαθός; Φημί. Ὁ ἄρα ἀγαθός τε καὶ σοφὸς τοῦ μὲν ὁμοίου οὐκ ἐθελήσει πλεονεκτεῖν, τοῦ δ' ἀνομοίου τε καὶ ἐναντίου; Ἔοικεν, ἔφη. Ὁ δὲ κακός τε καὶ ἀμαθὴς τοῦ τε ὁμοίου καὶ τοῦ ἐναντίου; Φαίνεται. Οὐκοῦν, ὦ Θρασύμαχε, ἦν δ' ἐγώ, ὁ ἄδικος ἡμῖν τοῦ ἀνομοίου τε καὶ ὁμοίου πλεονεκτεῖ; ἢ οὐχ οὕτως ἔλεγες; Ἔγωγε, ἔφη. Ὁ δὲ δίκαιος τοῦ μὲν ὁμοίου οὐ πλεονεκτήσει, τοῦ δ' ἀνομοίου; Ναί. Ἔοικεν ἄρα, ἦν δ' ἐγώ, ὁ μὲν δίκαιος τῷ σοφῷ τε καὶ ἀγαθῷ, ὁ δὲ ἄδικος τῷ κακῷ τε καὶ ἀμαθεῖ. Κινδυνεύει. Ἀλλὰ μὴν ὡμολογοῦμεν, ᾧ γε ὅμοιος ἑκάτερος εἴη, τοιοῦτον καὶ ἑκάτερον εἶναι. Ὡμολογοῦμεν γάρ. Ὁ μὲν ἄρα δίκαιος ἡμῖν ἀναπέφανται ὢν ἀγαθός τε καὶ σοφός, ὁ δ' ἄδικος ἀμαθής τε καὶ κακός.

59 (9, 62 Mein.: eiusdem p. 350 D)

Ἐπειδὴ δ' οὖν διωμολογησάμεθα τὴν δικαιοσύνην ἀρετὴν εἶναι καὶ σοφίαν, τὴν δ' ἀδικίαν κακίαν τε καὶ ἀμαθίαν, Εἶεν, ἦν δ' ἐγώ, τοῦτο μὲν ἡμῖν οὕτω κείσθω· ἔφαμεν δὲ δὴ καὶ ἰσχυρότερον εἶναι τὴν ἀδικίαν.

---

1 post *οὕτως ἔχειν* incipiunt M A | *τί δ'* S M[d] A *τί δὲ* Plat.: *τί δαί.* Tr., inde vulg. | *οὐχ* S M[d] A: *οὐχὶ* Plat. || **2** v. *πλεονεκτήσειεν — ἀνεπιστήμονος* in marg. A m. rec. | *ἄν, ὁμοίως* Plat.: *ἀνομοίως* S A *ὁ ἀνομοίως* M[d] || **3** *ναί* S M[d] A: *φημί* Plat. || **5** *δὲ* M[d] | *ἀνομοίου* S M[d] Plat.: *ἀνομίου* A || **6** *ἔοικεν* — 7 *ἐναντίου* in marg. A[1] || **8** *ἄδικος* M[d] A Plat.: *ἄνομος* S | *ἡμῖν* S M[d] A[1]: *ἢ μὴν* corr. A[2] ex Tr. || **10** *Ὁ δέ γε δίκαιος* Plat. | *σὺ* A[1] *οὐ* A[2] | *δ' ἀνομοίου* S M[d] A: *δὲ ἀνομοίου* Plat. || **12** *τε* utrobique om. Plat. || **13** *ὡμολογοῦμεν* tacite ex Platone Gesn.[1], inde vulg.: *ὁμολογοῦμεν* S M[d] A | *ᾧ γε* tacite ex Plat. Gesn.[1], inde vulg.: *ὅγε* S M[d] A || **14** *ὡμολογοῦμεν* S Plat.: *ὁμολογοῦμεν* certe A || **15** *ἡμῖν* sed *η* ut videtur ex *α* corr. S | *καὶ ἀναπ.* Tr. || **16** *δ' ἄδικος* S M[d]: *δὲ ἄδικος* A Tr. Plat. || **17** ecl. sine lemmate cum prioribus cohaerentem habent S M A: separavit Gesn.[1] p. 86. favet suspicioni flor. 10, 74 Mein. ubi iterantur verba *Ἐπειδὴ δ' οὖν* — 20 *οὕτω κείσθω* cum lemm. *ἐν ταὐτῷ.* quamquam quae omittuntur, ea gnomologio inseri sane minus intererat || **20** *εἶεν* S M[d], flor. 10, Plat.: *εἶναι* A || **21** *ἰσχυρότερον* libri Stob.: *ἰσχυρὸν* Plat.

60 (9, 63 Mein.: eiusdem p. 351 A — 354 A)

Ἀλλὰ τῇδέ πῃ σκέψασθαι χρή. πόλιν φαίης ἂν ἄδικον εἶναι καὶ ἄλλας πόλεις ἐπιχειρεῖν δουλοῦσθαι ἀδίκως; Πῶς γὰρ οὔκ; ἔφη· πότερον οὖν ἡ κρείττων γιγνομένη πόλις πόλεως ἄνευ δικαιοσύνης τὴν δύναμιν ταύτην ἕξει, ἢ ἀνάγκη αὐτῇ μετὰ δικαιοσύνης; Εἰ μέν, ἔφη, ὡς σὺ ἄρτι ἔλεγες ἔχει, ἡ δικαιοσύνη σοφία, μετὰ δικαιοσύνης, εἰ δ' ὡς ἐγώ, μετ' ἀδικίας. Πάνυ γε ἄγαμαι, ἦν δ' ἐγώ, ὦ Θρασύμαχε, δοκεῖς ἂν οὖν ἢ πόλιν ἢ στρατόπεδον ἢ λῃστὰς ἢ κλέπτας ἢ ἄλλο τι ἔθνος, ὅσα κοινῇ

---

1 ecl. cum prioribus sine lemmate coniunctam hab. SMA: separavit Gesn.[1] p. 88 vereor ne non recte. quanta libertate haec gnomologus non modo contraxerit sed etiam interpolaverit proximis elucet ‖ **2** *πῃ* (*πῇ* M[d]) *σκέψασθαι* S M[d] Plat.: *ἐπισκέψασθαι* A | *χρή* Stobaeus sua Minerva, cum Plato dedisset *ἀλλ' οὔτι οὕτως ἁπλῶς, ὦ Θρασύμαχε, ἔγωγε ἐπιθυμῶ, ἀλλὰ τῇδέ πῃ σκέψασθαι· πόλιν κτέ.* | *ἂν* supra lin. S[1] ‖ **3** *δουλοῦσθαι* tacite ex Platone Gesn.[1], inde vulg.: *βούλεσθαι* S M[d] A | post *ἀδίκως* addit Plato *καὶ καταδεδουλῶσθαι, πολλὰς δὲ καὶ ὑφ' ἑαυτῇ ἔχειν δουλωσαμένην*, ex Platone invexit Gesn.[1], inde etiam Gaisford et Meineke: om. S M[d] A ‖ **4** *ἔφη* corr. ex *ἔφην* S[1] | post *ἔφη* quae habet Plato *καὶ τοῦτό γε ἡ ἀρίστη μάλιστα ποιήσει καὶ τελεώτατα οὖσα ἄδικος. Μανθάνω, ἔφην, ὅτι σὸς οὗτος ἦν ὁ λόγος· ἀλλὰ τόδε περὶ αὐτοῦ σκοπῶ* tacite ex Platone add. Gesn.[1], inde vulg.: om. S M[d] A. Stobaeum haec recidisse confirmatur particula *οὖν* | *πότερον οὖν* S M[d] A: *πότερον* Plat. ‖ **5** *τὴν* S M[d] A Plat.: *μὲν* operarius Gesn.[2] p. 114, inde vulg. | *ταύτην* om. Tr. ‖ **6** *αὐτῇ* tacite ex Platone Gesn.[1], inde vulg.: *αὐτὴν* S M[d] A | *εἰ μὲν* — 7 *δικαιοσύνης* in marg. A manu antiqua sed partim refecta m. rec. ‖ **7** *ἔχει ἡ δικαιοσύνη σοφία* Plat.: *ἔχει ἡ δικαιοσύνη σοφίαν* S M[d] A (num *σοφίαν* A dubium); *ἔστιν ἡ δικ. σοφία* tacite ex Platonis vulg. Gesn.[1] *ἔχει, ⟨εἰ⟩ ἡ δικ. σοφία* Baiter ‖ **8** *εἰ δ' ὡς ἐγὼ ἔλεγον* Plat. reddendum fortasse Stobaeo | *πάνυ γε* S M[d] A: *πάνυ* Plat. ‖ **9** quae post *Θρασύμαχε* habet Plato *ὅτι οὐκ ἐπινεύεις μόνον καὶ ἀνανεύεις, ἀλλὰ καὶ ἀποκρίνῃ πάνυ καλῶς. Σοὶ γάρ, ἔφη, χαρίζομαι. Εὖ γε σὺ ποιῶν· ἀλλὰ δὴ καὶ τόδε μοι χάρισαι καὶ λέγε* om. S M[d] A (sic): tacite ex Platone add. Gesn.[1], inde vulg. | *οὖν* addidit Stobaeus quia priora reciderat: om. Plat.; frustra Gesneri supplementa receperunt hic ut alibi Gaisford et Meineke ‖ **10** *κλέπτας* corr. ex verbo nescio quo S

ἐπί τι ἔρχεται ἀδίκως, πρᾶξαι ἄν τι δύνασθαι, εἰ ἀδικοῖεν ἀλλήλους; Οὐ δῆτα, ἦ δ' ὅς. Τί δ' εἰ μὴ ἀδικοῖεν; οὐ μᾶλλον; Πάνυ γε. Στάσεις γάρ που, ὦ Θρασύμαχε, ἥ γε ἀδικία καὶ μίση καὶ μάχας ἐν ἀλλήλοις παρέχει, ἡ δὲ δικαιοσύνη ὁμόνοιαν καὶ φιλίαν. ἦ γάρ; Ἔστω, ἦ δ' ὅς, ἄρα εἰ τοῦτο ἔργον ἀδικίας, μῖσος ἐμποιεῖν ὅπου ἂν ἐνῇ. . . . . . Πάνυ γε. Καὶ ἐν ἑνὶ δή, οἶμαι, ἐνοῦσα ταῦτα ⟨πάντα⟩ ποιήσει, ἅπερ πέφυκεν ἐργάζεσθαι· πρῶτον μὲν ἀδύνατον αὐτὸν ποιήσει πράττειν στασιάζοντα καὶ οὐχ ὁμονοοῦντα αὐτὸν ἑαυτῷ, ἔπειτα ἐχθρὸν καὶ ἑαυτῷ καὶ τοῖς δικαίοις. ἦ γάρ; Ναί. Δίκαιοι δέ γ' εἰσίν, ὦ φίλε, καὶ οἱ θεοί; Ἔστωσαν, ἔφη. Καὶ θεοῖς ἄρα ἐχθρὸς ἔσται, ὦ Θρασύμαχε, ὁ ἄδικος, ὁ δὲ δίκαιος, φί-

---

1 *ἔρχεται* S M^d Plat.: *ἄρχεται* A | *εἰ ἀδικοῖεν* S M^d A (sic) Plat.: *εἰ ἀδικεῖν* Tr. p. 72; *ἢ ἀδικεῖν* Gesn.¹, inde vulg. ‖ **3** *στάσεις* tacite ex Platone Gesn.¹, inde vulg.: *στάσις* S M^d A | *ἥ γε* S M^d Plat.: *γε* om. A ‖ **5** *ἦ γάρ; ἔστω — σκέψασθαι, σκεπτέον* (p. 387, 18) om. M^d A | quae post *ἦ δ' ὅς* subicit Plato *ἵνα σοι μὴ διαφέρωμαι. Ἀλλ' εὖ γε σὺ ποιῶν, ὦ ἄριστε. τόδε δέ μοι λέγε* om. S: tacite ex Platone addidit Gesn.¹, inde vulg. ‖ **6** *ὅπου ἂν ἐνῇ* tacite ex Plat. Gesn.¹, inde vulg.: *ὁπόταν ἔνι* (sic) S | post *ὅπου ἂν ἐνῇ* indicavi lacunam. apud Platonem leguntur haec: *ὅπου ἂν ἐνῇ, οὐ καὶ ἐν ἐλευθέροις τε καὶ δούλοις ἐγγιγνομένη μισεῖν ποιήσει ἀλλήλους καὶ στασιάζειν καὶ ἀδυνάτους εἶναι κοινῇ μετ' ἀλλήλων πράττειν; Πάνυ γε. Τί δέ; ἂν ἐν δυοῖν ἐγγένηται, οὐ διοίσονται καὶ μισήσουσι καὶ ἐχθροὶ ἔσονται ἀλλήλοις τε καὶ τοῖς δικαίοις; Ἔσονται, ἔφη. Ἐὰν δὲ δή, ὦ θαυμάσιε, ἐν ἑνὶ ἐγγένηται ἀδικία, μῶν μὴ ἀπολεῖ τὴν αὑτῆς δύναμιν, ἢ οὐδὲν ἧττον ἕξει; Μηδὲν ἧττον ἐχέτω, ἔφη. Οὐκοῦν τοιάνδε τινὰ φαίνεται ἔχουσα τὴν δύναμιν, οἵαν, ᾧ ἂν ἐγγένηται, εἴτε πόλει τινὶ εἴτε γένει εἴτε στρατοπέδῳ εἴτε ἄλλῳ ὁτῳοῦν, πρῶτον μὲν ἀδύνατον αὐτὸ ποιεῖν πράττειν μεθ' αὑτοῦ διὰ τὸ στασιάζειν καὶ διαφέρεσθαι, ἔτι δ' ἐχθρὸν εἶναι ἑαυτῷ τε καὶ τῷ ἐναντίῳ παντὶ καὶ τῷ δικαίῳ; οὐχ οὕτως;* tacite haec fere ex Platone inseruit Gesn.¹, inde vulgata quam receperunt etiam Gaisford et Meineke ‖ **7** *ἐν ἑνὶ* Tr. p. 72 Plat.: *εν ενι* S ‖ **8** *πάντα* tacite ex Platone add. Gesn.¹, inde vulg. | *ποιήσει* tacite ex Platone Gesn.¹, inde vulg.: *γνοίης. εἰ* S ‖ **9** *πράττειν ποιήσει* Plat. ‖ **10** *ἐχθρὸν* tacite ex Platone Gesn.¹, inde vulg.: *αἰσχρὸν* S ‖ **13** *ἔσται ὦ Θρασίμαχε ὁ ἄδικος* S: *ἔσται ὁ ἄδικος ὦ Θρασύμαχε* Plat.

λος. Εὐωχοῦ τοῦ λόγου, ἔφη, θαρρῶν· οὐ γὰρ ἔγωγέ σοι ἐναντιώσομαι, ἵνα μὴ τοῖσδε ἀπέχθωμαι. Ἴθι δή, ἦν δ' ἐγώ, καὶ τὰ λοιπά μοι τῆς ἑστιάσεως ἀποπλήρωσον ἀποκρινόμενος ὥσπερ καὶ νῦν. ὅτι μὲν γὰρ καὶ σοφώτεροι καὶ ἀμείνους καὶ δυνατώτεροι πράττειν οἱ δίκαιοι φαίνονται, οἱ δὲ ἄδικοι οὐδὲν πράττειν μετ' ἀλλήλων οἷοί τε, ἀλλὰ καὶ οὓς φαμεν ἐρρωμένως πώποτέ τι μετ' ἀλλήλων κοινῇ πρᾶξαι ἀδίκους ὄντας, τοῦτο οὐ παντάπασιν ἀληθὲς λέγομεν· οὐ γὰρ ἂν ἀπείχοντο ἀλλήλων κομιδῇ ὄντες ἄδικοι, ἀλλὰ δῆλον ὅτι ἐνῆν τις αὐτοῖς δικαιοσύνη, ἣ αὐτοὺς ἐποίει μή τοι καὶ ἀλλήλους γε καὶ ἐφ' οὓς ᾔεσαν, ἀδικεῖν ἅμα, δι' ἣν ἔπραξαν ⟨ἃ ἔπραξαν⟩, ὥρμησαν δὲ ἐπὶ τὰ ἄδικα ἀδικίᾳ ἡμιμόχθηροι ὄντες, ἐπεὶ οἵ γε παμπόνηροι καὶ τελέως ⟨ἄδικοι τελέως⟩ εἰσὶ καὶ πράττειν ἀδύνατοι· ταῦτα μὲν οὖν ὅτι οὕτως ἔχει, μανθάνω, εἰ δὲ καὶ ἄμεινον ζῶσιν οἱ δίκαιοι τῶν ἀδίκων καὶ εὐδαιμονέστεροί εἰσιν, ὅπερ τὸ ὕστερον προὐθέμεθα σκέψασθαι, σκεπτέον. δοκεῖ τί σοι εἶναι ἵππου ἔργον; Ἔμοιγε. Ἆρ' οὖν τοῦτο ἂν θείης καὶ ἵππου καὶ ἄλλου ὁτουοῦν ἔργον, ὃ ἂν ἢ μόνῳ ἐκείνῳ ποιῇ τις ἢ ἄριστα;

3 *μοι* tacite ex Platone Gesn.[1], inde vulg.: *με* S | *ἀποπλήρωσον* tacite ex Platone Gesn.[1], inde vulg.: *ἀποπληρώσων* S ‖ **7** *ἀλλὰ* S: *ἀλλὰ δὴ* Plat., ex Plat. tacite Gesn.[1], inde vulg. ‖ **9** *λέγομεν* S Plat.: *ἐλέγομεν* perperam ex Platonis exemplari Gesn.[1], inde vulg. ‖ **11** *μή τοι* S Plat.: *μή τι* tacite ex Platone suo Gesn.[1] ‖ **12** *ἀδικεῖν ἅμα* S: *ἅμα ἀδικεῖν* Plat. | *ἃ ἔπραξαν* tacite ex Platone addidit Gesn.[1], inde vulg. ‖ **14** *ἄδικοι τελέως* tacite ex Platone addidit Gesn.[1], inde vulg. ‖ **15** *ἀδύνατοι* om., dein *πάντα* pro *ταῦτα* Tr. | *ἔχει*, sed *ει* corr. ex *ω* S[1] | post *μανθάνω* quae habet Plato *ἀλλ' οὐχ ὡς σὺ τὸ πρῶτον ἐτίθεσο* om. S: tacite ex Platone inseruit Gesn.[1], inde vulg. ‖ **16** *εἰ δὲ* ex Platone tacite Gesn.[1], inde vulg.: *οἱ δὲ* S ‖ **18** quae post *σκεπτέον* subicit Plato *φαίνονται μὲν οὖν καὶ νῦν, ὥς γέ μοι δοκεῖ, ἐξ ὧν εἰρήκαμεν· ὅμως δ' ἔτι βέλτιον σκεπτέον. οὐ γὰρ περὶ τοῦ ἐπιτυχόντος ὁ λόγος, ἀλλὰ περὶ τοῦ ὅν τινα τρόπον χρὴ ζῆν. Σκόπει δή, ἔφη. Σκοπῶ, ἦν δ' ἐγώ· καί μοι λέγε* absunt a libris Stobaei: tacite ex Platone inseruit Gesn.[1], inde vulg. | a verbis *δοκεῖ τί σοι* rursus incipit M A praefixo lemmate *ἐν ταυτῷ*

Οὐ μανθάνω. Ἀλλ' ὧδε· ἔσθ' ὅτῳ ἂν ἄλλῳ ἴδοις ἢ ὀφθαλμοῖς; Οὐ δῆτα. Τί δαί; ἀκούσαις ἄλλῳ ἢ ὠσίν; Οὐδαμῶς. Οὐκοῦν δικαίως ἂν ταῦτα τούτων φαμὲν ἔργα εἶναι; Πάνυ γε. Τί δαί; μαχαίρᾳ ἂν ἀμπέλου κλῆμα ἀποτέμοις καὶ σμίλῃ καὶ ἄλλοις πολλοῖς; Πῶς γὰρ οὔ; Ἀλλ' οὐδενί γ' ἄν, οἶμαι, οὕτω καλῶς, ὡς δρεπάνῳ τῷ ἐπὶ τούτῳ ἐργασθέντι. Ἀληθῆ. Ἆρ' οὖν οὐ τοῦτο τούτου ἔργον θήσομεν; Θήσομεν μὲν οὖν. Ὀφθαλμῶν μὲν ἔστι τὶ ἔργον; Ἔστιν. Ἆρ' οὖν καὶ ἀρετὴ ὀφθαλμῶν ἐστιν; Καὶ ἀρετή. Τί δέ; ὤτων ἦν τι ἔργον; Ναί. Οὐκοῦν καὶ ἀρετή; Καὶ ἀρετή. Τί δὲ πάντων περὶ τῶν ἄλλων; οὐχ οὕτως; Οὕτως. Ἔχε δή· ἆρ' ἄν ποτε ὄμματα τὸ αὑτῶν ἔργον καλῶς ἀπεργάσαιντο μὴ ἔχοντα τὴν αὑτῶν οἰκείαν ἀρετήν, ἀλλ' ἀντὶ τῆς ἀρετῆς κακίαν; Καὶ πῶς ἄν; ἔφη·

---

1 *οὐ μανθάνω* S A (sic), dubito de M: *οὐ μανθάνω, ἔφη* Plat., ex Platone tacite Gesn.[1], inde vulg. | *ἔσθ' ὅτῳ* tacite ex Platone Gesn.[1], inde vulg.: *ἔστω ὅτω* S M[d] A post *ἔστω* distinguit S | *ἄλλω* S A Plat.: *ἄλλο* M[d] ‖ **2** *δαὶ* S M[d]: *δέ* A Plat. | *ἀκούσαις* tacite ex Platone Gesn.[1], inde vulg.: *ἀκούσας* S M[d] A; *ἀκούσαις ⟨ἂν⟩* Ast | *ἄλλῳ* tacite ex Platone Gesn.[1], inde vulg.: *ἄλλοις* S M[d] A ‖ **3** *φαμὲν* S M[d] A sicut libri Platonis: *φαῖμεν* Platonis vulg. ‖ **4** *δαὶ* S M[d] A: *δέ* Plat. | *ἂν* om. operarius Gesn.[1], inde vulg. ‖ **6** *γ' ἂν* S A Plat.: *γὰρ* M[d] | **8** *θήσομεν μὲν οὖν* S Plat.: *θήσομεν οὖν* M[d] A | post *Θήσομεν μὲν οὖν* quae habet Plato *Νῦν δή, οἶμαι, ἄμεινον ἂν μάθοις ὃ ἄρτι ἠρώτων πυνθανόμενος, εἰ οὐ τοῦτο ἑκάστου εἴη ἔργον, ὃ ἂν ἢ μόνον τι ἢ κάλλιστα τῶν ἄλλων ἀπεργάζηται. Ἀλλά, ἔφη, μανθάνω τε καί μοι δοκεῖ τοῦτο ἑκάστου πράγματος ἔργον εἶναι. Εἶεν, ἦν δ' ἐγώ· οὐκοῦν καὶ ἀρετὴ δοκεῖ σοι εἶναι ἑκάστῳ, ᾧπερ καὶ ἔργον τι προστέτακται; ἴωμεν δὲ ἐπὶ τὰ αὐτὰ πάλιν* haec tacite inseruit Gesn.[1], inde vulg.: om. S M[d] A | *μὲν* S M[d] A: *φαμὲν* tacite ex Platone Gesn.[1] p. 90, inde vulg. | *ἔστι τὶ* fere S M[d] A: *ἔστιν* Plat. sed discrepant libri ‖ **10** *δὲ* M[d] A Plat.: *δαὶ* S ‖ **11** *δὲ πάντων* reposui ex Platone: *δὴ γὰρ* S *δὴ γ' ἂν* M[d] A; *δὴ γὰρ καὶ* temere Gesn.[2] p. 116, inde vulg. ‖ **12** *ἔχε* S M[d] Plat.: *ἔχει* A Tr. p. 73, inde vulg. | *ἂν* S Plat. *ἀν* M[d]: *οὖν* A | *αὑτῶν* Plat.: *αὐτῶν* libri Stob. nisi quod *αὐτὸν* S ‖ **13** *ἀπεργάσαιντο* S M[d] ut Platonis plerique: *ἀπεργάσαντο* A corr. A[2] (*αιν* supra scr.); *ἀπεργάσαιτο* ci. Heindorf | *αὑτῶν* Plat.: *αὐτῶν* ut videtur libri Stob.

τυφλότητα γὰρ ἴσως λέγεις ἀντὶ τῆς ὄψεως. Ἥτις, ἦν ⟨δ'⟩ ἐγώ, ⟨αὐτῶν ἡ⟩ ἀρετή· οὐ γάρ πω τοῦτο ἐρωτῶ, ἀλλὰ εἰ τῇ οἰκείᾳ ἀρετῇ τὸ αὑτῶν ἔργον εὖ ἐργάσεται τὰ ἐργαζόμενα, κακίᾳ δὲ κακῶς. Ἀληθές, ἔφη, τοῦτό ⟨γε⟩ λέγεις. Οὐκοῦν καὶ ὦτα στερόμενα τῆς αὑτῶν ἀρετῆς κακῶς τὸ ⟨αὑτῶν⟩ ἔργον ἀπεργάσεται; Πάνυ γε. Τίθεμεν οὖν καὶ τὰ ἄλλα πάντα εἰς τὸν αὐτὸν τοῦτον λόγον; Ἔμοιγε δοκεῖ. Ἴθι δή, μετὰ ταῦτα τόδε σκέψαι· ψυχῆς ἔστι τι ἔργον, ὃ ἄλλῳ τῶν ὄντων οὐδ' ἂν ἑνὶ πράξαις, οἷον τὸ τοιόνδε· τὸ ἐπιμελεῖσθαι καὶ ἄρχειν καὶ [τὸ] βουλεύεσθαι καὶ τὰ τοιαῦτα πάντα, ἔστιν ὅτῳ ἄλλῳ ἢ ψυχῇ δικαίως ἂν αὐτὰ ἀποδοῖμεν καὶ φαῖμεν ἴδια ἐκείνης εἶναι; Οὐδενὶ ἄλλῳ. Τί δ' αὖ τὸ ζῆν; οὐ ψυχῆς ἔργον φήσομεν εἶναι; Μάλιστά γ', ἔφη. Οὐκοῦν καὶ ἀρετήν φαμέν τινα ψυχῆς εἶναι; Φαμέν. Ἆρ' οὖν ποτε, ὦ Θρασύμαχε, ψυχὴ τὰ αὑτῆς ἔργα εὖ ἀπεργάσεται στερομένη τῆς οἰκείας ἀρετῆς, ἢ ἀδύνατον; Ἀδύνατον. Ἀνάγκη ἄρα

---

1 *γὰρ ἴσως* S M^d A Plat.: *ἴσως γὰρ* Tr., inde vulg. | *ἦν δ' ἐγώ, αὐτῶν ἡ ἀρετή* tacite ex Platone Gesn.^{1}, inde vulg.: *ἦν* (*ἦν* M^d) *ἐγὼ ἀρετή* S M^d *ἦν* ∧ (*δ'*) *ἐγὼ* ∧ (*αὐτῶν*) *ἀρετή* corr. A^2 ‖ **3** *τῇ οἰκείᾳ* S A, dubito de M^d: *τῇ οἰκείᾳ μὲν* Plat.; *τῇ μὲν οἰκείᾳ* tacite Gesn.^{1}, inde vulg. | *αὐτῶν* Plat.: *αὑτῶν* ut videtur libri Stob. | *ἐργάσεται* ex *-ηται* corr. S^1 ‖ **4** *γε* tacite ex Platone add. Gesn.^{1}, inde vulg. ‖ **5** *ὦτα* A^2 Plat.: *ὁ τὰ* S A^1 *ὅτα* M^d *τὰ* Tr. | *αὐτῶν* Plat.: *αὑτῶν* libri Stob. ‖ **6** *αὑτῶν* inseruit A^2, ex Platone tacite Gesn.^{1}, inde vulg.: om. S M^d A^1 ‖ **7** *τὸν αὐτὸν τοῦτον λόγον* S M^d A: *τὸν αὐτὸν λόγον* Plat. ‖ **8** *δὲ* A^1 *δὴ* A^2 ‖ **9** *τι* (*τί* M^d) S M^d Plat.: *τὸ* A | *οὐδὰν* corr. ex *οὐδὲν* S ‖ **10** *ἐπιμελεῖσθαι* ex Platone Gesn.^{1} mrg idque corr. A^2: *ἐμμελεῖσθαι* S M^d A^1 | *καὶ βουλεύεσθαι* Plat.: *καὶ τὸ βουλεύεσθαι* S M^d A sed *καὶ* scripsit et *το* delevit A^2 ‖ **11** *ἔσθ' ὅτῳ* Plat. | *ἢ ψυχῇ* tacite ex Plat. Gesn.^{1}, inde vulg.: *ἡ ψυχὴ* S M^d A ‖ **12** *φαῖμεν* A Plat.: *φαμὲν* S M^d | *ἴδια* M^d ut videtur Plat.: *ἰδία* S *ἴδια* ex *ἰδιὰ* corr. A^2 | *ἐκείνης* S M^d A Platonis meliores: *ἐκείνου* temere ex Platonis editione Gesn.^{1}, inde vulg. ‖ **13** *αὖ* M^d, ex *ἂν* corr. A, Plat.: *ἂν* S | *οὐ ψυχῆς* libri Stob. ut Platonis non nulli: *ψυχῆς* Plat. ‖ **14** *μάλιστά γ'* reposui ex Platone: *μάλιστ' ἂν* libri Stob. ‖ **16** *αὑτῆς* Plat.: *αὐτῆς* libri Stob. ‖ **17** *οἰκείας* S M^d Plat.: *ἰδίας* A | *Ἀδύνατον* om. Tr.

κακῇ ψυχῇ κακῶς ἄρχειν καὶ ἐπιμελεῖσθαι, τῇ δὲ ἀγαθῇ πάντα ταῦτα εὖ πράττειν. Ἀνάγκη. Οὐκοῦν ἀρετὴν μὲν ξυνεχωρήσαμεν ψυχῆς εἶναι δικαιοσύνην, κακίαν δὲ ἀδικίαν; Ξυνεχωρήσαμεν γάρ. Ἡ μὲν ἄρα δικαία ψυχὴ καὶ ὁ δίκαιος ἀνὴρ εὖ βιώσεται, κακῶς δὲ ὁ ἄδικος; Φαίνεται, ἔφη, κατὰ τὸν σὸν λόγον. Ἀλλὰ μὴν ὅ γε εὖ ζῶν μακάριός τε καὶ εὐδαίμων, ὁ δὲ μὴ τἀναντία; Πῶς γὰρ οὔ; Ὁ μὲν δίκαιος ἄρα εὐδαίμων, ὁ δ' ⟨ἄδικος⟩ ἄθλιος; Ἔστω, ἔφη. Ἀλλὰ μὴν ἄθλιόν γε οὐ λυσιτελεῖ εἶναι, εὐδαίμονα δέ. Πῶς γὰρ οὔ; Οὐδέποτε ἄρα, ὦ μακάριε Θρασύμαχε, λυσιτελέστερον ἀδικία δικαιοσύνης.

61 (9, 64 Mein.) *Ἐν ταὐτῷ* (IV p. 441 C—445 B).

Ταῦτα μὲν ἄρα, ἦν δ' ἐγώ, μόγις διανενεύκαμεν, καὶ ἡμῖν ἐπιεικῶς ὡμολόγηται, ταὐτὰ μὲν ἐν πόλει, ταὐτὰ δὲ ἐν ἑνὸς ἑκάστου τῇ ψυχῇ γένη ἐνεῖναι καὶ ἴσα τὸν ἀριθμόν. Ἔστι ταῦτα. Οὐκοῦν ἐκεῖνό γε ἤδη ἀναγκαῖον, ὡς πόλις ἦν σοφὴ καὶ ᾧ, οὕτω καὶ τὸν ἰδιώτην καὶ τούτῳ σοφὸν εἶναι; Τί μήν; Καὶ ᾧ δὴ ἀνδρεῖος ἰδιώτης καὶ ὡς, τούτῳ καὶ πόλιν ἀνδρείαν καὶ οὕτω καὶ τἄλλα πάντα πρὸς ἀρετὴν ὡσαύτως ἀμφότερα ἔχειν. Ἀνάγκη. Καὶ δίκαιον δή, [ἔφη,] ὦ Γλαύκων, οἶμαι, φήσομεν ἄνδρα εἶναι τῷ αὐτῷ τρόπῳ, ᾧπερ καὶ πόλις ἦν δικαία; Καὶ

---

2 *ἀρετὴν μὲν* S M[d] *ἀρετὴν* A sed *μὲν* supra lin. add. A[2]: *ἀρετήν γε* Plat. ‖ 3 *δικαιοσύνην* M[d] A Tr. Plat.: *δικαιοσύνης* S ‖ 8 *ἄδικος* tacite ex Platone Gesn.[1], inde vulg. idque addidit etiam A[2] mrg: om. S M[d] A ‖ 9 *ἔστω* S M[d] A: *ἔστωσαν* A[2] Plat. | *οὐ λυσιτελεῖ εἶναι* libri Stob.: *εἶναι οὐ λυσιτελεῖ* Plat. ‖ 10 *ὦ μακάριε* M[d] A Plat.: *ὦ* S Tr., inde vulg. ‖ 12 ecl. cum lemm. hab. S M A ‖ 13 *Ταῦτα μὲν — οὐδένα ἄν, ἔφη* (p. 393, 14) om. M A ‖ 14 *ὡμολόγηται* S: *ὁμολογεῖται* Plat. | *ταὐτὰ — ταὐτὰ* ex Platone Gaisford: *ταῦτα — ταῦτα* S ‖ 15 *ἑνὸς ἑκάστου* (sic Plat.) an *ἑνὶ ἑκάστῳ* (sic Platonis vulg.) scripserit Stobaeus poterit dubitari: *ἑνὶ ἑκάστου* S | articulum ante *ψυχῇ* om. Platonis haud pauci ‖ 17 *ουτω* sine spir. et acc. S ‖ 18 *τούτῳ* tacite ex Platone Gesn.[1] p. 90, inde vulg.: *τοῦτο* S ‖ 19 *τούτῳ* corr. ex *τοῦτο* S | *καὶ πόλιν καὶ ἀνδρείαν* Platonis non nulli ‖ 21 *δὴ ἔφη ὦ* S: *δή, ὦ* tacite ex Platone Gesn.[1], inde vulg. ‖ 22 *ᾧπερ* tacite ex Platone Gesn.[1], inde vulg.: *ὥσπερ* S

τοῦτο πᾶσα ἀνάγκη. Ἀλλ' οὔ πω μὴν τοῦτό γε ἐπιλελήσμεθα, ὅτι ἐκείνη γε τῷ τὸ ἑαυτοῦ ἕκαστον ἐν αὐτῇ πράττειν τριῶν ὄντων γενῶν δικαία ἦν. Οὔ μοι δοκοῦμεν, ἔφη, ἐπιλελῆσθαι. Μνημονευτέον ἄρα ἡμῖν, ὅτι καὶ ἡμῶν ἕκαστος, ὅτου ἂν τὰ αὑτοῦ ἕκαστον τῶν ἐν αὐτῷ πράττῃ, οὗτος δικαιότερός τε ἔσται καὶ τὰ αὑτοῦ πράττων. Καὶ μάλα, ἦ δ' ὅς, μνημονευτέον. Οὐκοῦν τῷ μὲν λογιστικῷ ἄρχειν προσῆκον, σοφῷ ὄντι καὶ ἔχοντι τὴν ὑπὲρ ἁπάσης τῆς ψυχῆς προμήθειαν; τῷ δὲ θυμοειδεῖ ὑπηκόῳ εἶναι ξυμμάχῳ τούτου; Πάνυ γε. Ἆρ' οὖν οὐχ, ὥσπερ ἐλέγομεν, μουσικῆς καὶ γυμναστικῆς κρᾶσις σύμφωνα αὐτὰ ποιήσει, τὸ μὲν ἐπιτείνουσα καὶ τρέφουσα λόγοις τε καλοῖς καὶ μαθήμασι, τὸ δ' ἀνιεῖσα καὶ παραμυθουμένη, ἡμεροῦσα ἁρμονίᾳ τε καὶ ῥυθμῷ; Κομιδῇ γε, ἦ δ' ὅς. Καὶ τούτω δὴ οὕτω τραφέντε καὶ ὡς ἀληθῶς τὰ αὑτῶν μαθόντε καὶ παιδευθέντε προστήσετον τοῦ ἐπιθυμητικοῦ, ὃ δὴ πλεῖστον τῆς ψυχῆς ἐν ἑκάστῳ ἐστὶ καὶ χρημάτων φύσει ἀπληστότατον· ὃ τηρήσετον μὴ τῷ πίμπλασθαι τῶν περὶ τὸ σῶμα καλουμένων ἡδονῶν πολὺ καὶ ἰσχυρὸν γενόμενον οὐκ αὖ τὰ αὑτοῦ

1 *οὔπω* S ut aliquot Platonis: *οὔ πῃ* Plat. || **5** *ὅτου ἂν τὰ αὑτοῦ ἕκαστον τῶν ἐν αυτῷ* (sine spir.) S et sic fere Plat.: *ὅταν τὰ αὑτοῦ ἐν αὐτῷ* temere ex ed. Platonis Gesn.[1], inde vulg. || **6** *οὗτος* reposui ex Platone: *οὕτω* S | *δικαιότερός τε* S: *δίκαιός τε* Plat. || **8** *λογιστικῷ* S Plat.: *λογικῷ* Tr. p. 74, inde vulg. | *προσῆκον* S: *προσήκει* Plat. || **9** *τῆς ψυχῆς* S Plat.: *ψυχῆς* Tr., inde vulg. || **10** *εἶναι καὶ ξυμμ.* tacite ex Platone Gesn.[1], inde vulg. || **13** *μαθήμασιν* S || **14** *καὶ παραμυθουμένη* S: *παραμυθουμένη* Plat. | *ἡμεροῦσα* S Plat.: *καὶ ἡμεροῦσα* ex ed. Plat. Gesn.[1], inde vulg. || **16** *αὑτῶν* reposui ex Platone: *αὐτῷ* S; *αὐτὰ* Tr., inde vulg. | *μαθόντε* et *παιδευθέντε* ex corr. S | *προστήσετον* Tr. Plat.: *προστήσαιτον* S; *προστατήσετον* ci. Bekker *προστήσεσθον* Schneider || **17** *πλεῖστον* revocavi ex S Plat.: *κρεῖττον* Tr., inde vulg. || **18** *ἐστὶν* S | *φύσει* om. Tr. | *τηρήσετον* Tr. Plat.: *τηρήσαιτον* S || **19** *τῷ* ex Platone tacite Gaisford: *το* S | *τῶν περὶ τὸ* tacite ex Platone Gesn.[1], inde vulg.: *τὸ περὶ τῶν* S || **20** *οὐκ αὖ* reposui ex S Plat.: *οὐ* temere ex ed. Plat. Gesn.[1], inde vulg. | *αὑτοῦ* Plat.: *αὐτοῦ* S

πράττῃ, καταδουλώσασθαι καὶ ἄρχειν ἐθέλῃ ὧν οὐ προσῆκεν αὐτῷ γένει, καὶ ξύμπαντα τὸν βίον πάντων ἀνατρέψῃ. Πάνυ μὲν οὖν, ἔφη. Ἆρ' οὖν, ἦν δ' ἐγώ, καὶ τοὺς ἔξωθεν πολεμίους τούτω ἂν κάλλιστα φυλαττοίτην ὑπὲρ ἁπάσης τῆς ψυχῆς τε καὶ τοῦ σώματος, τὸ μὲν βουλευόμενον, τὸ δὲ προπολεμοῦν ἑπόμενον τῷ ἄρχοντι καὶ τῇ ἀνδρείᾳ ἐπιτελοῦν τὰ βουλευθέντα; Ἔστι ταῦτα. Καὶ ἀνδρεῖον δή, οἶμαι, τούτῳ τῷ μέρει καλοῦμεν ἕνα ἕκαστον, ὅταν αὐτοῦ τὸ θυμοειδὲς διασῴζῃ διά τε λυπῶν καὶ ἡδονῶν τὸ ὑπὸ τοῦ λόγου παραγγελθὲν δεινόν τε καὶ μή. Ὀρθῶς γ', ἔφη. Σοφὸν δέ γε ἐκείνῳ τῷ σμικρῷ μέρει, τῷ ὃ ἦρχέ τε ἐν αὐτῷ καὶ ταῦτα παρήγγελλεν, ἔχον αὖ κἀκεῖνο ἐπιστήμην ἐν αὐτῷ τὴν τοῦ ξυμφέροντος ἑκάστῳ τε καὶ ὅλῳ τῷ κοινῷ σφῶν αὐτῶν τριῶν ὄντων. Πάνυ μὲν οὖν. Τί δαί; σώφρονα οὐ τῇ φιλίᾳ καὶ τῇ ξυμφωνίᾳ τῇ αὐτῶν τούτων, ὅταν τό τε ἄρχον καὶ τὼ ἀρχομένω τὸ λογιστικὸν ὁμοδοξῶσι δεῖν ἄρχειν καὶ μὴ

---

1 πράττῃ ex Platone Gaisford: πράττει S | ἀλλὰ καταδ. tacite ex Platone Gesn.[1], inde vulg.; 'ἀλλὰ glossatoris est ductum male ex οὐκ αὖ' Buecheler | καταδουλώσασθαι sed λ ex σ S | ἐθέλῃ Gaisford: ἐθέλει S; ἐπιχειρήσῃ Plat. || **2** προσῆκεν αὐτῶ γένει S: προσῆκον (alii προσῆκεν) αὐτῷ γένει vel γενῶν libri Plat.; προσῆκον αὐτῷ γε ᾖ tacite ex ed. Plat. Gesn.[1], inde vulg. || **3** ἀνατρέψῃ Gaisford: ἀνατρέψει S || **4** τούτω S Plat.: τοῦτο Tr., inde vulg. | φυλαττοίτην ex Platone Gaisford: φυλάττοι τὴν S || **6** βουλευόμενον S Plat.: κελευόμενον Tr., inde vulg. | προπολεμοῦν ex Platone Gaisford: προσπολεμοῦν S | ἑπόμενον δὲ τῷ ἄ. tacite ex Platone Gesn.[1], inde vulg. || **7** ἐπιτελοῦν τὰ Tr. Plat.: ἐπιτελοῦντα S || **10** τοῦ λόγου tacite ex Platone Gesn.[1], inde vulg.: τὸν λόγον S || **11** γ' S: γε Tr. || **12** τῷ ὃ recepi ex Platone: τως (sic) S; πῶς Tr., inde vulg. | ἦρχέ τε Tr.: ἦρχέν τε S || **13** αὐτῷ Plat.: αὐτῶ S || **14** ἑκάστῳ τε dedi ex Platone: ἑκάστοτε S || **15** δαὶ S: δέ tacite ex Platone Gesn.[1] p. 92, inde vulg. | σώφρονα οὐ ex Platone Gaisford: σῶφρον ὤιον S σῶφρον ᾧον Tr., inde vulg. || **16** τῇ ante ξυμφ. om. Plat. | τω ἀρχομένω ex Platone Gaisford: τ̃ ἀρχομεν̃ (i. e. ῳ) S ut Platonis vulg. τῶν ἀρχομένων Tr. || **17** τὸ λογιστικὸν ὁμοδοξῶσι (ὁμοδο in ras. S) δεῖν ἄρχειν S Tr. Plat.: ὁμοδοξῶσιν ὡς δεῖν ἄρχειν τὸ λογιστικὸν temere Gesn.[1] ex ed. Plat., inde vulg.

στασιάζωσιν αὐτῷ; Σωφροσύνη γοῦν, ἦ δ' ὅς, οὐκ ἄλλο ⟨τί⟩ ἐστιν ἢ τοῦτο, πόλεώς τε καὶ ἰδιώτου. Ἀλλὰ μὲν δὴ δίκαιός γε, ᾧ πολλάκις λέγομεν, τούτῳ καὶ οὕτως ἔσται. Πολλὴ ἀνάγκη. Τί οὖν; εἶπον ἐγώ· μή πη ἡμῖν ἀπαμβλύνεται ἄλλο τι δικαιοσύνη δοκεῖν εἶναι ἢ ὅπερ ἐν τῇ πόλει ἐφάνη; Οὐκ ἔμοιγε, ἔφη, δοκεῖ. Ὧδε γάρ, ἦν δ' ἐγώ, πάντα παντάπασιν ἂν βεβαιωσαίμεθα, εἴ τι ἡμῶν ἔτι ἐν τῇ ψυχῇ ἀμφισβητεῖ, τὰ φορτικὰ αὐτῷ προσφέροντες. Ποῖα δή; Οἷον εἰ δέοι ἡμᾶς ἀνομολογεῖσθαι περί τε ἐκείνης τῆς πόλεως καὶ τοῦ ἐκείνῃ ὁμοίως πεφυκότος τε καὶ τεθραμμένου ἀνδρός, εἰ δοκεῖ ἂν παρακαταθήκην χρυσίου ἢ ἀργυρίου δεξάμενος ὁ τοιοῦτος ἀποστερῆσαι, τίνα ἂν οἴει οἰηθῆναι τοῦτο αὐτὸν δρᾶσαι μᾶλλον ἢ ὅσοι μὴ τοιοῦτοι; Οὐδένα ἄν, ἔφη. Οὐκοῦν καὶ ἱεροσυλιῶν καὶ κλοπῶν καὶ προδοσιῶν, ἢ ἰδίᾳ ἑταίρων ἢ δημοσίᾳ πόλεων, ἐκτὸς ἂν οὗτος εἴη; Ἐκτός. Καὶ μὴν οὐδ' ὁπωστισγεοῦν ἄπιστος ἢ κατὰ ὅρκους, ἢ κατὰ τὰς ἄλλας ὁμολογίας. Πῶς γὰρ ἄν; Μοιχεῖαί γε μὴν καὶ γονέων ἀμέλειαι καὶ θεῶν ἀθεραπευσίαι παντὶ ἄλλῳ μᾶλλον ἢ τῷ τοιούτῳ προσήκουσιν. Παντὶ μέντοι, ἔφη. Οὐκοῦν τούτων πάντων αἴτιον, ὅτι αὐτοῦ τῶν ἐν αὐτῷ ἕκαστον ⟨τὰ⟩ αὐτοῦ πράττει ἀρχῆς τε πέρι καὶ τοῦ ἄρχεσθαι; Τοῦτο μὲν οὖν, καὶ οὐδὲν ἄλλο. Ἔτι οὖν ἑτε-

---

1 *στασιάζωσιν* reposui ex Platone: *στασιάσωσιν* S ‖ **2** *τί* tacite ex Platone addidit Gesn.[1], inde vulg. ‖ **3** *ὧ* (*ᾧ* Tr.) S Plat.: *ὡς* temere ex ed. Plat. Gesn.[1], inde vulg. ‖ **4** *πολὺ ἀ.* Tr. | *μὴ πῇ* S ‖ **7** *πάντα παντάπασιν* S: *παντάπασιν* Plat. ‖ **11** *εἰ δοκεῖ* recepi ex Platone: *ἐδόκει* S ‖ **14** *Οὐκοῦν καὶ ἱερ.*] hinc initium capiunt M A ‖ **15** *ἱεροσυλιῶν* M^d A Plat.: *ἱεροσυλειῶν* S | *ἰδίᾳ ἑταίρων* scripsi ex Platone: *ἰδιαίτερον* S M^d A ‖ **17** *ὁπωστισγεοῦν* fere libri Stob.: *ὁπωστιοῦν* Plat. | *κατὰ ὅρκους* dedi ex Platone: *κατὰ* (*κατὰ* compend. S) *οἴκους* S M^d A; *κατὰ τοὺς ὅρκους* tacite Gesn.[1], inde vulg. ‖ **18** *γε μὴν* S M^d A sed *γε* supra lin. S: *μὴν* Plat. ‖ **20** *προσήκουσιν* S ‖ **21** *αὐτοῦ τῶν* scripsi sic ut Bekker in Platone: *αὖ τοῦτο* S *αὖ τούτων* M^d A; *αὐτὸ τῶν* tacite ex ed. Plat. Gesn.[1], inde vulg. ‖ **22** *τὰ* tacite ex Platone addidit Gesn.[1], inde vulg. | *αὖ τοῦ* M^d ‖ **23** *μὲν οὖν καὶ* S M^d A Plat.: *μὲν δὴ οὖν* Tr. p. 75, inde vulg. | *Ἔτι τι οὖν* minus apte Bekker in Platone

ρον ζητεῖς δικαιοσύνην εἶναι ἢ ταύτην τὴν δύναμιν, ἣ τοὺς τοιούτους ἄνδρας τε παρέχεται καὶ πόλεις; Μὰ Δί', ἦ δ' ὅς, οὐκ ἔγωγε. Τέλεον ἄρα ἡμῖν τὸ ἐνύπνιον ἀποτετέλεσται, ὃ ἔφαμεν ὑποπτεῦσαι, ὡς εὐθὺς ἀρχόμενοι τῆς πόλεως οἰκίζειν κατὰ θεόν τινα εἰς ἀρχήν τε καὶ τύπον τινὰ τῆς δικαιοσύνης κινδυνεύομεν ἐμβεβηκέναι. Παντάπασι μὲν οὖν. Τὸ δέ γε ἦν ἄρα, ὦ Γλαύκων, δι' ὃ καὶ ὠφελεῖ, εἴδωλόν τι τῆς δικαιοσύνης, τὸ τὸν μὲν σκυτοτομικὸν φύσει ὀρθῶς ἔχειν σκυτοτομεῖν καὶ ἄλλο μηδὲν πράττειν, τὸν δὲ τεκτονικὸν τεκταίνεσθαι, καὶ τὰ ἄλλα δὴ οὕτω. Φαίνεται. Τὸ δέ γε ἀληθὲς τοιοῦτόν τι ἦν, ὡς ἔοικεν, ἡ δικαιοσύνη, ἀλλ' οὐ [τι] περὶ τὴν ἔξω πρᾶξιν τῶν αὑτοῦ, ἀλλὰ περὶ τὴν ἐντὸς ὡς ἀληθῶς περὶ ἑαυτὸν καὶ τὰ αὑτοῦ, μὴ ἐάσαντα τὰ ἀλλότρια πράττειν ἕκαστον ἐν ἑαυτῷ μηδὲ πολυπραγμονεῖν πρὸς ἄλληλα τὰ ἐν τῇ ψυχῇ γένη, ἀλλὰ τῷ ὄντι τὰ οἰκεῖα ἐνθυμούμενον καὶ ἄρξαντα αὐτὸν αὑτοῦ καὶ κοσμήσαντα καὶ φίλον γενόμενον ἑαυτῷ καὶ συναρμόσαντα ⟨τρία ὄντα⟩ ὥσπερ ὅρους, τρεῖς ἁρμονίας ἀτεχνῶς νεάτης τε καὶ ὑπάτης καὶ μέσης, καὶ εἰ ἄλλ' ἄττα μεταξὺ τυγχάνει ὄντα, πάντα ταῦτα ξυνδήσαντα καὶ παντάπασιν ἕνα γενόμενον ἐκ πολλῶν, σώφρονα καὶ ἡρμοσμένον, οὕτω δὴ πράττειν ἤδη, ἐάν τι πράττῃ ἢ περὶ χρημάτων κτῆσιν ἢ περὶ σώ-

3 *ἦ δ' ὅς* S Plat.: *δ' ἠδ' ὅς* M[d] *ἦν δ' ὅς* A sed *ἦν* supra lin. add. A[2]; *δ* istud ante *ἠδ'* in M[d] fuerat terminatio vocis *ΔΙΑ* ‖ **4** *ἀρχόμενος* (ι supra lin.) A ‖ **7** *τ* (ο supra lin.) *δέ γε* Tr. ‖ **10** *τεκτεύεσθαι* A ‖ **11** *τοιοῦτόν τι* libri Stob.: *τοιοῦτο μέν τι* Plat. ‖ **12** *ἀλλ' οὐ* tacite ex Platone Gesn.[1], inde vulg.: *ἀλλό τι* S *ἄλλό τι* M[d] *ἀλλ' ὅτι* A[1] Tr. *ἄλλο τι* A[2] ex em. ‖ **13** *τῶν αὑτοῦ* S M[d] sed *τῶν* corr. ex *τὴν* S[1] *τῶν* (*ἢν* supra lin.) *αὑτοῦ* A sed *ἢν* A[2] ut videtur *τὴν αὑτοῦ* Tr. ‖ **14** *περὶ αὑτὸν καὶ τὰ αὑτοῦ* M[d] ‖ **16** *ἐνθυμούμενον* S M[d] A: *εὖ θέμενον* Plat. ‖ **17** *αὑτοῦ* S M[d] | *κοσμήσαντα* ex *κομίσαντα* corr. A[3] ‖ **18** *τρία ὄντα* tacite ex Platone addidit Gesn.[1], inde vulg. ‖ **19** *καὶ* ante *ὑπάτης* om. A ‖ **20** *ὄντα* S M[d] Plat.: *ἐόντα* (sic) A ‖ **21** *ἕνα γενόμενον ἐκ πολλῶν σώφρονα* S M[d] Plat.: *ἐκ πολλῶν σώφρονα γενόμενον* A; *ἕνα γενόμενον, καὶ ἐκ πολλῶν σώφρονα* Tr., inde vulg.

ματος θεραπείαν ἢ καὶ πολιτικόν τι ἢ περὶ τὰ ἴδια ξυμβόλαια, ἐν πᾶσι τούτοις ἡγούμενον καὶ ὀνομάζοντα δικαίαν μὲν καὶ καλὴν πρᾶξιν, ἣ ἂν ταύτην τὴν ἕξιν σώζῃ τε καὶ συναπεργάζηται, σοφίαν δὲ τὴν ἐπιστατοῦσαν ταύτῃ τῇ πράξει ἐπιστήμην, ἄδικον δὲ πρᾶξιν, ἣ ἂν ἀεὶ ταύτην λύῃ, ἀμαθίαν δὲ τὴν ταύτῃ αὖ ἐπιστατοῦσαν δόξαν. Παντάπασιν, ἦ δ' ὅς, ὦ Σώκρατες, ἀληθῆ λέγεις. Εἶεν, ἦν δ' ἐγώ· τὸν μὲν δίκαιον καὶ ἄνδρα καὶ πόλιν καὶ δικαιοσύνην, ὃ τυγχάνει ἐν αὐτοῖς ὄν, εἰ φαῖμεν εὑρηκέναι, οὐκ ἂν πάνυ τι, οἶμαι, δόξαιμεν ψεύδεσθαι. Μὰ Δί' οὐ μέντοι, ἔφη. Φῶμεν ἄρα; Φῶμεν. Ἔστω δή, ἦν δ' ἐγώ· μετὰ γὰρ τοῦτο σκεπτέον, οἶμαι, ἀδικίαν. Δῆλον ⟨ὅτι⟩. Οὐκοῦν στάσιν τινὰ αὖ τριῶν ὄντων τούτων δεῖ αὐτὴν εἶναι καὶ πολυπραγμοσύνην ⟨καὶ ἀλλοτριοπραγμοσύνην⟩ καὶ ἐπανάστασιν μέρους τινὸς τῷ ὅλῳ τῆς ψυχῆς, ἵνα ἄρχῃ ἐν αὐτῇ οὐ προσῆκον, ἀλλὰ τοιούτου ὄντος φύσει, οἵου πρέπειν αὐτῷ δουλεύειν τοῦ δ' αὖ δουλεύειν ἀρχικοῦ γένους ὄντι· τοιαῦτ' ἄττα, οἶμαι, φήσομεν καὶ τὴν τούτων ταραχὴν καὶ πλάνην εἶναι

---

1 *θεωρίαν* (supra lin. *ραπείαν*) S, corr. S[1] | *περὶ* ante *πολιτικόν τι* om. S M[d] A sicut Platonis plurimi: tacite ex ed. Plat. addidit Gesn.[1], inde vulg. ‖ 4 *σώζῃ τε* tacite ex Platone Gaisford: *σώζηται* S M[d] A ‖ 5 *ἣ* tacite ex Platone Gesn.[1], inde vulg.: *ἣν* S M[d] A *ἦν* (om. *ἂν*) Tr. ‖ 6 *λύῃ* S Plat.: *λύει* M[d] A | *ἀμαθίαν δὲ* dedi ex Platone: *ἀμαθία ὡς* S M[d] A; *ἀμαθίαν τε ὡς* Gesn.[1], inde vulg. | *ταύτῃ* ex corr. S | *αὖ* A Plat.: *ἂν* S M[d] Tr., inde vulg. ‖ 7 *ὦ* supra lin. A[2] ‖ 9 *ὃ — ὄν* ex Platone Gaisford (*ὃ* iam Gesn.[1]): *ὃς — ὢν* S M[d] A nisi quod *ὦν* M[d] et *ὢν* ex *ὦν* corr. A | *φαῖμεν* tacite ex Platone Gesn.[1], inde vulg.: *φαμὲν* S M[d] A ‖ 10 *τι* S M[d] Plat.: *τοι* A ‖ 12 *ἔστι* operarius Gesn.[1], inde vulg. ‖ 13 *ὅτι* addidi ex Platone ‖ 14 *καὶ ἀλλοτριοπραγμοσύνην* addidi ex Platone; nihil nisi *ἀλλοτριοπραγμοσύνην* add. Gesn.[1], inde vulg. ‖ 17 *οἵου* tacite ex Platone Gesn.[1], inde vulg.: *οὐ* S M[d] A | *δουλεύειν τοῦ δ' αὖ δουλεύειν ἀρχικοῦ* S M[d] A (nisi quod ante *τοῦ δ' αὖ* add. *χικοῦ* litteris *ἀρ* erasis A) et sic Platonis aliquot: *δουλεύειν τὸ* (*τῷ* Gaisford) *τοῦ ἀρχικοῦ* tacite ex ed. Plat. Gesn.[1], inde vulg. ʻverum puto *δουλεύειν, τοῦ δ' οὐ δουλεύειν ἀ γ. ὄντι*ʼ Buecheler ‖ 18 *ὄντι* S M[d] Plat.: *ὀντ///* (supra lin. *ος*) A *ὄντος* Tr. p. 76 ‖ 19 *τούτων* (supra lin. *ου*) corr. A[2] ex Tr.

τήν τε ἀδικίαν καὶ ἀκολασίαν καὶ δειλίαν καὶ ἀμαθίαν καὶ ξυλλήβδην πᾶσαν κακίαν. Ταὐτὰ μὲν οὖν ταῦτα, ἔφη. Οὐκοῦν, ἦν δ' ἐγώ, καὶ τὸ ἄδικα πράττειν καὶ τὸ ἀδικεῖν καὶ αὖ τὸ δίκαια ποιεῖν, πάντα ταῦτα τυγχάνει ὄντα κατάδηλα ἤδη σαφῶς, ἥπερ καὶ ἡ ἀδικία καὶ δικαιοσύνη; Πῶς δή; Ὅτι, ἦν δ' ἐγώ, τυγχάνει οὐδὲν διαφέροντα τῶν ὑγιεινῶν τε καὶ νοσωδῶν, ὡς ἐκεῖνα ἐν σώματι, ταῦτα ἐν ψυχῇ. Πῇ; ἔφη. Τὰ μέν που ὑγιεινὰ ὑγίειαν ἐμποιεῖ, τὰ δὲ νοσώδη νόσον. Ναί. Οὐκοῦν καὶ τὸ μὲν δίκαια πράττειν δικαιοσύνην ἐμποιεῖ, τὸ δὲ ἄδικα ἀδικίαν; Ἀνάγκη. Ἔστι δὲ τὸ μὲν ὑγίειαν ἐμποιεῖν τὰ ἐν τῷ σώματι κατὰ φύσιν καθιστάναι κρατεῖν τε καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων, τὸ δὲ νόσον παρὰ φύσιν ἄρχειν τε καὶ ἄρχεσθαι ἄλλο ὑπ' ἄλλου. Ἔστι γάρ. Οὐκοῦν αὖ, ἔφην, τὸ δικαιοσύνην ἐμποιεῖν τὰ ἐν τῇ ψυχῇ κατὰ φύσιν καθιστάναι κρατεῖν ⟨τε⟩ καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων, τὸ δὲ ἀδικίαν παρὰ φύσιν ἄρχειν τε καὶ ἄρχεσθαι ⟨ἄλλο⟩ ὑπ' ἄλλου; Κομιδῇ, ἔφη. Ἀρετὴ μὲν ἄρα, ὡς ἔοικεν, ὑγίειά τέ τις ἂν εἴη καὶ κάλλος καὶ εὐεξία ψυχῆς, κακία δὲ νόσος τε καὶ αἶσχος καὶ ἀσθένεια. Ἔστιν οὕτως. Ἆρ' οὖν οὐ καὶ τὰ μὲν καλὰ ἐπιτηδεύματα εἰς ἀρετῆς κτῆσιν φέρει, τὰ δὲ αἰσχρὰ εἰς κακίας; Ἀνάγκη. Τὸ δὴ λοι-

---

2 v. *Ταὐτὰ μὲν οὖν* — 17 *ἄλλο ὑπ' ἄλλου* om. MA | *ταὐτὰ* dedi ex Platone: *αὐτὰ* S; *ταῦτα* ex ed. Plat. Gesn.[1], inde vulg. | *ταῦτα* reposui ex S Plat.: *ταύτῃ* ex ed. Plat. Gesn.[1], inde vulg. ‖ **4** *πάντα ταῦτα* S: *ταῦτα πάντα* Plat. ‖ **5** *εἴπερ καὶ ἡ ἀδικία τε καὶ δ.* Plat. ‖ **7** *ἐν ψυχῇ* S Plat.: *ἐν τῇ ψυχῇ* Tr., inde vulg. | *ἐμποιεῖν* temere ex ed. Plat. Gesn.[1], inde vulg. ‖ **10** *τὸ δὲ* tacite ex Platone Gesn.[1], inde vulg.: *τὰ δὲ* S ‖ **11** *ἐμποιεῖν* Plat. *ἐμποιεῖν* S: *ποιεῖν* Tr. Platonis vulg. ‖ **12** *καθιστάναι* — 13 *παρὰ φύσιν* om. Tr. ‖ **13** *νόσον* tacite ex Platone Gesn.[1] p. 94, inde vulg.: *νόσων* S ‖ **14** *ἄλλο ὑπ' ἄλλου* tacite ex Platone Gesn.[1], inde vulg.: *ἀλλ' οὐχ ὑπάλλου* S ‖ **16** *τε* tacite ex Platone addidit Gesn.[1], inde vulg. ‖ **17** *ἄλλο* tacite ex Platone addidit Gesn.[1], inde vulg. ‖ **18** a verbis *Κομιδῇ, ἔφη* rursus initium capiunt MA lemmate *τοῦ αὐτοῦ* praemisso | *ὑγίεια* A: *ὑγεία* S *ὕγεια* M[d] ‖ **21** *οὖν οὐ* M[d] A Plat.: *οὖν* S

πὸν ἤδη, ὡς ἔοικεν, ἡμῖν ἐστὶ σκέψασθαι, πότερον αὖ λυσιτελεῖ δίκαιά τε πράττειν καὶ καλὰ ἐπιτηδεύειν καὶ εἶναι δίκαιον, ἐάν τε λανθάνῃ ἐάν τε μὴ τοιοῦτος ὤν, ἢ ἀδικεῖν τε καὶ ἄδικον εἶναι, ἐάν περ μὴ διδῷ δίκην μηδὲ βελτίων γίγνηται κολαζόμενος. Ἀλλά, ἔφη, ὦ Σώκρατες, γελοῖον ἔμοιγε φαίνεται τὸ σκέμμα γίγνεσθαι ἤδη, εἰ τοῦ μὲν σώματος τῆς φύσεως διαφθειρομένης δοκεῖ οὐ βιωτὸν εἶναι οὐδὲ μετὰ πάντων σιτίων τε καὶ ποτῶν καὶ παντὸς πλούτου καὶ πάσης ἀρχῆς, τῆς δὲ αὐτοῦ τούτου ᾧ ζῶμεν φύσεως ταραττομένης τε καὶ διαφθειρομένης βιωτὸν ἄρα ἔσται, ἄνπερ τις ποιῇ ὃ ἂν βουληθῇ ἄλλο πλὴν τοῦτο, ὁπόθεν κακίας μὲν καὶ ἀδικίας ἀπαλλαγήσεται, δικαιοσύνην δὲ καὶ ἀρετὴν κτήσεται, ἐπειδή περ ἐφάνη γε ὄντα ἑκάτερα οἷα ἡμεῖς διεληλύθαμεν. ⟨Γελοῖον γάρ, ἦν δ᾽ ἐγώ· ἀλλ᾽ ὅμως ἐπείπερ ἐνταῦθα ἐληλύθαμεν,⟩ ὅσον οἷόν τε σαφέστατα κατιδεῖν ὅτι ταῦτα οὕτως ἔχει, οὐ χρὴ ἀποκάμνειν. Ἥκιστα, νὴ τὸν Δί᾽, ἔφη, πάντων ἀποκνητέον.

62 (9, 65 Mein.) *Πλάτωνος πολιτείας θ′* (IX p. 588 B).

Εἶεν δή, εἶπον· ἐπειδὴ ἐνταῦθα λόγου γεγόναμεν, ἀναλάβωμεν τὰ πρῶτα λεχθέντα, δι᾽ ἃ δεῦρ᾽ ἥκομεν· ἦν δέ που λεγόμενον λυσιτελεῖν ἀδικεῖν τῷ τελέως μὲν ἀδίκῳ, δοξαζομένῳ δὲ δικαίῳ. ἢ οὐχ οὕτως ἐλέχθη; Οὕτω μὲν

---

1 *ἡμῖν* SA Plat.: *ἐν ἡμῖν* M^d | *αὖ* SA Plat.: *οὖν αὖ* M^d || **3** *λανθάνῃ* S M^d Plat.: *λανθάνει* A *μανθάνῃ* Tr. || **5** *μηδὲ* (vel *μὴ δὲ*) S M^d Plat.: *καὶ* A || **6** *τελοῖον* (Γ supra) A || **9** *αὐτοῦ τούτου* tacite ex Platone Gesn.[1], inde vulg.: *αὐτοῦ τοῦ* S A *αὖ τούτου* M^d || **10** *τε* om. Platonis non nulli || **11** *ἐάν περ* Plat. || **13** *ἐπειδή περ* Plat.: *ἐπειδή γε* libri Stob. || **14** *οἷα* Plat.: *οἱ δ᾽* S *οἵ δ᾽* A, a Platone discrepare M non notatur collatione Dindorfiana || **15** *γελοῖον — ἐληλύθαμεν* ex Platone addidit Gesn.[1], inde vulg.: propter homoeoteleuton interciderunt in S M^d A || **17** *δία* A || **18** *ἀποκνητέον* S M^d A libri Plat.: *ἀποκμητέον* Bekker || **19** ecl. cum lemm. hab. S, om. M A; *Πλάτωνος πολιτείας θ′* scripsi: *πλατ^{ω} πολι^{τ} $\bar{Θ}$* S *Πλάτωνος τῇ ἐν πολιτείᾳ* Tr. p. 77 *Πλάτωνος τῇ θ Πολιτείᾳ* Gaisford

οὖν. Νῦν δή, ἔφην, αὐτῷ διαλεγώμεθα, ἐπειδὴ διωμολογησάμεθα τό τε ἀδικεῖν καὶ τὸ δίκαια πράττειν ἣν ἑκάτερον ἔχει δύναμιν. Πῶς; ἔφη. Εἰκόνα πλάσαντες τῆς ψυχῆς λόγῳ, ἵνα εἰδῇ ὁ ἐκεῖνα λέγων οἷα ἔλεγεν. Ποίαν τινά; ἦ δ' ὅς. Τῶν τοιούτων τινά, ἦν δ' ἐγώ, οἷαι μυθολογοῦνται παλαιαὶ γενέσθαι φύσεις, ἥ τε Χιμαίρας καὶ ἡ Σκύλλης καὶ Κερβέρου, καὶ ἄλλαι τινὲς συχναὶ λέγονται ξυμπεφυκυῖαι ἰδέαι πολλαὶ εἰς ἓν γενέσθαι. Λέγονται γάρ, ἔφη. Πλάττε τοίνυν μίαν μὲν ἰδέαν θηρίου ποικίλου καὶ πολυκεφάλου, ἡμέρων δὲ θηρίων ἔχοντος κεφαλὰς κύκλῳ καὶ ἀγρίων, καὶ δυνατοῦ μεταβάλλειν καὶ φύειν ἐξ αὑτοῦ πάντα ταῦτα. Δεινοῦ πλάστου, ἔφη, τὸ ἔργον· ὅμως δ' ἐπειδὴ εὐπλαστότερον κηροῦ καὶ τῶν τοιούτων λόγος, πεπλάσθω. Μίαν δὴ τοίνυν ἄλλην ἰδέαν λέοντος, μίαν δὲ ἀνθρώπου· πολὺ δὲ μέγιστον ἔστω τὸ πρῶτον καὶ δεύτερον τὸ δεύτερον. Ταῦτα, ἔφη, ῥᾴω· καὶ πέπλασται. Σύναπτε τοίνυν αὐτὰ εἰς ἓν τρία ὄντα, ὥστε πῃ ξυμπεφυκέναι ἀλλήλοις. Συνῆπται, ἔφη. Περίπλασον δὴ αὐτοῖς ἔξωθεν ἑνὸς εἰκόνα, τὴν τοῦ ἀνθρώπου, ὥστε τῷ μὴ δυναμένῳ τὰ ἐντὸς ὁρᾶν, ἀλλὰ τὸ ἔξω μόνον ἔλυτρον ὁρῶντι ἓν ζῷον φαίνεσθαι, ἄνθρωπον. Περιπέπλασται, ἔφη. Λέγωμεν δὴ τῷ λέγοντι ὡς λυσιτελεῖ τούτῳ ἀδικεῖν τῷ ἀνθρώπῳ, δίκαια δὲ πράττειν οὐ ξυμφέρει, ὅτι οὐδὲν ἄλλο φησὶν ἢ λυσιτελεῖν αὐτῷ τὸ παντοδαπὸν θηρίον εὐωχοῦντι ποιεῖν ἰσχυρὸν καὶ τὸν λέοντα

1 *νῦν δὴ — δίκαιον ἐπαινῶν* (p. 399, 15) adfert Eusebius praep. evang. XII 46 ‖ **5** *τινά* Plat. Eus.: *τίνα* S ‖ **8** *ἰδέαι* ut 9 et 14 *ἰδέαν* tacite ex Platone Gesn.[1] p. 94: *εἰδέαι* et *εἰδέαν* S ‖ **9** *πλάττε* tacite ex Platone Gesn.[1], inde vulg.: *πράττε* S ‖ **12** *αὑτοῦ* Plat.: *αὐτοῦ* S ‖ **13** *εὐπλαστότερον* tacite ex Platone Gesn.[1], inde vulg.: *μυθοπλαστότερον* S; *μῦθος πλαστότερον* latere videtur Gaisfordo, mihi *εὐπλαστότερον* (superscr. *μῦθος*), ut interpretem deprendere videar ‖ **14** *ὁ λόγος* Eus. ‖ **15** *δὲ ανου* S: *δ' ἀνου* Tr. p. 77, inde vulg. ‖ **20** *ἀλλὰ τὸ* ex Platone Gaisford: *ἀλλά τι* S; *ἀλλ' ἀπ'* Tr. *ἀλλὰ τῷ* Gesn.[2] p. 120, inde vulg. ‖ **23** *τούτῳ* Plat.: *τοῦτο̃* S; *τοῦτο* Tr., inde vulg. ‖ **24** *διότι* Eus. cf. Iamblichus protrept. p. 31, 19 sqq. Pist.

καὶ τὰ περὶ τὸν λέοντα, τὸν δὲ ἄνθρωπον λιμοκτονεῖν καὶ ποιεῖν ἀσθενῆ, ὥστε ἕλκεσθαι ὅπῃ ἂν ἐκείνων ὁπότερον ἄγῃ, καὶ μηδὲν ἕτερον ἑτέρῳ συνεθίζειν μηδὲ φίλον ποιεῖν, ἀλλ᾽ ἐᾶν αὐτὰ ἐν αὑτοῖς δάκνεσθαί τε καὶ μαχόμενα ἐσθίειν ἄλληλα. Παντάπασι γάρ, ἔφη, ταῦτ᾽ ἂν λέγοι ὁ τὸ ἀδικεῖν ἐπαινῶν. Οὐκοῦν αὖ ὁ τὰ δίκαια λέγων λυσιτελεῖν φαίη ἂν δεῖν ταῦτα ⟨πράττειν⟩ καὶ ταῦτα λέγειν, ὅθεν τοῦ ἀνθρώπου ὁ ἐντὸς ἄνθρωπος ἔσται ἐγκρατέστατος, καὶ τοῦ πολυκεφάλου θρέμματος ἐπιμελήσεται ὥσπερ γεωργός, τὰ μὲν ἥμερα τρέφων καὶ τιθασσεύων, τὰ δ᾽ ἄγρια ἀποκωλύων φύεσθαι, ξύμμαχον ποιησάμενος τὴν τοῦ λέοντος φύσιν, καὶ κοινῇ πάντων κηδόμενος, φίλα ποιησάμενος ἀλλήλοις τε καὶ αὑτῷ, οὕτω θρέψει; Κομιδῇ γὰρ αὖ λέγει ταῦτα ὁ τὸ δίκαιον ἐπαινῶν. Κατὰ πάντα δὴ τρόπον ὁ μὲν τὰ δίκαια ἐγκωμιάζων ἀληθῆ ἂν λέγοι, ὁ δὲ τὰ ἄδικα ψεύδοιτο. πρὸς γὰρ ἡδονὴν καὶ πρὸς εὐδοξίαν καὶ ὠφέλειαν σκοπουμένῳ ὁ μὲν ἐπαινέτης τοῦ δικαίου ἀληθεύει, ὁ δὲ ψέκτης οὐδὲν ὑγιὲς οὐδὲ εἰδὼς ψέγει ὅ τι ψέγει. Οὔ μοι δοκεῖ, ἦ δ᾽ ὅς, οὐδαμῇ γε. Πείθωμεν τοίνυν αὐτὸν πρᾴως, οὐ γὰρ ἑκὼν ἁμαρτάνει, ἐρωτῶντες· ὦ μακάριε, οὐ καὶ τὰ καλὰ καὶ αἰσχρὰ νόμιμα διὰ τὰ τοιαῦτ᾽ ἂν φαῖμεν γε-

---

2 *ὁπότερον* tacite ex Platone Gesn.[1], inde vulg.: *πότερον* S *πρότερον* Tr. ‖ **3** *ἕτερον* ex Platone Gaisford: *ἑτέραν* S Tr., inde vulg. ‖ **4** *ἐν αὑτοῖς* S Plat.: *ἐν αὐτοῖς* Tr., inde vulg. ‖ **5** *ταῦτ᾽ ἂν λέγοι* reposui ex Platone: *ταῦτα λέγοι* S; *ταῦτα λέγει* Tr., inde vulg. ‖ **7** *πράττειν* ex Platone addidit Gaisford ‖ **9** *θρέμματος* tacite ex Platone Gesn.[1], inde vulg.: *θέματος* S ‖ **11** *τιθασεύων* Platonis libri meliores ‖ **13** *αὑτῷ* Plat.: *αὐτῶ* S ‖ **15** *πάντα δὴ τρόπον* S: *πάντα τρόπον δὴ* Plat. | *τὰ δίκαια* S Platonis haud pauci: *τὸ δίκαιον* Tr., inde vulg. ‖ **16** *τὰ ἄδικα* S Plat.: *τἄδικα* Tr. p. 78, inde vulg. | *πρὸς γὰρ* S: *πρός τε γὰρ* tacite ex Platone Gesn.[1], inde vulg. ‖ **19** *ὅ, τι ψέγει* S Plat. om. Tr.: *ὅ τι ψέγοι* tacite ex ed. Plat. Gesn.[1], inde vulg. ‖ **22** *αἰσχρα* S Platonis meliores: *τὰ αἰσχρὰ* Tr., inde vulg. | *διὰ τὰ τοιαῦτα* (praetuli *τοιαῦτ᾽*) *ἂν φαῖμεν* ex Platone Gaisford: *διαττάτοι* (*διατάττοι* Tr.) *ἂν φαμὲν* S; *διὰ τὰ τοιαῦτ᾽* (*τοιαῦτα* Gesn.[2]) *φᾶμεν* operarius Gesn.[1], inde vulg.

γονέναι· τὰ μὲν καλὰ τὰ ὑπὸ τῷ ἀνθρώπῳ, μᾶλλον δ' ἴσως τὰ ὑπὸ τῷ θείῳ τὰ θηριώδη ποιοῦντα τῆς φύσεως, αἰσχρὰ δὲ ⟨τὰ⟩ ὑπὸ τῷ ἀγρίῳ τὸ ἥμερον δουλούμενα; ξυμφήσει ἢ πῶς; Ἐὰν ἐμοί, ἔφη, πίθηται. Ἔστιν οὖν, εἶπον, ὅτῳ λυσιτελεῖ ἐκ τούτου τοῦ λόγου χρυσίον λαμβάνειν ἀδίκως, εἴπερ τοιόνδε ⟨τι⟩ γίγνεται, λαμβάνων τὸ χρυσίον ἅμα καταδουλοῦται τὸ βέλτιστον ἑαυτοῦ τῷ μοχθηροτάτῳ; ἢ εἰ μὲν λαβὼν χρυσίον υἱὸν ἢ θυγατέρα ἐδουλοῦτο, καὶ ταῦτ' εἰς ἀγρίων τε καὶ κακῶν ἀνδρῶν, οὐκ ἂν αὐτῷ ἐλυσιτέλει οὐδ' ἂν πάμπολυ ἐπὶ τούτῳ λαμβάνειν, εἰ δὲ τὸ αὑτοῦ θειότατον ὑπὸ τῷ ἀθεωτάτῳ τε καὶ μιαρωτάτῳ δουλοῦται καὶ μηδὲν ἐλεεῖ, οὐκ ἄρα ἄθλιός ἐστι καὶ πολὺ ἐπὶ δεινοτέρῳ ὀλέθρῳ χρυσὸν δωροδοκεῖ ἢ Ἐριφύλη ἐπὶ τῇ τοῦ ἀνδρὸς ψυχῇ τὸν ὅρμον δεξαμένη; Πολὺ μέντοι, ἦ δ' ὅς ὁ Γλαύκων· ἐγὼ γάρ σοι ὑπὲρ ἐκείνου ἀποκρινοῦμαι. Οὐκοῦν καὶ τὸ ἀκολασταίνειν οἴει διὰ τὰ τοιαῦτα πάλαι ψέγεσθαι, ὅτι ἀνίεται ἐν τῷ τοιούτῳ τὸ δεινὸν τὸ μέγα ἐκεῖνο καὶ πολυειδὲς θρέμμα εἰς ἐλευθερίαν πέρα τοῦ δέοντος; Δῆλον, ἔφη. Ἡ δ' αὐθάδεια καὶ δυσκολία ψέγεται οὐχ ὅταν τὸ λεοντῶδές τε καὶ ὀφεῶδες αὔξηται καὶ συντείνηται ἀναρμόστως; Πάνυ μὲν

---

3 *δὲ τὰ ὑπὸ* tacite ex Platone Gesn.[3] p. 120, inde vulg.: *δ' ὑπο* S | *τὸ* ante *ἥμερον* ex *τω* corr. S ‖ **4** *ξυμφήσει* S Plat.: *συμφήσει* Tr., inde vulg. | *Ἐάν μοι* Plat. | *πίθηται* S: *πείθηται* Plat. ‖ **6** *τι* tacite ex Platone addidit Gesn.[1] p. 96, inde vulg. ‖ **7** *ἑαυτοῦ* S Plat.: *αὐτοῦ* Tr., inde *αὑτοῦ* Gesn.[1], vulg. ‖ **8** *ἢ εἰ μὲν* tacite ex Platone Gesn.[1], inde vulg.: *ἢ ὁ μὲν* S | *χρυσίον* dedi ex Platone: *χρυσὸν* S ‖ **10** *λαμβάνειν* S Plat.: *λαμβάνῃ* Platonis non nulli; *λαμβάνοι* temere ex ed. Plat. Gesn.[1], inde vulg. ‖ **11** *αὑτοῦ* Gesn.[1], inde vulg.: *αὐτοῦ* S; *ἑαυτοῦ* Plat. ‖ **13** *ἐστιν* S ‖ **14** *ἢ* tacite ex Platone Gesn.[1], inde vulg.: *ἡ* S ‖ **16** *καὶ τὸ ἀκολ.* — 19 *πέρα τοῦ δέοντος* supra dedit gnomologus a Iamblicho non nihil inmutata III 6, 48 p. 297, 3 ‖ **17** *τὰ* om. Plat. | *πάλαι* supra lin. S[1] et sic Plat.: *πάντα* Tr., inde vulg. ‖ **18** *μέγα* tacite ex Platone Gesn.[1], inde vulg.: *μετά* S | *εἰς ἐλευθερίαν* quod abest a Platone legit etiam Iambl. ‖ **20** *λεοντῶδες τε καὶ* S Plat.: *λεοντῶδες καὶ* Tr., inde vulg. ‖ **21** *συντείνηται* Plat., inde margo Gesn.: *συγγίνηται* S

οὖν. Τρυφὴ μὲν οὖν καὶ μαλθακία οὐκ ἐπὶ τῇ αὐτοῦ τούτου χαλάσει τε καὶ ἀνέσει ψέγεται, ὅταν ἐν αὐτῷ δειλίαν ἐμποιῇ; Τί μήν; Κολακεία δὲ καὶ ἀνελευθερία οὐχ ὅταν τις τὸ αὐτὸ τοῦτο, τὸ θυμοειδές, ὑπὸ τῷ ὀχλώδει θηρίῳ ⟨ποιῇ⟩, καὶ ἕνεκα χρημάτων καὶ τῆς ἐκείνου ἀπληστίας προπηλακιζόμενον ἐθίζῃ ἐκ νέου ἀντὶ λέοντος πίθηκον γίγνεσθαι; Καὶ μάλα, ἔφη. Βαναυσία δὲ καὶ χειροτεχνία διὰ τί, οἴει, ὄνειδος φέρει; ἢ δι᾽ ἄλλο τι φήσομεν ἢ ὅταν τις ἀσθενὲς φύσει ἔχῃ τὸ τοῦ βελτίστου εἶδος, ὥστε μὴ ἂν δύνασθαι ἄρχειν τῶν ἐν αὐτῷ θρεμμάτων, ἀλλὰ θεραπεύειν ἐκεῖνα, καὶ τὰ θωπεύματα αὐτῶν μόνον δύνηται μανθάνειν; Ἔοικεν, ἔφη. Οὐκοῦν ἵνα καὶ ὁ τοιοῦτος ὑφ᾽ ὁμοίου ἄρχηται οἵουπερ ὁ βέλτιστος, δοῦλον αὐτὸν φαμὲν δεῖν εἶναι ἐκείνου τοῦ βελτίστου καὶ ἔχοντος ἐν αὐτῷ τὸ θεῖον ἄρχον, οὐκ ἐπὶ βλάβῃ τῇ τοῦ δούλου οἰόμενοι δεῖν ἄρχεσθαι αὐτόν, ὥσπερ Θρασύμαχος ᾤετο τοὺς ἀρχομένους, ἀλλ᾽ ὡς ἄμεινον ⟨ὂν⟩ παντὶ ὑπὸ θείου καὶ φρονίμου ἄρχεσθαι, μάλιστα μὲν οἰκεῖον ἔχοντος ἐν ἑαυτῷ, εἰ δὲ μή, ἔξωθεν ἐφεστῶτος, ἵνα εἰς δύναμιν πάντες ὅμοιοι ὦμεν καὶ φίλοι τῷ αὐτῷ κυβερνώμενοι; Καὶ ὀρθῶς γ᾽, ἔφη. Δηλοῖ δέ γε, ἦν δ᾽ ἐγώ, καὶ ὁ νόμος, ὅτι τοιοῦτον βούλεται, πᾶσι τοῖς ἐν τῇ πόλει ξύμμαχος· ὧν καὶ ἡ τῶν παίδων ἀρχή, τὸ μὴ ἐᾶν ἐλευθέρως εἶναι, ἕως ἂν ἐν αὐτοῖς ὥσπερ ἐν πόλει πολιτείαν καταστήσωμεν, καὶ τὸ βέλτιστον θεραπεύσαντες τῷ παρ᾽ ἡμῖν τοιούτῳ ἀντικαταστήσωμεν φύλακα ὅμοιον

1 μὲν οὖν S: δὲ Plat. | μαλακία (θ supra) S¹ ‖ **5** ποιῇ tacite ex Platone addidit Gesn.¹, inde vulg. ‖ **10** ἐν αὐτῷ Ast: ἐν αὐτῶ S et libri Platonis ut videtur ‖ **13** ὑπὸ ὁμοίου Plat. ‖ **15** καὶ ἔχοντος S Platonis vulg.: ἔχοντος Platonis libri meliores | ἐν αὐτῷ Plat.: ἐν αὐτῶ S; αὐτῷ operarius Gesn.² p. 121, inde vulg. ‖ **17** ὂν addidi ex Platone ‖ **19** ἐν ἑαυτῷ Tr. p. 79: ἐν αὐτῶι S; ἐν αὐτῷ Plat. ‖ **22** ὅτι το τοιοῦτον Iambl. | βούλεται S Platonis non nulli Iambl.: βουλεύεται Platonis vulg. ‖ **24** ἐᾶν ἐλευθέρους Plato, inde tacite Gesn.¹, vulg.: ἀνελευθέρως compend. S et simili mendo librarii ἀνελευθέρους Iambl. ‖ **26** τῶν pro τῷ et mox τούτῳ pro τοιούτῳ Iambl. | ἡμῖν S Plat. Iambl.: ὑμῖν Tr., inde vulg. | φύλακας operarius Gesn.¹, inde vulg.

καὶ ἄρχοντα ἐν αὐτῷ, καὶ τότε δὴ ἐλεύθερον ἀφίεμεν. Δηλοῖ γάρ, ἦ δ' ὅς.

63 (9, 66 Mein.) *Πλάτωνος Πολιτείας ι'* (X p. 612 A).

Οὐκοῦν, ἦν δ' ἐγώ, τά τε ἄλλα ἀπελυσάμεθα ἐν τῷ λόγῳ, καὶ οὐ τοὺς μισθοὺς οὐδὲ τὰς δόξας δικαιοσύνης ἀπηνέγκαμεν, ὥσπερ Ἡσίοδόν τε καὶ Ὅμηρον ὑμεῖς ἔφατε, ἀλλ' αὐτὸ δικαιοσύνην αὐτῇ ψυχῇ ἄριστον εὕρομεν, καὶ ποιητέον εἶναι αὐτῇ τὰ δίκαια, ἐάν τ' ἔχῃ τὸν Γύγου δακτύλιον, ἐάν τε μή, καὶ πρὸς τοιούτῳ δακτυλίῳ τὴν Ἄιδος κυνέην; Ἀληθέστατα, ἔφη, λέγεις. Ἆρ' οὖν, ἦν δ' ἐγώ, ὦ Γλαύκων, νῦν ἤδη ἀνεπίφθονόν ἐστι πρὸς ἐκείνοις καὶ τοὺς μισθοὺς τῇ δικαιοσύνῃ καὶ τῇ ἄλλῃ ἀρετῇ ἀποδοῦναι, ὅσους καὶ οἵους τῇ ψυχῇ παρέχει παρ' ἀνθρώπων τε καὶ θεῶν, ζῶντός τε ἔτι τοῦ ἀνθρώπου καὶ ἐπειδὰν τελευτήσῃ; Παντάπασι μὲν οὖν, ἦ δ' ὅς. Ἆρ' οὖν ἀποδώσετέ μοι ἃ ἐδανείσασθε ἐν τῷ λόγῳ; Τί μάλιστα; Ἔδωκα ὑμῖν τὸν δίκαιον δοκεῖν ἄδικον εἶναι καὶ τὸν ἄδικον δίκαιον. ὑμεῖς γὰρ ἡγεῖσθε, κἂν εἰ μὴ δυνατὸν εἴη ταῦτα λανθάνειν καὶ θεοὺς καὶ ἀνθρώπους, ὅμως δοτέον εἶναι τοῦ λόγου ἕνεκα, ἵνα αὐτὴ δικαιοσύνη πρὸς ἀδικίαν αὐτὴν κριθείη. ἢ οὐ μνημονεύεις; Ἀδικοίην μέντἄν, ἔφη, ⟨εἰ μή⟩. Ἐπειδὴ τοίνυν, ἦν δ' ἐγώ, κεκριμέναι εἰσίν, ἐγὼ πάλιν ἀπαιτῶ ὑπὲρ δικαιοσύνης, ὥσπερ ἔχει δόξης καὶ παρὰ θεῶν καὶ παρ' ἀνθρώπων, καὶ ἡμᾶς

---

1 *ἐλεύθερον* Plat. Iambl.: *ἐλευθερίαν* S ‖ 3 ecl. cum lemm. hab. S M A ‖ 4 *Οὐκοῦν, ἦν δ' ἐγώ — μὴ λανθάνετον* (p. 403, 8) om. M A ‖ 7 *αὐτο δικαιοσύνην* tacite Gesn.[2] p. 122, inde vulg.: *αὐτοδικαιοσύνην* S ut Platonis non nulli | *αὐτῇ ψυχῇ* S Plat.: *αὐτῇ τῇ ψυχῇ* Tr., inde vulg. ‖ 10 *κυνῆν* Plat. ‖ 13 *ὅσους τε καὶ οἵους* Plat. ‖ 18 *ἡγεῖσθε* tacite ex Platone Gesn.[1], inde vulg.: *ἠτεῖσθε* S vitium fortasse non temptandum in Stobaeo, nam *ῄτεισθε* Platonis non nulli ‖ 20 *ἵνα* Plat.: *ἵν' ᾖ* S ‖ 22 *εἰ μή* tacite ex Platone addidit Gesn.[1], inde vulg. | *τοίνυν κτἑ.*] discrepant, ut videtur, Platonis non nulli; *τοίνυν κεκριμέναι εἰσίν, ἦν δ' ἐγώ, πάλιν ἀπαιτῶ* scr. Hermann ‖ 24 *καὶ παρὰ θεῶν* Tr., inde vulg., Plat.: *παρὰ θεῶν* S | *ἡμᾶς* S ut Platonis plurimi: *ὑμᾶς* tacite ex ed. Plat. Gesn.[3] p. 122, inde vulg.

ὁμολογεῖν περὶ αὐτῆς δοκεῖσθαι οὕτως, ἵνα καὶ τὰ νικητήρια κομίσηται, ἃ ἀπὸ τοῦ δοκεῖν κτωμένη δίδωσι τοῖς ἔχουσιν αὐτήν, ἐπειδὴ καὶ τὰ ἀπὸ τοῦ εἶναι ἀγαθὰ διδοῦσα ἐφάνη καὶ οὐκ ἐξαπατῶσα τοὺς τῷ ὄντι λαμβάνοντας αὐτήν. Δίκαια, ἔφη, αἰτῇ. Οὐκοῦν, ἦν δ' ἐγώ, πρῶτον μὲν τοῦτο ἀποδώσετε, ὅτι θεούς γε οὐ λανθάνει ἑκάτερος αὐτῶν οἷός ἐστιν; Ἀποδώσομεν, ἔφη. Εἰ δὲ μὴ λανθάνετον, ὁ μὲν θεοφιλὴς ἂν εἴη, ὁ δὲ θεομισής, ὥσπερ καὶ κατ' ἀρχὰς ὡμολογοῦμεν. Ἔστι ταῦτα. Τῷ δὲ θεοφιλεῖ οὐχ ὁμολογήσομεν, ὅσα γε ἀπὸ θεῶν γίγνεται, πάντα γίγνεσθαι ὡς οἷόν τε ἄριστα, εἰ μή τι ἀναγκαῖον αὐτῷ κακὸν ἐκ προτέρας ἁμαρτίας ὑπῆρχεν; Πάνυ μὲν οὖν. Οὕτως ἄρα ὑποληπτέον περὶ τοῦ δικαίου ἀνδρός, ἐάν τ' ἐν πενίᾳ γίγνηται, ἐάν τ' ἐν νόσοις ἤ τινι ἄλλῳ τῶν δοκούντων κακῶν, ὡς τούτῳ ταῦτα εἰς ἀγαθόν τι τελευτήσει ζῶντι ἢ καὶ ἀποθανόντι. οὐ γὰρ δὴ ὑπό γε θεῶν ποτε ἀμελεῖται, ὃς ἂν προθυμεῖσθαι ἐθέλῃ δίκαιος γίγνεσθαι καὶ ἐπιτηδεύων ἀρετὴν εἰς ὅσον δυνατὸν ἀνθρώπῳ ὁμοιοῦσθαι θεῷ. Εἰκός γ', ἔφη, τὸν τοιοῦτον μὴ ἀμελεῖσθαι ὑπὸ τοῦ ὁμοίου. Οὐκοῦν περὶ τοῦ ἀδίκου τἀναντία τούτων δεῖ διανοεῖσθαι; Σφόδρα γε. Τὰ μὲν δὴ παρὰ θεῶν τοιαῦτ' ἄττ' ἂν εἴη νικητήρια τῷ δικαίῳ. Κατὰ γοῦν ἐμὴν δόξαν, ἔφη. Τί δ', ἦν δ' ἐγώ, παρ' ἀνθρώπων; ἆρα οὐχ ὧδε ἔχει, εἰ δεῖ τὸ ὂν τιθέναι; οὐχ

---

1 *περὶ αὐτῆς* Tr., inde vulg., Plat.: *περὶ αὐτῆς τῆς* S ‖ **5** *αἰτῆι* S Plat.: *αὐτῇ* Tr. ‖ **6** *γε* ex Platone Gaisford: *τε* S ‖ 8 a verbis *ὁ μὲν θεοφιλης* exordium capiunt M A ‖ **9** *ὡμολογοῦμεν* sed *ω* ex *ο* S² ut videtur ‖ **10** *γίνεται* Mᵈ ‖ **12** *μὲν οὖν* S Mᵈ Plat.: *μέν* A ‖ **15** *τούτῳ* Tr. p. 80 Plat.: *τοῦτο* S Mᵈ *τοῦτο* (superscr. *ω*) A¹ ‖ **17** *ὅς* (voluit *ὅς*) tacite ex Platone Gesn.¹ p. 98, inde vulg.: *ὡς* S Mᵈ A ‖ **19** *εἰκός* — 21 *διανοεῖσθαι* om. A | *γ'* tacite ex Platone Gesn.¹, inde vulg.: *τ'* S Mᵈ ‖ **21** *δεῖ διανοεῖσθαι* S Plat.: *διανοεῖσθαι* Mᵈ ‖ **22** *τοιαῦτ' ἄττ' ἂν* Tr. Platonis vulg.: *τοιαῦτά τ' ἄτ' ἂν* S *τοιαῦτα τ' αττ ἂν* Mᵈ *τοιαῦτ τ' ἄτ' ἂν* (superscr. *α*) A; *τοιαῦτ' ἂν* Platonis libri meliores ‖ **24** *ἆ* in *ἆρα* e corr. Mᵈ | *το ὂν τιθέναι* tacite ex Platone Gesn.¹, inde vulg.: *τῷ ὄντι θεῖναι* S Mᵈ A

οἱ μὲν δεινοί τε καὶ ἄδικοι δρῶσιν ὅπερ οἱ δρομεῖς, ὅσοι ἂν θέωσιν εὖ ἀπὸ τῶν κάτω, ἀπὸ δὲ τῶν ἄνω μή; τὸ μὲν πρῶτον ὀξέως ἀποπηδῶσι, τελευτῶντες δὲ καταγέλαστοι γίγνονται, τὰ ὦτα ἐπὶ τῶν ὤμων ἔχοντες καὶ ἀστεφάνωτοι ἀποτρέχοντες. οἱ δὲ τῇ ἀληθείᾳ δρομικοὶ εἰς τέλος ἐλθόντες τά τε ἆθλα λαμβάνουσι καὶ στεφανοῦνται. οὐχ οὕτω καὶ περὶ τῶν δικαίων τὸ πολὺ ξυμβαίνει· πρὸς τὸ τέλος ἑκάστης πράξεως καὶ ὁμιλίας καὶ τοῦ βίου εὐδοκιμοῦσί τε καὶ τὰ ἆθλα παρὰ τῶν ἀνθρώπων φέρονται; Καὶ μάλα. Ἀνέξῃ ἄρα λέγοντος ἐμοῦ περὶ τούτων, ἅπερ αὐτὸς ἔλεγες περὶ τῶν ἀδίκων; ἐρῶ γὰρ δή, ὅτι οἱ μὲν δίκαιοι, ἐπειδὰν πρεσβύτεροι γένωνται, ἐν τῇ αὑτῶν πόλει ἄρχουσί τε ἃς ἂν βούλωνται ἀρχάς, γαμοῦσί τε ὁπόθεν ἂν βούλωνται, ἐκδιδόασί τε εἰς οὓς ἂν ἐθέλωσι, καὶ πάντα ἃ σὺ περὶ ἐκείνων, ἐγὼ νῦν λέγω περὶ τῶνδε· καὶ αὖ ⟨καὶ⟩ περὶ τῶν ἀδίκων, ὅτι οἱ πολλοὶ αὐτῶν, καὶ ἐὰν νέοι ὄντες λάθωσιν, ἐπὶ τέλους τοῦ δρόμου αἱρεθέντες καταγέλαστοί εἰσι καὶ γέροντες γιγνόμενοι ἄθλιοι προπηλακίζονται ὑπὸ ξένων τε καὶ ἀστῶν, μαστιγούμενοι καὶ ἃ ἄγροικα ἔφησθα σὺ εἶναι, ἀληθῆ λέγων, εἶτα στρεβλώσονται καὶ ἐκκαυθήσονται· πάντα ἐκεῖνα οἴου καὶ ἐμοῦ ἀκηκοέναι ὡς πάσχουσιν. ἀλλ᾽, ὃ λέγω,

2 post εὖ temere praecipit τε καταγέλαστοι γίγνωνται (sic) A ‖ 3 ἀποπηδῶσιν S M[d] | δὲ tacite ex Platone Gesn.[1], inde vulg.: τε SA: M a vulgata differre non notat collator Dindorfianus ‖ 4 γίνονται M[d] ‖ καὶ ἀστεφάνωτοι M[d], ex Platone Gesn.[1], inde vulg.: καὶ στεφανωτοὶ (στεφ. sine acc. A) S A; κἀστεφάνωτοι fortasse Stobaeus ‖ 6 λαμβάνουσιν M[d] ‖ 8 πρὸς τὸ τέλος libri Stob. cum Platonis nonnullis: πρὸς τέλος Plat. ‖ 10 ἀνέξῃ duce Platone tacite Gesn.[1], inde vulg.: ἂν ἕξῃ S ἀνέξη M[d] ἂν ἕξει A ‖ 13 αὑτῶν Plat.: αὐτῶν libri Stob. | ἃς ἂν βούλωνται ἀρχὰς S M[d] A: ἂν βούλωνται τὰς ἀρχάς Plat. ‖ 14 ἐθέλωσιν M[d] ‖ 15 ἃ σὺ περὶ tacite ex Platone Gesn.[1], inde vulg.: ἃ ὑπὲρ S M[d] A nisi quod ὑπερ sine acc. S ‖ 16 καὶ αὖ καὶ tacite ex Platone Gesn.[1], inde vulg.: καὶ αὖ S M[d] καὶ A ‖ 18 εἰσιν S ‖ 19 προπιλακίζονται M[d] ‖ 20 ἀγροῖκα libri Stob. | λέγων, εἶτα tacite ex Platone Gesn.[1], inde vulg.: λέγοντα S M[d] λέγονται (sic) A; v. εἶτα στρεβλώσονται καὶ ἐκκαυθήσονται ex libro de rep. II p. 361 E huc invecta esse vidit Ast

ὅρα, εἰ ἀνέξῃ. Καὶ πάνυ, ἔφη· δίκαια γὰρ λέγεις. Ἃ μὲν τοίνυν, ἦν δ' ἐγώ, ζῶντι τῷ δικαίῳ παρὰ θεῶν τε καὶ ἀνθρώπων ἆθλά τε καὶ μισθοὶ καὶ δῶρα γίγνεται πρὸς ἐκείνοις τοῖς ἀγαθοῖς οἷς αὐτὴ παρείχετο ἡ δικαιοσύνη, τοιαῦτ' ἂν εἴη. Καὶ μάλα, ἔφη, καλά τε καὶ βέβαια. Ταῦτα τοίνυν, ἦν δ' ἐγώ, οὐδέν ἐστι πλήθει οὐδὲ μεγέθει πρὸς ἐκεῖνα, ἃ τελευτήσαντα ἑκάτερον περιμένει.

64 (9, 67 Mein.) *Πλάτωνος ἐκ τοῦ Κλειτοφῶντος* (p. 408 E — 410 B).

Τί τοὐντεῦθεν; πῶς ἄρχεσθαι δεῖν φαμὲν δικαιοσύνης περὶ μαθήσεως; ὥσπερ ἂν εἴ τις ἡμᾶς προὔτρεπεν τοῦ σώματος ἐπιμέλειαν ποιεῖσθαι, μηδὲν προνοοῦντας ὁρῶν καθάπερ παῖδας, ὡς ἔστι τις γυμναστικὴ καὶ ἰατρική, καὶ ἔπειτα ὠνείδιζε λέγων, ὡς αἰσχρὸν πυρῶν μὲν καὶ κριθῶν καὶ ἀμπέλων ἐπιμέλειαν πᾶσαν ποιεῖσθαι, καὶ ὅσα τοῦ σώματος ἕνεκα διαπονούμεθά τε καὶ κτώμεθα, τούτου δ' αὐτοῦ μηδεμίαν τέχνην μηδὲ μηχανήν, ὅπως ὡς βέλτιστον ἔσται τὸ σῶμα, ἐξευρίσκειν, καὶ ταῦτα οὖσαν· εἰ δ' ἐπανηρόμεθα τὸν ταῦθ' ἡμᾶς προτρέποντα· λέγεις δὲ εἶναι τίνας ταύτας τὰς τέχνας; εἶπεν ἂν ἴσως ὅτι γυμναστικὴ καὶ ἰατρική. καὶ νῦν δὴ τίνα φαμὲν εἶναι τὴν ἐπὶ τῇ τῆς ψυχῆς ἀρετῇ τέχνην; λεγέσθω. Ὁ δὴ δοκῶν αὐτῶν ἐρρωμενέστατος εἶναι πρὸς ταῦτα ἀποκρινόμενος εἶπεν, ταύτην τὴν τέχνην εἶναι ἥνπερ ἀκούεις

---

3 *γίγνεται* S M^d^ A Plat.: *γίγνονται* Tr., inde vulg. ‖ **4** *ἐκείνοις* tacite e Platone Gesn.[1], inde vulg.: *ἐκεῖνα* S M^d^ A | *αὐτὴ* A Plat.: *αὕτη* M^d^ Tr. dubito de S ‖ **5** *μάλα* corr. ex *μαλιστ* S ‖ **6** *ταῦτα τοίνυν κτέ.* cf. Euseb. praep. ev. XI 35 | *ταῦτα τοίνυν* S M^d^ Plat. Eus.: *ταῦτα* A ‖ **8** ecl. cum lemm. hab. S M A ‖ **10** *Τί τοὐντεῦθεν* — p. 406, 21 *ἀπεκρίνατό τις* om. M^d^ A ‖ **19** *ἐπανηρόμεθα* S Plat.: *ἐπανειρόμεθα* Tr. p. 81; *ἐπανειρώμεθα* oscitanter Gesn.[2] p. 123, inde vulg. ‖ **20** *τίνας* tacite ex Plat. Gesn.[1] p. 98, inde vulg.: *τινὰς* S | *εἶπεν* tacite ex Plat. Gesn.[1], inde vulg.: *εἰπεῖν* S ‖ **21** *δὴ τίνα* tacite ex Plat. Gesn.[1], inde vulg.: *δή τινα* S ‖ **22** *τέχνην,* sed *ην* ex *ης* S ‖ **24** *εἶπεν* S *εἶπε* Tr.: *εἰπέν μοι* Plat. | *ἥν περ* Tr., Plat.: *ἥνπερ* S | *ἀκούεις* tacite ex Plat. Gesn.[1], inde vulg.: *ἀκούῃς* (-*ῃς* Tr.) S.

σὺ λέγοντος, ἔφη, Σωκράτους, οὐκ ἄλλην ἢ δικαιοσύνην. εἰπόντος δέ μου· μή μοι τὸ ὄνομα εἴπῃς μόνον, ἀλλὰ ὡδί· ἰατρική πού τις λέγεται τέχνη, ταύτης δέ ἐστι διττὰ τὰ ἀποτελούμενα, τὸ μὲν ἰατροὺς ἀεὶ πρὸς τοῖς οὖσιν ἑτέρους ἐξεργάζεσθαι, τὸ δὲ ὑγίειαν· ἔστι δὲ τούτων θάτερον οὐκέτι τέχνη, τῆς τέχνης δὲ τῆς διδασκούσης τε καὶ διδασκομένης ἔργον, ὃ δὴ λέγομεν ὑγίειαν· καὶ τεκτονικῆς δὲ κατὰ ταὐτὰ οἰκία τε καὶ τεκτονικὴ τὸ μὲν ἔργον, τὸ δὲ δίδαγμα· τῆς δὴ δικαιοσύνης ὡσαύτως τὸ μὲν δικαίους ἔστω ποιεῖν, καθάπερ ἐκεῖ τοὺς τεχνίτας ἑκάστους· τὸ δ' ἕτερον, ὃ δύναται ποιεῖν ἡμῖν ἔργον ὁ δίκαιος, τί τοῦτό φαμεν; εἰπέ· — οὗτος μὲν, ὡς οἶμαι, τὸ συμφέρον ἀπεκρίνατο· ἄλλος δὲ τὸ δέον· ἕτερος δὲ τὸ ὠφέλιμον· ὁ δὲ τὸ λυσιτελοῦν. ἐπανήειν δὴ ἐγὼ λέγων, ὅτι ἐκεῖ τά γε ὀνόματα ταῦτ' ἐστὶν ἐν ἑκάστῃ τῶν τεχνῶν, ὀρθῶς πράττειν, λυσιτελοῦντα, ὠφέλιμα, καὶ τὰ τοιαῦτα· ἀλλὰ πρὸς ὅ τι ταῦτα πάντα τείνει, ἐρεῖ τὸ ἴδιον ἑκάστη ἡ τέχνη, οἷον ἡ τεκτονικὴ τὸ εὖ, τὸ καλῶς, τὸ δεόντως, ὥστε τὰ ξύλινα, φήσει, σκεύη γίγνεσθαι, ἃ δὴ οὐκ ἔστι τέχνη· λεγέσθω δὴ καὶ τὸ τῆς δικαιοσύνης ὡσαύτως. Τελευτῶν ἀπεκρίνατό τις ὦ Σώκρατές μοι τῶν σῶν ἑταίρων, ὃς δὴ κομψότατα ἔδοξεν εἰπεῖν, ὅτι τοῦτ' εἴη τὸ τῆς δικαιοσύνης ἴδιον ἔργον, ὃ τῶν ἄλλων οὐδεμιᾶς, φιλίαν ἐν ταῖς πόλεσι ποιεῖν· οὗτος δ' αὖ ἐρω-

---

1 *σὺ λέγοντος* Plat.: *συλλέγοντος* S ‖ **2** *δέ μου* S Platonis A: *δ' ἐμοῦ* Platonis D | *εἴπῃς μόνον* S: *μόνον εἴπῃς* Plat. ‖ **3** *ὡδὶ* S: *ὧδε* Plat.; sed vide ne *ὡδὶ ἰατρ.* irrepserit pro *ὧδ' ἰατρ.* ‖ **4** *ἀεὶ* S: *αἰεὶ* Platonis A D ‖ **8** *ταὐτὰ* tacite ex Platonis Ald. (Platonis A) Gesn.[1], inde vulg.: *ταῦτα* S, Platonis D | *τεκτονικὴ* tacite ex Plat. Gesn.[1], inde vulg.: *τεκτονικῆς* S ‖ **10** *ἐκεῖ τοὺς* S Platonis D: *ἐκείνους* Platonis A ‖ **14** *ἐπανήειν* S Platonis A D: *ἐπανῇα* Schanz | *δὴ* S Platonis A: *δ'* Platonis D ‖ **15** *ἐκεῖ* S: *κἀκεῖ* Plat. | *ταῦτ'* S Plat.: *τοῦτ'* Tr., inde vulg. ‖ **16** *τὰ τοιαῦτα* S: *τἆλλα τὰ τοιαῦτα* Plat.; suppleverim ⟨*τὰ ἄλλα*⟩ *τὰ τ.* ‖ **18** *ἑκάστη ἡ τέχνη* S: *ἑκάστη τέχνη* Plat.; *ἑκάστῃ τέχνῃ* tacite ex Platonis Ald. Gesn.[1], inde vulg. ‖ **21** *ὦ Σώκρατες*] abhinc ordiuntur M A ‖ **22** *ἑταίρων*] *ἑτέρων* A | *ὃς* tacite ex Plat. Gesn.[1], inde vulg.: *ὡς* S M^d A ‖ **24** *πόλεσιν* M^d | *ἐρωτόμενος* A

τώμενος τὴν φιλίαν ἀγαθόν τ' ἔφη εἶναι καὶ οὐδέποτε κακόν, τὰς δὲ τῶν παίδων φιλίας καὶ τὰς τῶν θηρίων, ἃς ἡμεῖς τοῦτο τοὔνομα ἐπονομάζομεν, οὐκ ἀπεδέχετο εἶναι φιλίας ἐπανερωτώμενος· συνέβαινε γὰρ αὐτῷ τὰ πλείω τὰς τοιαύτας βλαβερὰς ἢ ἀγαθὰς εἶναι. φεύγων δὴ τὸ τοιοῦτον οὐδὲ φιλίας ἔφη τὰς τοιαύτας εἶναι, ψευδῶς δὲ ὀνομάζειν αὐτὰς τοὺς οὕτως ὀνομάζοντας· τὴν δὲ ὄντως καὶ ἀληθῶς φιλίαν εἶναι σαφέστατα ὁμόνοιαν. τὴν δὲ ὁμόνοιαν ἐρωτώμενος εἰ ὁμοδοξίαν εἶναι λέγοι ἢ ἐπιστήμην, τὴν μὲν ὁμοδοξίαν ἠτίμαζεν· ἠναγκάζοντο γὰρ πολλαὶ καὶ βλαβεραὶ γίγνεσθαι ὁμοδοξίαι ἀνθρώπων, τὴν δὲ φιλίαν ἀγαθὸν ὡμολογήκει πάντως εἶναι καὶ δικαιοσύνης ἔργον, ὥστε ταὐτὸν ἔφησεν εἶναι ὁμόνοιαν καὶ ἐπιστήμην οὖσαν, ἀλλὰ οὐ δόξαν. ὅτε δὴ ἐνταῦθα ἦμεν τοῦ λόγου ἀποροῦντες, οἱ παρόντες ἱκανοὶ ἦσαν ἐπιπλήττειν τε αὐτῷ καὶ λέγειν, ὅτι περιδεδράμηκεν εἰς ταὐτὸν ὁ λόγος τοῖς πρώτοις· καὶ ἔλεγον ὅτι καὶ ἡ ἰατρικὴ ὁμόνοιά τίς ἐστιν καὶ ἅπασαι αἱ τέχναι, καὶ περὶ ὅτου εἰσὶν ἔχουσι λέγειν· τὴν δὲ ὑπὸ σοῦ λεγομένην δικαιοσύνην ἢ ὁμόνοιαν, ὅπου τείνουσά ἐστιν, διαπέφευγεν, καὶ ἄδηλον αὐτῆς ὅ τί ποτε ἔστι τὸ ἔργον. Ταῦτα, ὦ Σώκρατες, ἐγὼ τελευτῶν καὶ σὲ αὐτὸν ἠρώτων, καὶ εἶπάς μοι δικαιοσύνης εἶναι τοὺς μὲν ἐχθροὺς βλάπτειν, τοὺς δὲ φίλους εὖ ποιεῖν· ὕστερον δ' ἐφάνη βλάπτειν γε οὐδέποτε ὁ δίκαιος οὐδένα· πάντα γὰρ ἐπ' ὠφελείᾳ πάντας δρᾶν.

---

5 *φεύγων δὴ* — 6 *τοιαύτας εἶναι* om. A ‖ **10** *λέγει* A ‖ **13** *ταὐτὸν* Plat.: *ταὐτὸ* S M^d A | *ὁμόνοιαν καὶ* S M^d A Plat.: *ὁμόνοιαν* Bekker, *καὶ ὁμόνοιαν* Ast, *ὁμόνοιαν καὶ δικαιοσύνην* (*ὁ. καὶ φιλίαν* I. Baumann) Hermann ‖ **17** *ἡ* (*ἠ* M^d) *ἰατρικὴ* S M^d A Platonis A: *ἰατρικὴ* Platonis D ‖ **20** *ὅπου* (*ὅπού* A) S M^d A Plat.: *ὅποι* Bekker; *ὅτου* Tr. p. 82, inde vulg. | *τείνουσα* Plat.: *τινοσ α* S *τινὸς ἅ* (vel *ἅ*) M^d A; *τινός* Tr., inde vulg. ‖ **21** *αὐτῆς*] *αὐτοῖς* A ‖ **22** *σὲ αὐτὸν* Plat.: *σεαυτὸν* S M^d A ‖ **23** *εἶπας* (*εἴπασ* M^d) S M^d A: *εἶπες* Plat. | *μὲν* om. A ‖ **25** *οὐδένα· πάντα* Plat.: *οὐδέν· ἅπαντα* S M^d A ‖ **26** *ὠφελεία* (vel -*ᾳ*) S M^d A Platonis D a: *ὠφελίᾳ* Platonis A. ceterum de eclogis 9, 68—70 Mein. vide supra p. 132 sqq.

CAPVT X.

ΠΕΡΙ ΑΔΙΚΙΑΣ [ΚΑΙ ΦΙΛΑΡΓΥΡΙΑΣ ΚΑΙ ΠΛΕΟΝΕΞΙΑΣ].

1 *Εὐριπίδου Ἡρακλειδῶν* (1—4).
Πάλαι ποτ' ἐστὶ τοῦτό μοι δεδογμένον·
ὁ μὲν δίκαιος τοῖς πέλας πέφυκ' ἀνήρ,
ὁ δ' εἰς τὸ κέρδος λῆμ' ἔχων ἀνειμένον
φίλοις τ' ἄχρηστος καὶ συναλλάξαι βαρύς.
2 *Σεραπίωνος* (fr. 1 p. 831 N.²).
Οὐ τῆς ἐμῆς ἕκατι καρδίας φέρεις
λόγους προσηνεῖς, τοῦ δὲ σοῦ κέρδους χάριν.
3 *Μενάνδρου* (fab. inc. fr. 31 com. IV p. 243).
Πλεονεξία μέγιστον ἀνθρώποις κακόν·

Capitis decimi eclogas servarunt S M A, non nullas Br Mac. Chrys. *Περὶ πλεονεξίας καὶ ἀδικίας* Phot. *Περὶ ἀδικίας καὶ φιλαργυρίας καὶ πλεονεξίας* S M A Br Mac. *λο*^γου^ ς' S mrg ι' exhibent M A Mac. verba *καὶ φιλ. καὶ πλεονεξίας* seclusi non propter Voss. vel propter capitum florilegii Laurentiani indicem (litt. A *παραπ.* 6) ubi reapse legitur nil nisi *περὶ ἀδικίας* sed et propter reliquorum huius libri titulorum rationem et quia emblema proditur vocabuli *πλεονεξίας* sede incerta. certe si *περὶ ἀδικίας* titulum fusius interpretari voluisset gnomologus, eadem prioris *περὶ δικαιοσύνης* exspectanda fuit prolixitas. denique vide quae monui ad ecl. 7. ceterum utrumque caput idoneum ad Ioannis vel superiorum excerpendi rationem investigandam. ut in capite nono excerpta Platonis quem ipsum legisse Stobaeum observavit Diels (dox. p. 75) per longam seriem sequuntur ipsorum de re publica librorum ordinem vel Alcibiadis prioris dispositionem (cf. Stob. I proleg. p. XIX Wachsm. III 1, 191—93. 201—3) nec aliter procedunt Xenophontis apomnemoneumaton particulae (cf. Stob. III 1, 205—7), sic in decimo Euripidei anthologii ex alphabetico fabularum ordine compositi iam clariora patescunt vestigia. post Heraclidarum (1) et Ixionis (7) eclogam ad initia reversus reliquas hac profert litterarum serie *B* (17) *Δ* (18) *I* (23) *Y* (26) ‖ **3** ecl. cum lemm. hab. S M A ‖ **4** *ποτ'* A Tr. Eur.: *που* S sed *ποτ'* corr. miniator *ποῦ* M^d^ ‖ **7** *πόλει τ' ἄχρηστος καὶ συναλλάσσειν βαρύς* libri Eur. a Stobaeo pendet Theodorus Metoch. p. 558 afferens 6 et 7 sine fab. n. ‖ **8** ecl. cum lemm. hab. S M A ‖ **11** ecl. cum lemm. hab. S M A. recurrit Maxim. c. 22 p. 602 Combef. (*Μενάνδρου*) ‖ **12** cf. monost. 515 *ὑπερηφανία μέγ. ἀ. κ.*

οἱ γὰρ θέλοντες προσλαβεῖν τὰ τῶν πέλας
ἀποτυγχάνουσι πολλάκις νικώμενοι,
τὰ δ' ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις.

4 *Διφίλου* (fab. inc. fr. 13 com. IV p. 421).

Ἆρ' ἔστιν ἀνοητότατον αἰσχροκερδία·
πρὸς τῷ λαβεῖν γὰρ ὢν ὁ νοῦς τἄλλ' οὐχ ὁρᾷ.

5 *Τοῦ αὐτοῦ* (fab. inc. fr. 14 com. IV p. 421).

Εἰ μὴ τὸ λαβεῖν ἦν, οὐδὲ εἷς πονηρὸς ἦν.
φιλαργυρία τοῦτ' ἐστίν, ὅταν ἀφεὶς σκοπεῖν
τὰ δίκαια τοῦ κέρδους διὰ παντὸς δοῦλος ᾖς.

6 *Μενάνδρου* (fab. inc. fr. 284 com. IV p. 294).

Λέγεις, ἃ δὲ λέγεις, ἕνεκα τοῦ λαβεῖν λέγεις.

7 *Εὐριπίδου Ἰξίονος* (fr. 425 N.[2]).

Ὅστις γὰρ ἐπὶ τὸ πλέον ἔχειν πέφυκ' ἀνήρ,
οὐδὲν φρονεῖ δίκαιον οὐδὲ βούλεται,

---

1 *ὡστε πρὸς ἐμὲ* Grotius: *ὥστε πρὸς σέ με* S M^d A; fallitur Grotius de A, nam *πρ^ὸ σέ μ^ε* i. e. *πρὸς σέ με* in A *ὡς τὸ πρόσθε* Cobet ‖ **2** *βίᾳ τι* S A: *βιεστὶ* M^d ‖ **4** ecl. cum lemm. hab. S (Voss. Frob. p. 78): om. M A; *παννάσσιδος* S Voss. f. 49^v: *παννάσιδος* Voss. f. 39^v (ubi nihil nisi primus versus legitur) Frob. idem lemma hoc loco cod. Phot., unde *Πανύασις* pinacogr. p. 56 Elt. verba *οἶνος γὰρ* (16) usque ad fin. affert Athenaeus I p. 37 A (*Πανύασις δὲ λέγει*), v. *οἶνος γὰρ — συνοπηδὸν ἀοιδῆς* Suid. v. *οἶνος* (*καὶ Πανύασις*) ‖ **5** *νύ τις* S Voss.: *τίς* Tr. p. 119; *δέ τις* temere Gesn.² p. 164, inde vulg. | *αὕτη* Meineke ‖ **7** *ἄλλον θ᾽ ἅμα φῶτα* et infra (12) *ἄλλον θ᾽ ἅμα λαὸν* conicit Nauck (per litt.), at cf. exempla composita ab Hilbergio *silbenwaeg*. p. 117 | *κελεύῃ* tacite Gesn.¹ p. 144, inde vulg.: *κελεύει* S Voss. ‖ **8** *ἶσόν θ᾽ ὅστ᾽ ἐν* tacite Gesn.¹, inde vulg.: *ἶσόν τ᾽ ὅς* (vel *ὅς*) *ἐν* S Voss., *ἶσόν θ᾽ ὅς ἐν* Tr. | *θοὸς* suspectum Kinkelio ‖ **9** *τε* S Voss.: *δὲ* oscitanter Gesn.², inde vulg. ‖ **11** *κεν* Nauck *mél. gréco-rom.* IV p. 401: *μὲν* S Voss. ‖ **12** *τέρπηται* Tr., inde vulg.: *τέρπεται* S Voss. | *ἀνώγῃ* S: *ἀνώγει* Voss.; *φῶτα κελεύῃ* (ut supra) pro *λαὸν ἀνώγῃ* Meineke anal. Al. p. 364 ‖ **15** *ἀλλ᾽ ἐνεόφρων* Valckenaer: *ἀλλο* (*ἄλλο* Tr. et ut videtur Voss.) *νεόφρων* S Voss.; *ἀλλ᾽ ἐνεόφρων* Meineke anal. Al. et Kinkel ‖ **16** respicit Eratosthenes Stob. III 18, 3 v. 1 ‖ **17** *πάσης — ἀοιδῆς* S Voss.: *πάσῃ — ἀνίῃ* Athen. Suid.; *πάσῃ — ἀοιδῇ* vel *πάσῃ — ἀδείῃ* Iacobs ad anthol. Pal. p. 670

ἐν μὲν γὰρ θαλίης ἱλαρὸν μέρος ἀγλαΐης τε,
ἐν δὲ χοροιτυπίης, ἐν δ᾽ ἱμερτῆς φιλότητος.
ἐν δέ τε μενθήρης καὶ δυσφροσύνης ἀλεωρή·
τῷ σε χρὴ παρὰ δαιτὶ δεδεγμένον εὔφρονι θυμῷ
πίνειν, μηδὲ βορῇ κεκακωμένον ἠύτε γῦπα
ἧσθαι πλημμύροντα, λελασμένον εὐφροσυνάων.

22 (18, 23 Mein.) *Πυθαγόρου.*

Ἐλεύθερον ἀδύνατον εἶναι τὸν πάθεσι δουλεύοντα καὶ ὑπὸ παθῶν κρατούμενον.

23 (18, 25 Mein.) *Τοῦ αὐτοῦ.*

Πυθαγόρας ἔλεγε τὴν μέθην μανίας εἶναι μελέτην.

24 *Χρυσίππου.*

Μικρὰν φασὶ μανίαν εἶναι τὴν μέθην.

25 (18, 26 Mein.) *Ἀναχάρσιδος.*

---

1 *ἱλαρὸν* Koechly coni. ep. I p. 10 sq.: *ἱερὸν* S Voss. *ἐρατὸν* Athen. ‖ **3** versum om. Athen., frustra suspectabant Gesn.[1] Grotius dict. poet. p. 526 alii | *μενθήρης* egregie Meineke anal. Al. p. 365: *μὲν θήρης* S Voss. | *ἀλεωρή* scripsi: *ἀλεγεινῆς* S Voss. ut supra dixit *ἀλεξίκακον* sic hoc loco necessarium quod posui, ne versus cum instituta sententia discrepet. non 'curarum etiam et sollicitudinis aliquid habere' vinum, ut Meineke opinatur, dicere vult Panyassis, sed datum esse mortalibus aegritudinem ad medendam, si tamen modice eo utantur, et propter hilaritatem ‖ **5** *πίνειν* sup. lin. S | *βορῇ κεκακωμένον* S Voss.: *βορῆς κεκορημένον* recte Athen. | *γῦπα* S Voss.: *παῖδα* Athen. ‖ **7** ecl. cum lemm. hab. M A (post ecl. 18, 21 Mein.), om. S etiam Tr. p. 119 quod moneo propter Schenkelii ad Pyth. Vind. 23 adnotationem. legitur supra III 6, 55 p. 299, 15 ubi vide ‖ **9** *καὶ — κρατούμενον* om. Gesn.[2] p. 165, inde vulg. ‖ **10** ecl. sine lemm. hab. S (post ecl. 18, 22 Mein.), lemm. *τοῦ αὐτοῦ* addito M A (post ecl. 18, 23 Mein.). deesse in A temere adfirmat Gaisford. reposui librorum ordinem 23. 25. 24. 26 Mein., qui confirmatur duabus Pythagoreis nunc vicinis. nec fortuitum, quod in Br sese excipiunt 24 et 26 Mein.: temere traiecerat Gesn.[2], inde vulg. recepta est ecloga in corp. Par. 633 Elt. (*Πυθαγόρου*) ubi legitur post 18, 19 et ante 18, 26 sed omissis 20—23 et 24 Mein. cf. Sexti sent. 269 Elt. ‖ **12** ecl. cum lemm. hab. M A (post ecl. 18, 25 Mein.) Br (post ecl. 18, 5 Mein.), om. S. vide ad priorem ‖ **13** *φησὶ* mavult Meineke v. IV p. LX quo recepto vix erit necesse iterari nomen, cf. III 7, 17 adn. 4 ‖ **14** ecl. sine lemm. hab. S (post ecl. 18, 25 Mein., om. 24) Br (post ecl. 18, 24 Mein.) Mac. Chrys. (post ecl. 18, 12 Mein.), addito

Ἀνάχαρσις ἔφη, κιρναμένου κρατῆρος ἐφεστίου, τὸν μὲν πρῶτον ὑγιείας πίνεσθαι, τὸν δὲ δεύτερον ἡδονῆς, τὸν δὲ τρίτον ὕβρεως, τὸν δὲ τελευταῖον μανίας.

26 (18, 27 Mein.) *Ἀντισθένους* (apophth. 8 Winckelm.).

Τὰς μὴ κατὰ θύραν, φησὶν ὁ Ἀντισθένης, εἰσιούσας ἀπολαύσεις δεήσει ἢ σχασθῆναι ἢ ἐλλεβορισθῆναι ἢ πάντως λιμαγχονηθῆναι, κακὰς ἀμοιβὰς ἐκτίνοντα τῆς προγεγενημένης ἀπληστίας ἕνεκα μικρᾶς καὶ ὀλιγοχρονίου ἡδονῆς.

27 (18, 28 Mein.) *Πλουτάρχου ἐκ τοῦ Ὅτι καὶ γυναῖκα παιδευτέον* (fr. XXII 4).

Τῷ Διονύσῳ νάρθηκα καὶ λήθην συγκαθιεροῦσιν, ὡς μὴ δέον μνημονεύειν τῶν ἐν οἴνῳ πλημμεληθέντων, ἀλλὰ νουθεσίας παιδικῆς δεομένων. ᾧ συνᾴδει καὶ τὸ

μισῶ μνήμονα συμπόταν.

ὁ δ' Εὐριπίδης τῶν ἀτόπων τὴν λήθην σοφὴν εἴρηκεν.

28 (18, 29 Mein.) *Πλάτωνος* (leg. I p. 640 E — 641 A).

Μεθύων κυβερνήτης καὶ πᾶς παντὸς ἄρχων ἀνατρέπει πάντα, εἴτε πλοῖον εἴτε ἅρμα εἴτε στρατόπεδον εἴτε ὅ τί ποτε εἴη τὸ κυβερνώμενον ὑπ' αὐτοῦ.

---

lemmate M A (post ecl. 18, 24 Mein.). recurrit cum lemmate corp. Par. 634 Elt. Anacharsidis dictum haud absimile offert Laert. I 103. conferantur loci a Wachsmuthio congesti gnomol. Byz. 235 p. 203

1 *τὸ μὲν* S corp. Par. ‖ **2** *ὑγιειας* M^{d} A: *ὑγείας* S Br Mac. corp. Par. | *τὸ δὲ* corp. Par. ‖ **4** ecl. cum lemm. hab. SMA. ex alio fonte similia supra III 6, 43 ‖ **5** *θύραν* scripsi coll. flor. 6: *θύρας* S M^{d}A ‖ **6** *σχασθῆναι* S A: *χασθῆναι* M^{d} | *ἢ ἐλλ.* A^{1} mrg | *ἐλλεβορισθῆναι* (sic) S M^{d}, A^{1} mrg, flor. 6: *ἐλλεβορισθῆναι* Gaisford, Meineke ‖ **7** *λιμαγχονηθῆναι* S A: *λιμαγχονισθῆναι* M^{d} | *ἐκτίνοντα* S(?): *ἐκτείνοντα* M Tr. p. 119 *ἐκτεΐνοντα* A ‖ **10** ecl. cum lemm. hab. S, om. M A. cf. Plut. conviv. disp. I prooem. p. 612 D ‖ **12** *διονύσω* S: *διονυσίῳ* operarius Gesn.^{2} p. 165, inde vulg. ‖ **14** *ᾧ* tacite Gesn.^{1} p. 146, inde vulg.: *ὡς* S ‖ **15** *μνήμονα* (melius fuerat *μνάμονα*) *συμπόταν* tacite Gesn.^{1}, inde vulg.: *μνημοσύναν ποτάν* S; vide Gottingenses ad Apostol. cent. XI 71 c ‖ **16** Eur. Or. 213 ‖ **17** ecl. cum lemm. hab. S M A. recurrit ecloga et lemma corp. Par. 635 Elt. ‖ **18** *ἢ οὐ ξυννοεῖς τοῦθ' ὅτι μεθύων* Plat. ‖ **19** *εἴτε πλοῖον εἴτε ἅρμα* S M A corp. Par.: *εἴτε πλοῖα εἴτε ἅρματα* Plat. | *εἴτι ὅ τι ποτὲ* corp. Par.

29 (18, 30 Mein.) *Τοῦ αὐτοῦ* (ibid. I p. 646 A).

Οὐ μόνον ὡς ἔοικεν ὁ γέρων δὶς παῖς γίνοιτ᾽ ἄν, ἀλλὰ καὶ ὁ μεθυσθείς.

30 (18, 31 Mein.) *Δημοκρίτου* (fr. mor. 46 Mullach.).

Ὑγιηίην εὐχῇσι παρὰ θεῶν αἰτέονται ἄνθρωποι, τὴν δὲ ταύτης δύναμιν ἐν ἑωυτοῖς ἔχοντες οὐκ ἴσασιν· ἀκρασίῃ δὲ τἀναντία πρήσσοντες αὐτοὶ προδόται τῆς ὑγιηίης τῇσιν ἐπιθυμίῃσι γίνονται.

31 (18, 32 Mein.) *Πλουτάρχου ἐκ τοῦ Ὅτι καὶ γυναῖκα παιδευτέον* (fr. XXII 1).

Ἀμαθίην, ὥς φησιν Ἡράκλειτος, καὶ ἄλλως κρύπτειν ἔργον ἐστίν, ἐν οἴνῳ δὲ χαλεπώτερον· καὶ Πλάτων δέ φησιν ἐν οἴνῳ τὰ ἤθη φανερὰ γίνεσθαι. ὥσπερ καὶ Ὅμηρος

1 ecl. cum lemm. hab. S M A (post ecl. 18, 29 Mein.), sine lemm. Br (post ecl. 18, 35 Mein.). verba *ἄρ᾽* (sic) *ὡς — γένοιτ᾽ ἄν* citat Clemens Al. strom. VI c. 2 p. 748 P. ‖ **2** *μόνον ἄρ᾽ ὡς* Plat. recidit more suo particulam gnomologus, cf. supra p. 243 adn. 1 | *γίγνοιτ᾽* Plat. ‖ **4** ecl. cum lemm. hab. SMA Br (post ecl. 18, 30 Mein.), sine lemm. Mac. Chrys. (post ecl. 18, 26 Mein.); *δημοσθένους* compend. Br. recurrit corp. Par. 165 Elt. (*Δημοκρίτου γνῶμαι*). adsimile est quod Diogeni supra datur III 6, 35 ‖ **5** *ὑγιηίην εὐχῇσι* (*-ῇσι* iam Mullach) Meineke v. IV p. LX (*εὐχῇ* idem ante): *ὑγιεινὴν εὐχὴν* S M^{d} A (*ὑγιεινὴν* superscr. *αἰνεῖν* A^{2}) Mac. *ὑγιεινὴν τροφὴν* sed *τροφὴν* ex corr. Br *ὑγείαν ἔχειν* corp. Par.; *ὑγιείην εὐχαῖς* (ex Frob. p. 79) Gesn.[1] p. 146, inde vulg. fortasse verum *ὑγιείην* | *παρὰ* libri, sed *π* supra lin. A *ἄρα* Mac. | *αἰτοῦνται οἱ ἄνθρωποι* corp. Par. ‖ **6** *ταύτην* S | *ἐν* S M^{d} A Br Mac.: *παρ᾽* Tr. p. 120 corp. Par. | *ἑαυτοῖς* S M^{d} A Br Mac. corp. Par.: *ἑαυτῆς* Tr. | *ἴσασιν* libri | *ἀκρασία* corp. Par. ‖ **7** *τὰ ἐναντία* corp. Par., rectius opinor | *πρήσσοντες* S M^{d} A: *πράσσοντες* Br *πράσσαντας* (*πράττοντες* cod. Par. suppl. 690) corp. Par. | *ὑγείης* S M^{d} A Br *ὑγείας* corp. Par. ‖ **8** *τῇσιν* (sic libri) *ἐπιθυμίῃσι* (*-σιν* M^{d}) om. corp. Par. | *γίγνονται* S M^{d} A Br *γίνονται* Mac. corp. Par. ‖ **9** ecl. cum lemm. hab. S M A; *πλουτάρχου* nec plura S. cf. Plut. quaest. conv. p. 644 F sq.: *ἀμαθίην γὰρ ἄμεινον, ὥς φησιν Ἡράκλειτος, κρύπτειν, ἔργον δὲ ἐν ἀνέσει καὶ παρ᾽ οἶνον … Διὸ καὶ Πλάτων ἐν οἴνῳ μάλιστα καθορᾶσθαι τὰ πάθη τῶν πολλῶν νομίζει· καὶ Ὅμηρος εἰπὼν ʻοὐδὲ τραπέζῃ Γνώτην ἀλλήλων᾽* ‖ **11** *ἀμαθίην* M^{d} Voss.: *ἀμαθίαν* S A | *Ἡράκλ.*] fr. CVIII ubi vide reliquos Plutarchi locos a Bywatero collectos p. 42 ‖ **12** *χαλεπώτατον* Nauck (per litt.) | *Πλάτων*] cf. de leg. I p. 650. 652 ‖ **13** *ἔθη* M^{d} | *γίγνεσθαι* A | *ὥσπερ κτἑ.* om. S | *Ὅμηρος*] Od. XXI 35

οὐδὲ τραπέζῃ
γνώτην ἀλλήλων.

32 (18, 33 Mein.) *Τοῦ αὐτοῦ* (fr. XXII 2).

Σοφοκλῆς ἐμέμφετο Αἰσχύλῳ, ὅτι μεθύων ἔγραφε· ‘καὶ γὰρ εἰ τὰ δέοντα ποιεῖ’ φησίν ‘ἀλλ’ οὐκ εἰδώς γε’.

33 (18, 34 Mein.) *Πυθαγόρου.*

Πυθαγόρας ἐρωτηθεὶς πῶς ἂν οἰνόφλυξ τοῦ μεθύειν παύσαιτο, ‘εἰ συνεχῶς’ ἔφη ‘θεωροίη τὰ ὑπ’ αὐτοῦ πρασσόμενα’.

34 (18, 35 Mein.) *Ἀνάχαρσις.*

Ἀνάχαρσις ἐρωτηθεὶς πῶς ἄν τις μὴ μεθύσκοιτο, ‘εἰ’ φησίν ‘ὁρῴη τοὺς μεθύοντας οἷα ποιοῦσιν’.

35 (18, 36 Mein.) *Δημοκρίτου* (fr. mor. 47 Mullach.).

Ὅσοι ἀπὸ γαστρὸς τὰς ἡδονὰς ποιέονται ὑπερβε-

---

2 γνωτὴν sed τὴν in ras. A | ἀλλήλων Hom.: ἀλληδωην M^d ἀλλ’ ἢ δώην A || **3** ecl. sine lemm. hab. S, addito lemm. M A. cum lemmate recurrit corp. Par. 681 Elt. apophthegma narraverat Chamaeleo, vide Athen. I p. 22a X p. 428 f. Platonis de re p. X p. 598 E tamquam fontem dicti indicavit Wilamowitz *philol. unters.* IV p. 285 adn. 18 || **6** ecl. sine lemm. hab. S, cum lemm. πυθαγόρου M A. recurrit corp. Par. 484 Elt. (⟨Πυθαγόρου⟩ ἀπόφθεγμα) || **7** πῶς ἂν οἰνόφλυξ S: ὑπό τινος οἰνόφλυγος πῶς ἂν M^d A corp. Par. || **8** εἰ συνεχῶς ἔφη S: ἔφη εἰ συνεχῶς M^d A corp. Par. | θεωροίη libri Stob.: θεωρεῖ corp. Par. | ὑπ’ αὐτοῦ S M^d corp. Par.: ὑπ’ αὐτῶν A non recte hoc recepit Meineke addens prava ‘fort. ὑπ’ ἄλλων μεθυόντων’ || **10** ecl. sine lemm. hab. S A Br, addito lemm. ἀνάχαρσις M. recurrit corp. Par. 528 Elt. (Ἀνάχαρσις τοῦ Σκύθους sic). Stobaeus fortasse non iteraverat lemma, si verus est ordo codicis Br ubi Anacharsidis altera praecedit sententia i. e. huius capitis 26 Mein. simile dictum Anacharsidis legitur Laert. I 103; cf. quae collegerunt Freudenthal mus. Rh. XXXV p. 420 et Wachsmuth ad gnom. Byz. 236 p. 203 sq., item ad apophth. Vind. 57 p. 15 || **11** post Ἀνάχαρσις add. ἔφη S, inde vulg. || **12** εἰ φησὶν ὁρώη M^d: εἰ ὁρώη S ἔφησεν ὁρώη A ἔφη εἰ ὁρῴη Br; Ἀνάχ. ἔφη — μεθύσκοιτο· εἰ, φησίν, ὁρῴη Gesn.[2] p. 165, inde vulg. Ἀνάχ. ἔφη — μεθύσκοιτο, “εἰ” ἔφησεν “ὁρώῃ κτἑ.” minus recte Meineke | ποιῶσιν corp. Par. || **13** ecl. cum lemm. hab. S, om. MA. legitur supra III 6, 65 (Ἐπικτήτου Ἀπομνημονευμάτων) ubi videsis

βληκότες τὸν καιρὸν ἐπὶ βρώσεσιν ἢ πόσεσιν ἢ ἀφροδισίοισιν, τούτοισι πᾶσιν αἱ μὲν ἡδοναὶ βραχέαι τε καὶ δι᾽ ὀλίγου γίνονται, ὁκόσον ἂν χρόνον ἐσθίωσιν ἢ πίνωσιν, αἱ δὲ λῦπαι πολλαί. τοῦτο μὲν γὰρ τὸ ἐπιθυμέειν αἰεὶ τῶν αὐτῶν πάρεστι, καὶ ὁκόταν γένηται ὁκοίων ἐπιθυμέουσι, διὰ ταχέος τε ἡ ἡδονὴ παροίχεται, καὶ οὐδὲν [ἐν] αὐτοῖσι χρηστόν ἐστιν ἀλλ᾽ ἢ τέρψις βραχέα καὶ αὖτις τῶν αὐτῶν δέει.

36 (18, 37 Mein.) *Πλάτωνος* (Alcib. I p. 131 B).

Ὅστις σῶμα θεραπεύει, τὸ ἑαυτοῦ, οὐχ ἑαυτὸν θεραπεύει· ὅστις δὲ χρήματα, οὔθ᾽ ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ, ἀλλ᾽ ἔτι πορρωτέρω τῶν ἑαυτοῦ.

37 (18, 38 Mein.) *Μουσωνίου ἐκ τοῦ Περὶ τροφῆς* (rel. ed. Peerlkamp. p. 193 sqq.).

Αἴσχιστον, ἔφη, γαστριμαργία καὶ ὀψοφαγία ἐστίν, οὐκ ἀντερεῖ οὐδείς· σκοποῦντας δὲ ὅπως διαφεύξονται

---

1 fortasse reponendum *ἢ ἐπὶ πόσεσιν ἢ ἐπὶ ἀφροδ.* ex cap. 6 | *ἀφροδισίοισιν* scripsi: *ἀφροδισίοις ἐν* S et cap. 6 ‖ **2** *τούτοισι* cap. 6: *τοῖσι* S | *βραχεῖαι* libri hic et supra ‖ **3** *ἢ ἀφροδισιάζωσιν* pudenter omissum credas, cf. p. 511, 1 et 4 adn. ‖ **4** *λύπαι* supra L ut hic Tr.: *λοιπαὶ* S | *ἐπιθυμεῖν* S | *ἀεὶ* libri hic et supra ‖ **5** *ἐπιθυμέουσι* ex *-έωσι* corr. ut videtur S[1] *ἐπιθυμοῦσι* supra L ‖ **6** *τε* S *γε* supra L | *ἐν* seclusi ‖ **7** *βραχεῖα* libri utrobique ut deinde *αὖθις* ‖ **8** *δεῖ* flor. 6 ‖ **9** ecl. cum lemm. hab. SMA. recurrit corp. Par. 636 Elt., lemmate post 635 (id est post Stob. flor. 18, 29 Mein.) non iterato. ipsum Platonem adhibens Stobaeus flor. 21, 23 Mein. offert *Οὐκοῦν πάλιν* (*πάλιν* om. A) *ὅστις αὖ σῶμα θεραπεύει, τὰ* (*τὸ* M[d] A) *ἑαυτοῦ, ἀλλ᾽ οὐχ ἑαυτὸν θεραπεύει; — Κινδυνεύει. — Ὅστις δέ γε τὰ χρήματα, οὔτε ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ, ἀλλ᾽ ἔτι πορρωτέρω τῶν ἑαυτοῦ; — Ἔμοιγε δοκεῖ.* contra in hoc capite utitur gnomologio cui Platonica inerant contracta licenter et inmutata. rem firmare videtur librorum Platonis indiculus ad ecl. 29. 30. 37 Mein. constanter omissus ‖ **10** *τὸ* S M[d] A corp. Par. Platonis T: *τὰ* Platonis B | *οὐχ ἑαυτὸν* S M[d] A corp. Par. Platonis T: *οὐκ αὐτὸν* Platonis B ‖ **12** *ἀλλ᾽ — ἑαυτοῦ* inter lin. A ‖ **13** ecl. cum lemm. hab. S M A (post ecl. 18, 37 Mein.) Br f. 65[r] (tamquam capitis unicam) Mac. Chrys. (post ecl. 18, 31 Mein.), sine lemm. Br f. 36[v] (post ecl. 18, 31 Mein.); nil nisi *μουσωνίου* Br Mac. *ἐκ* (superscr. *τ*) S *ἐκ τ͂* Tr. *ἐκ τοῦ* M[d] A ‖ **15** Mac. nihil habet nisi fragmentum infra p. 528, 6 indicatum | *Ὅτι αἴσχ.* ci. Wachsmuth; dederit Lucius *Ἀλλ᾽ ὅτι μὲν αἴσχ.* ‖ **16** *διαφεύξωνται* SMA Br: corr. Halm. lect. Stob. p. 2

ταῦτα πάνυ ὀλίγους ᾔσθημαι ἐγώ, τοὺς δὲ πολλοὺς ὁρῶ καὶ ἀπόντων ὀρεγομένους τῶν τοιούτων βρωμάτων, καὶ παρόντων ἀπέχεσθαι μὴ δυναμένους, καὶ χρωμένους αὐτοῖς, ὅταν χρῶνται, ἀφειδῶς, ὡς καὶ πρὸς βλάβην χρῆσθαι τὴν τοῦ σώματος. καίτοι γαστριμαργία τί ἂν εἴη ἄλλο ἢ ἀκρασία περὶ τροφήν, δι' ἣν ἄνθρωποι τὸ ἡδὺ τὸ ἐν σίτῳ τοῦ ὠφελίμου προτιμῶσιν; καὶ ὀψοφαγία δὲ οὐδὲν ἕτερόν ἐστιν ἢ ἀμετρία περὶ χρῆσιν ὄψου. πανταχοῦ δὲ κακὸν οὖσα ἡ ἀμετρία ἐν τοῖς μάλιστα τῇδε τὴν ἑαυτῆς ἐπιδείκνυται φύσιν, παρεχομένη τοὺς ὀψοφάγους ἀντὶ ἀνθρώπων ὑσὶν ἢ κυσὶν ὁμοιουμένους τὴν λαβρότητα καὶ εὐσχημονεῖν μὴ δυναμένους, οὐ ταῖς χερσίν, οὐ τοῖς ὄμμασιν, οὐ τῇ καταπόσει· οὕτως ἄρα αὐτοὺς ἐξίστησιν ἡ ἐπιθυμία τῆς ἐν ὄψῳ ἡδονῆς. ὅτι μὲν δὴ οὕτως ἔχειν πρὸς τροφὴν αἴσχιστόν ἐστιν, γνώριμον, ἐν ᾧ γε ζῴοις ἄφροσι μᾶλλον ἢ ἀνθρώποις φρονίμοις ὁμοιούμεθα. αἰσχίστου δὲ τούτου ὄντος, κάλλιστον ἂν εἴη τοὐναντίον, τάξει καὶ κοσμίως ἐσθίειν καὶ τὴν σωφροσύνην ἐνταῦθα ἐπιδείκνυσθαι πρῶτον, οὐκ ὂν ῥάδιον, ἀλλὰ δεόμενον πολλῆς ἐπιμελείας καὶ ἀσκήσεως [καὶ καθόλου μὲν ἴσως τὸ

---

2 *ἁπάντων* A | *τοιούτων* om. M[d] ‖ **3** *ἀπέχεσθαι* M[d]: *ἐπέχεσθαι* (*ἐπ-* with *α* superscript A) SA | v. *καὶ χρωμένους — φύσιν* (10) infra 12 (post *δυναμένους*) repetiit A propter homoeoteleuton ‖ **5** *τὴν* om. loco altero A | *γαστριμαργία* — 8 *χρῆσιν ὄψου*] cf. Clemens Alex. paed. II 1, 12 p. 171 P. | *μᾶλλον* pro *ἄλλο* A loco altero ‖ **8** *ἐστίν* (vel *ἐστιν*) post *ἕτερον* hab. S, post *ὄψου* M[d] A Br *ἐστι* Br. an delenda erit copula? | *πανταχοῦ* — 10 *φύσιν*] vide Clementis locum paulo infra laudatum | *πανταχῇ* Clem. ‖ **9** *ἑαυτῆς*] *ἑαυτοῖς* utroque loco A, sed priore corr. A[1] ‖ **10** *παρεχομένη* — 11 *λαβρότητα*] cf. Clemens Alex. paed. II 1, 11 p. 171 P. *ἔστι γὰρ ὁρᾶν τοὺς τοιούτους ὑσὶν ἢ κυσὶν διὰ τὴν λαβρότητα μᾶλλον ἢ ἀνθρώποις ὡμοιωμένους* ‖ **11** *ὁμοιωμένους* M[d]; fort. *ὡμοιωμένους* cui favet Clemens nec repugnat *ὁμοιούμεθα* quod legitur 16 ‖ **13** *ἐξιστάναι* vel *ἐξίστασθαι* similiter v. I p. 303, 25 II p. 273, 21 Mein. ‖ **19** *οὐκὸν* S *οὐκ ὂν* M[d] Br *οὐκ ἂν* (*ὂν* superscript) A, corr. A[2] ‖ **20** verba *καὶ* (*καὶ* hab. M[d] Br, om. SA) *καθόλου μὲν ἴσως τὸ σωφρονεῖν* ex margine illata esse vidit Iacobs animadv. in Stob. p. 240, vide mus. Rh. XLI p. 60 et

σωφρονεῖν]. *διὰ τί δὴ τοῦτο; ὅτι πολλῶν ἡδονῶν οὐσῶν, αἳ τὸν ἄνθρωπον ἀναπείθουσιν ἁμαρτάνειν καὶ ἐνδιδόναι αὐταῖς βιάζονται παρὰ τὸ συμφέρον, δυσμαχωτάτη εἶναι κινδυνεύει πασῶν ἡ περὶ τροφὴν ἡδονή. ταῖς μὲν γὰρ ἄλλαις ἡδοναῖς σπανιώτερον ὁμιλοῦμεν, καὶ ἐνίων γε μῆνας καὶ ἐνιαυτοὺς ὅλους ἀπέχεσθαι δυνάμεθα· ταύτης δὲ ἀνὰ πᾶσαν ἡμέραν πάντως πειρᾶσθαι ἀνάγκη, καὶ τά γε πολλὰ δὶς ἑκάστης ἡμέρας· οὐ γὰρ ἔνι ζῆν ἄλλως τὸν ἄνθρωπον. ὥσθ' ὅσῳ πλεονάκις τῆς ἐν βρώσει ἡδονῆς πειρώμεθα, τοσούτῳ πλείους οἱ ἐνταῦθα κίνδυνοι. καὶ μὴν καθ' ἑκάστην προσφορὰν τροφῆς οὐχ εἷς κίνδυνος ἁμαρτήματος, ἀλλὰ πλείονες. καὶ γὰρ ὁ παρὰ πλέον ἢ δεῖ ἐσθίων ἁμαρτάνει, καὶ ὁ κατασπεύδων ἐν τῷ ἐσθίειν οὐδὲν ἧττον, καὶ ὁ μολυνόμενος ὑπὸ τοῦ ὄψου μᾶλλον ἢ χρή, καὶ ὁ τὰ ἡδίω τῶν ὑγιεινοτέρων βρώματα προτιμῶν, καὶ ὁ μὴ νέμων τὰ ἴσα τοῖς συνεσθίουσιν. ἔστι δὲ καὶ ἄλλη τις ἁμαρτία περὶ τροφήν, ὅταν παρὰ καιρὸν προσ-*

---

p. 57 adn. 1. ad hiatus suspicionem refugerat Gesn.[1] p. 148 mrg post *σωφρονεῖν* intercidisse coniciens haec *οὐχ ἥκιστα δὲ περὶ τὴν τροφήν*, scilicet ut v. *καθόλου μὲν ἴσως* paulo redderet commodiora. praeteriissem Gesneri commentum nisi fraudi fuisset Musonii reliquiarum editori. nec magis stare potest argumentum quod ex Clemente duxit Peerlkamp, nam Clementis verba *πανταχῇ δὲ κακὸν οὖσα ἡ ἀμετρία περὶ τὰς τροφὰς μάλιστα διελέγχεται* (paed. l. c. p. 171 P.) respondent potius superioribus illis p. 524, 8 sq. *πανταχοῦ δὲ κακὸν κτέ.*

2 malim *ἐνδιδόναι ἑαυταῖς* ‖ **10** *καὶ μὴν* — p. 526, 8 *τὸ σῶμα* om. M A Br ‖ **12** *παρὰ πλέον* scripsi: *παραπλείων* S. *ἐπιπλεῖον* vix necessario Meineke suadente Gaisfordo. nam *παρὰ πλέον* (cf. *παρὰ πολύ* al.) *ἐσθίειν, fere plus edere,* non ita multum distat a *πλέον τι*: aeque usitatum *παρ' ὀλίγον,* cf. Plat. apolog. p. 36 A. ceterum *πλείων πλείονος* similes formas habent libri in Lucii Musonianis, sed *πλέον* recte Stob. II p. 244, 16 Wachsm. flor. v. II p. 272, 8 III p. 75, 4 Mein. cf. L. Dindorf in Xenoph. de re equ. 1, 9 | *ἤδη* (sic) S (*ἤθη* Tr. p. 121): *ἢ δεῖ* ci. Gesn.[1] p. 148 mrg, et sic cod. Paris. 1985 *ex Gesneri libro* ut recte adnotavit Gaisford. correctionem *ἢ χρή* quam exhibent Schowii duo libri interpolati (cf. mus. Rh. XLI p. 60) adsumptam puto ex his quae sequuntur *μᾶλλον ἢ χρή* ‖ **15** *βρώματα* nescio an secludendum sit

φερώμεθα αὐτήν, καὶ δέον ἄλλο τι πράττειν, ἀφέμενοι τούτου ἐσθίωμεν. τοσούτων δὴ καὶ ἔτι ἄλλων ἁμαρτιῶν οὐσῶν περὶ τροφήν, δεῖ μὲν ἁπασῶν καθαρεύειν αὐτῶν καὶ μηδεμιᾷ ἔνοχον εἶναι τὸν μέλλοντα σωφρονήσειν. καθαρεύοι δ' ἂν τις καὶ ἀναμάρτητος εἴη ἀσκῶν καὶ ἐθίζων αὐτὸν αἱρεῖσθαι σῖτον οὐχ ἵνα ἥδηται, ἀλλ' ἵνα τρέφηται, οὐδ' ἵνα λεαίνηται τὴν κατάποσιν, ἀλλ' ἵνα ῥωννύηται τὸ σῶμα. καὶ γὰρ γέγονεν ἡ μὲν κατάποσις δίοδος εἶναι τροφῆς, οὐχ ἡδονῆς ὄργανον, ἡ δὲ γαστὴρ τοῦ αὐτοῦ χάριν οὗπερ ἕνεκα καὶ φυτῷ παντὶ ῥίζα γέγονεν. καθάπερ γὰρ ἐκεῖ τρέφει τὸ φυτὸν ἡ ῥίζα ἀπὸ τῶν ἐκτὸς τὴν τροφὴν λαμβάνουσα· οὕτω τρέφει τὸ ζῷον ἡ γαστὴρ ἀπὸ τῶν εἰσφερομένων σίτων καὶ ποτῶν. ὥσπερ τε αὖ τούτοις διαμονῆς ἕνεκα συμβαίνει τρέφεσθαι, καὶ οὐχ ἡδονῆς, παραπλησίως καὶ ἡμῖν ζωῆς καὶ φάρμακον ἡ τροφὴ [τῷ ἀνθρώπῳ] ἐστί. διὸ καὶ προσήκει ἐσθίειν ἡμῖν ἵνα ζῶμεν, οὐχ ἵνα ἡδώμεθα, εἴ γε μέλλομεν στοι-

2 *ἐσθίομεν, ο* radendo corr. ex *ω* S (*ἐσθίομεν* Tr., inde vulg.): tacite corr. Gaisford ‖ **3** *αὐτῶν* videtur S¹ corr. ex *αὐτόν* ‖ **8** v. *καὶ γὰρ* e. q. s. tamquam novam eclogam exhibent lemm. *τοῦ αὐτοῦ* praemisso M A, similiter novum tmema incipit ab his in Br lemmate non addito: cum prioribus cohaerent in S ‖ **10** *ἕνεκα* abundat, sed similis sermonis redundantia supra III 6, 24 p. 290, 10 *καρτέον μόνης ἕνεκα τῆς ἀφαιρέσεως τοῦ περιττοῦ καὶ οὐχὶ κόσμου χάριν,* quamquam brevius ibidem p. 289, 16 *τούτου ἕνεκα καρτέον οὐ καὶ κομητέον* ‖ **13** *σίτων* S M[d] Br: *σιτίων* A cf. p. 503, 17 adn. ‖ **14** *αὖ τούτοις* S A *αὐτοῦ τοῖσ* M[d] *αὐτοῦ τῆς* Br ‖ **15** *ζωῆς* om. Tr.; *ζωῆς καὶ* delevit Gesn.¹ p. 148, inde vulg. | *φάρμακον* etiam S, moneo propter Gaisfordum. nisi delendum erit *καὶ* auctore Cobeto, interciderit alter genetivus velut *ζωῆς καὶ ⟨οὐχ ἡδονῆς⟩ φάρμ.* intercidisse *διαμονῆς* coniecerat Gesn.¹ mrg, minus recte *λιμοῦ* Wyttenbach in Plut. mor. p. 159. '*ζωῆς φάρμακόν ἐστι* dicitur noto usu pro *ζῆν ποιεῖ, τὸ ζῆν παρασκευάζει,* ut apud comicum *ὁ δὲ λιμός ἐστιν ἀθανασίας φάρμακον* [com. III p. 47]' Cobet mnemos.² II p. 97 ‖ **16** *τῷ ἀνθρώπῳ* seclusi. alterutrum, aut *ἡμῖν* aut *τῷ ἀνθρώπῳ* stare non posse vidit Schow qui delevit *ἡμῖν* probante Peerlkampo. illud commendatur cum numeri concinnitate tum eo quod pergitur *διὸ καὶ πρ. ἐσθ. ἡμῖν* ‖ **17** *στοιχεῖν* S M[d] A Br; *συστοιχεῖν* tacite Gesn.¹, inde vulg. sed Musonius infra flor. 48, 67 extr. Mein. *τούτοις στοιχεῖν καὶ ἕπεσθαι τοῖς λόγοις*

χεῖν ἀρίστῳ ὄντι τῷ λόγῳ Σωκράτους, ὅς ἔφη τοὺς μὲν πολλοὺς ἀνθρώπους ζῆν ἵνα ἐσθίωσιν, αὐτὸς δὲ ἐσθίειν ἵνα ζῇ. οὐ γὰρ δὴ ἐπιεικής τις βουλόμενος εἶναι ἄνθρωπος, ἀξιώσει παραπλήσιός τις εἶναι τοῖς πολλοῖς, καὶ ζῆν ἐπὶ τῷ ἐσθίειν, ὥσπερ ἐκεῖνοι θηρώμενοι ἐξ ἅπαντος τὴν ἀπὸ τῆς τροφῆς ἡδονήν.

Ὅτι δὲ καὶ θεὸς ὁ ποιήσας τὸν ἄνθρωπον τοῦ σῴζεσθαι χάριν, οὐχὶ τοῦ ἥδεσθαι σῖτα καὶ ποτὰ παρεσκεύασεν αὐτοῖς, μάθοι τις ἂν ἐκεῖθεν μάλιστα. ἡ γὰρ δὴ τροφὴ ὅτε ἐργάζεται μάλιστα τὸ ἑαυτῆς ἔργον, τότε οὐδαμῶς ἥδει τὸν ἄνθρωπον κατά τε τὴν πέψιν καὶ τὴν ἀνάδοσιν, ἀλλὰ τρεφόμεθα μὲν τότε ὑπ' αὐτῆς καὶ ῥωννύμεθα, ἡδόμεθα δὲ τότε οὐδεμίαν ἡδονήν, καίτοι πλείων ὁ χρόνος οὗτός ἐστιν ἢ ἐν ᾧ ἐσθίομεν. ἔδει δέ γε, εἴπερ ὁ θεὸς ἡδονῆς χάριν τὴν τροφὴν ἐμηχανήσατο ἡμῖν, τὸν πλείω τοῦτον χρόνον ἥδεσθαι ἡμᾶς ὑπ' αὐτῆς, καὶ οὐ τὸν ἐλάχιστον ἐκεῖνον ἐν ᾧ καταπίνομεν. ἀλλ' ὅμως χάριν ἐκείνου τοῦ

---

1 *Σωκρ.*] vide quae dixi ad III 6, 41. cum nostro comparandus Clemens Alex. paed. II 1, 1 p. 163 P. cf. strom. VII 14 p. 885 P. ‖ **2** *πολλοὺς* firmat Gellius XIX 2 extr. ‖ **3** v. *οὐ γὰρ* — 6 *τροφῆς ἡδονήν* om. M^d A Br ‖ **5** *ἐπὶ* om. operarius Gesn.[1], inde vulg. | *θηρώμενος* ci. Nauck ‖ **7** v. *Ὅτι δὲ* — p. 528, 6 *βρωμάτων* sic ut infra v. *πᾶν γὰρ τοὐναντίον* p. 528, 6 — *τῷ σχολαίῳ* p. 529, 7 tamquam duas novas eclogas constituunt lemmate *τοῦ αὐτοῦ* utrique praemisso M (sed inverso ordine M) A, separatas easdem particulas exhibet etiam Br sed lemmate non addito, de Macario vide infra: cum prioribus cohaerent S ‖ **9** *αὐτοῖς* S M^d A Br *αὐτῷ* corr. A[2]; fuitne *ανοις* i. e. *ἀνθρώποις*? cf. Clemens Alex. paed. II 1, 5 p. 166 P. *οὐ γάρ που μεμαθήκασι τὸν θεὸν παρασκευάσαι τῷ δημιουργήματι, τῷ ἀνθρώπῳ λέγω, σῖτα καὶ ποτὰ τοῦ σῴζεσθαι χάριν, οὐχὶ δὲ τοῦ ἥδεσθαι κτἑ.* ‖ **10** *ὅτι* A[1] corr. A m. inc. ‖ **11** *τὴν* ante *πέψιν* om. M^d Br | *ἀνάδοσιν*] *αναλοσιν* (sic) S ‖ **12** *μὲν* om. Br ‖ **13** *δὲ τότε οὐδεμίαν ἡδονὴν* S *δὲ οὐδεμίαν* (vel *οὐδὲ μίαν*) *ποτὲ ἡδονὴν* M^d *δὲ οὐδεμίαν τότε ἡδονὴν* A nescio igitur an supra lineam iteratum fuerit *τότε* ab interprete fueritque olim *ἡδόμεθα δ' οὐδεμίαν ἡδονήν,* et re vera sic legitur in Br ‖ **17** *ἐν*] *ἐν'* M^d | *ἐν ᾧ* om. A in textu, ubi suprascr. *ὅν*, sed *ἐν ᾧ* A[2] mrg; fallitur Gaisford referens hanc discrepantiam ad 14 ‖ **17** sqq. cf. Lucian. Nigr. 33 | *χαίρειν* S[1] ubi *χάριν* suprascr. S[2], *χάριν* M^d A Br; *τὸ χαίρειν* tacite interpolavit Gesn.[1], inde vulg. malim *ἐκείνου χάριν*

ἐλαχίστου χρόνου, ὃν ἡδόμεθα, παρασκευὴ μὲν ὄψων γίνεται μυρίων· πλεῖται δ' ἡ θάλαττα μέχρι περάτων· μάγειροι δὲ γεωργῶν περισπουδαστότεροί εἰσιν· δεῖπνα δὲ παρατίθενταί τινες ἀγρῶν ἀναλίσκοντες τιμάς, καὶ ταῦτ' οὐδαμῶς ὠφελουμένων τῶν σωμάτων ἐκ τῆς πολυτελείας τῶν βρωμάτων. πᾶν γὰρ τοὐναντίον οἱ ταῖς εὐτελεστάταις χρώμενοι τροφαῖς ἰσχυρότατοί εἰσιν. τοὺς γοῦν οἰκέτας τῶν δεσποτῶν καὶ τοὺς χωρίτας τῶν ἀστικῶν καὶ τοὺς πένητας τῶν πλουσίων ἴδοις ἂν ὡς ἐπὶ τὸ πλῆθος ῥωμαλεωτέρους ὄντας καὶ μᾶλλον μὲν πονεῖν δυναμένους, ἧττον δὲ κάμνοντας ἐν τοῖς ἔργοις, νοσοῦντας δὲ σπανιώτερον, ἀνεχομένους δὲ εὐκολώτερον κρύος, θάλπος, ἀγρυπνίαν, πᾶν εἴ τι τοιοῦτον. καίτοι κἂν ἐπίσον ἥ τε πολυτελὴς καὶ ἡ εὐτελὴς τροφὴ ῥωννύῃ τὸ σῶμα, ὅμως αἱρετέον ἐστὶ τὴν εὐτελῆ, ὅτι αὕτη σωφρονικωτέρα καὶ πρέπει ἀνδρὶ ἀγαθῷ μᾶλλον, ᾗ καὶ τὸ εὐπόριστον τοῦ δυσποριστου, καὶ τὸ ἀπραγμάτευτον τοῦ μετὰ πραγμάτων,

---

2 cf. Seneca cons. ad Helv. 10, 3 *quod dissolutus deliciis stomachus vix admittat, ab ultimo portatur Oceano* | *μάγειροι — εἰσιν*] Clem. Alex. paed. II 1, 9 p. 169 P.: *πολυτιμότεροι γεγόνασιν μάγειροι γεωργῶν* ‖ **3** *δὲ* S, om. M^{d} Br, sup. lin. add. A ‖ **4** *ἀγρῶν ἀ. τ.*] Iuvenal. IV 26 *provincia tanti vendit agros* comparat Buecheler. vide etiam Peerlkampi adn. ‖ **5** *οὐδαμῶς* e. q. s.] cf. Clemens Alex. l. c. p. 166 P.: *ἐπεὶ μηδὲ ὠφελεῖσθαι πέφυκε τὰ σώματα ἐκ τῆς πολυτελείας τῶν βρωμάτων· πᾶν γὰρ τοὐναντίον οἱ ταῖς εὐτελεστάταις χρώμενοι τροφαῖς ἰσχυρότατοί εἰσι καὶ ὑγιεινότατοι καὶ γενναιότατοι, ὡς οἰκέται δεσποτῶν καὶ γεωργοὶ κτητόρων· καὶ οὐ μόνον ῥωμαλεώτεροι, ἀλλὰ καὶ φρονιμώτεροι, ὡς φιλόσοφοι πλουσίων* ‖ **6** *πᾶν* (om. *γὰρ*) *τοὐναντίον* — 13 *εἴ τι τοιοῦτον* excerpsit Mac. Chrys. nihil amplius. vide praeterea quod monui supra p. 527, 7 ‖ **9** *πλῆθος* S M^{d} A Tr. p. 122 Mac.: *πλεῖστον* S^{2} supra vers., A^{2} mrg Br ex em. Gesn.^{1} mrg omnes *ὡς ἐπὶ τὸ πλῆθος* formulae obliti, vide Platonem Phaedr. p. 275 B de re p. II p. 364 A ‖ **10** *ῥωμαλαιοτέρους* Mac. ‖ **12** *κρῦος* ex *κρύους*, item *θάλπος* ex *θάλπους* corr. Mac. ‖ **13** *τοιοῦτον* M^{d} A Mac.: *τοιοῦτο* S Br ‖ **14** *εὐτελὴς* M^{d} Br: *λυσιτελὴς* S A ‖ **15** *αἱρετόν* acc. supra *ο* deleto corr. A^{2} | *σωφρονεστέρα* Tr., inde vulg. ‖ **16** *ἢ* S M^{d} A: *ὡς* in ras. corr. Br quod tacite scripserat Gesn.^{1} p. 148, inde vulg.; *ᾗ* emend. Gesn.^{2} p. 167 mrg

καὶ τὸ ἕτοιμον τοῦ ἀνετοίμου πρὸς τροφὴν πρεπωδέστερον τοῖς ἐπιεικέσιν. ἵνα δὲ συνελὼν εἴπω περὶ τροφῆς τὸ πᾶν, φημὶ δεῖν σκοπὸν μὲν αὐτῆς ποιεῖσθαι ὑγίειάν τε καὶ ἰσχύν, ὡς τούτων μόνον ἕνεκα βρωτέον, ἃ δὴ δεῖται πολυτελείας οὐδεμιᾶς· ἐσθίοντα δ' ἐπιμελεῖσθαι κόσμου τε καὶ μέτρου τοῦ προσήκοντος καὶ τοῦ διαφέρειν πλεῖστον τῷ τε ἀμολύντῳ καὶ τῷ σχολαίῳ.

CAPVT XIX.

ΠΕΡΙ ΑΝΕΞΙΚΑΚΙΑΣ.

1 *Εὐριπίδου Ἀνδρομάχης* (642—644).

Σμικρᾶς ἀπ' ἀρχῆς νεῖκος ἀνθρώποις μέγα
γλῶσσ' ἐκπορίζει· τοῦτο δ' οἱ σοφοὶ βροτῶν
ἐξευλαβοῦνται, μὴ φίλοις τεύχειν ἔριν.

2 *Φιλήμονος Ἐπιδικαζομένου* (fr. 1 com. IV p. 9).

Ἥδιον οὐδὲν οὐδὲ μουσικώτερον
ἔστ' ἢ δύνασθαι λοιδορούμενον φέρειν.

---

1 *πρὸς* S Br *περὶ* M^d A ‖ **2** infinitivi (*ὡς*) *συνελόντι εἰπεῖν* similes in Musonii diatribis non leguntur. cf. v. III p. 94, 5 Mein. *ἵνα δὲ συντεμὼν εἴπω* ‖ **3** *δὴ* pro *δεῖν* A | *αὐτῆς* supra lin. S | *ποιεῖσθ*$\overset{αι}{ε}$ corr. A^2 ‖ **4** *μόνων* Br | *δὴ* supra lin A ‖ **7** *μολύντῳ* A sed *ἀ* superscr. A^2

Caput undevicesimum hab. S M A, aliquot eclogas Br Mac. Chrys. titulum habent ut Photius omnes, numerum S M A Mac. sed *ιδ'* S ‖ **10** ecl. sine lemm. hab. S, addito lemm. M A ‖ **11** *ἀνθρώποις* S M A Eur.: *ἀνθρώπου* Tr. p. 123, inde vulg. ‖ **13** *φίλους* A^1 corr. A^2 ‖ **14** ecl. cum lemm. hab. S M A (post ecl. 1) fabulae nomine detracto Br (post ecl. 3). *Ἐπιδικαζομένου* Grotius secundum Stob. III 13, 23: *ἐκδικαζο*$\overset{ε}{μ}$ S *ἐκδικαζομένου* M^d *ἐκ τοῦ δικαζομένου* A. eclogam et lemma *Φιλήμονος* iterat corp. Par. 637. 638 Elt., ut tamen duo versus posteriores a prioribus seiuncti sine lemmate legantur idque recte fortasse. duos priores addito poetae, non fabulae nomine servavit etiam Plutarchus mor. p. 35 D ‖ **16** *ἔστ' ἢ* Plut. Gesn.[1], inde vulg.: *ἐστιν* S M^d *ἐστι* Tr. corp. Par. *ἔστ' ἢ* ex *ἐστι* A^1 ut videtur *ἐστι τοῦ* sed $\overset{ϑ}{τ}$ in ras. Br

ὁ λοιδορῶν γάρ, ἂν ὁ λοιδορούμενος
μὴ προσποιῆται, λοιδορεῖται [*ὁ*] *λοιδορῶν.*

3 *Εὐριπίδου ἐκ Πρωτεσιλάου* (fr. 654 N.²).

Δυοῖν λεγόντοιν, θατέρου θυμουμένου,
ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος.

4 *Δημοσθένους.*

Δημοσθένης λοιδορουμένου τινὸς αὐτῷ ʽοὐ συγκαταβαίνω' εἶπεν ʽεἰς ἀγῶνα, ἐν ᾧ ὁ ἡττώμενος τοῦ νικῶντός ἐστι κρείττων'.

5 *Πλάτωνος.*

Πλάτων λοιδορούμενος ὑπό τινος ʽλέγε' ἔφη ʽκακῶς, ἐπεὶ καλῶς οὐκ ἔμαθες'.

6 *Ἀριστίππου.*

Ἀρίστιππος λοιδοροῦντος αὐτὸν τινὸς ἔφη ʽτοῦ μὲν λέγειν κακῶς σὺ κύριος εἶ, τοῦ δὲ δικαίως ἀκούειν ἐγώ'.

7 *Πλουτάρχου ἐκ τοῦ Πῶς ἔστιν ἀπ' ἐχθρῶν ὠφεληθῆναι* (p. 90 C—D).

Λόγων δέ, κουφοτάτου πράγματος, βαρυτάτη ζημία

---

1. 2 ʽhaec tintinnabula quemvis dedecent etiam comicum' Buecheler ‖ **2** *προσποιῆται* ex *-εῖται* corr. S¹ | *λοιδορῶν* Grotius: *ὁ λοιδορῶν* S M^d A¹ Br corp. Par. ‖ **3** ecl. cum lemm. hab. S M A (post ecl. 19, 2), lemmate omisso Br (tamquam capitis primam). legitur supra III 3, 40 (lemmate *Εὐριπίδου* non iterato) ubi videsis ‖ **4** *λεγόντοιν* in ras. M² ‖ **6** ecl. sine lemm. hab. S Br Mac. Chrys., addito lemm. M A. post 18, 3 collocant S M A, post 18, 2 Br, tamquam capitis primam Mac. recurrit corp. Par. 639 Elt. (*Δημοσθένους*) ‖ **7** *αὐτῷ* (*ῷ* in ras. M) libri nisi quod *αὐτόν* corp. Par. ‖ **10** ecl. sine lemm. hab. S Br Mac. Chrys., addito lemm. M A. apophthegma legitur in gnomol. Vat. 441: *Ὁ αὐτὸς* (sc. *Πλάτων*) *λοιδορούμενος κτὲ.* simile huius ad Socratem refertur a Laertio II 36, ad Diogenem gnomol. Vat. 179. alia testimonia collegit Sternbach ‖ **12** *καλῶς λέγειν* Br | *οὐκ ἔμαθες* S M^d A Br Mac. gnomol. Vat.: *οὐ μεμάθηκας* Tr. p. 123, inde vulg. ‖ **13** ecl. sine lemm. hab. S Br Mac. Chrys., addito lemm. M A. discrepat in magna similitudine Laert. II 70 (Maxim. c. 10 p. 563 Combef.) ‖ **14** *αὐτὸν* libri sed *αὐτῷ* M^d | *ἔφη* libri, sed *ὑποχωρῶν ἔλεγε* Br ad Laertianae similem traditionem declinans ‖ **15** *δὲ* om. M^d | *δικαίως ἀκούειν* S M^d A Mac.: *μη ἀκούειν* Br ut Laert. quod sane facetius est; *κακῶς ἀκούειν* ci. Buecheler ‖ **16** ecl. cum lemm. hab. S M A ‖ **18** *λόγων* S M^d A¹ A³: *λόγον* aut *λόγου* A² *λόγου* Plut.

κατὰ τὸν θεῖον Πλάτωνα, καὶ παρὰ θεῶν ἕπεται καὶ παρ᾽ ἀνθρώπων. ἡ δὲ σιγὴ πανταχοῦ μὲν ἀνυπεύθυνον, οὐ μόνον ἄδιψον, ὥς φησιν Ἱπποκράτης, ἐν δὲ λοιδορίαις σεμνὸν καὶ Σωκρατικόν, μᾶλλον δὲ Ἡράκλειον, ⟨εἴ γε κἀκεῖνος⟩

οὐδ᾽ ὅσσον μυίας στυγερῶν ἐμπάζετο μύθων.

8 *Πυθαγόρου.*

Μεγάλην παιδείαν νόμιζε, δι᾽ ἧς δυνήσῃ φέρειν ἀπαιδευσίαν.

9 *Εὐσεβίου* (fr. 27 phil. graec. III p. 11 Mullach.).

Ὀργῆς κρατέειν ἄριστον ἐθίζειν ἑωυτόν, μάλιστα μὲν καὶ πρὸς τὸ μὴ εὐπετέως πρὸς αὐτῆς ξυγκινέεσθαι· εἰ δὲ μή, ἀλλ᾽ ὥστε γε πάντως μὴ τὸ καταναγκαζόμενον ὑπ᾽ αὐτῆς αὐτίκα καὶ ἐν τῷ ἀλογίστῳ ἀποπιμπλάναι.

10 *Σοφοκλέους Αἴαντι* (1357).

Νικᾷ γὰρ ἁρετή με τῆς ἔχθρας πολύ.

11 *Θεόγνιδος* (695—696).

Οὐ δύναμαί σοι, θυμέ, παρασχεῖν ἄρμενα πάντα,
τέτλαθι· τῶν δὲ καλῶν οὐχὶ σὺ μοῦνος ἐρᾷς.

---

1 Plato de leg. XI p. 935 A ‖ **2** *παρὰ* M[d] ‖ **4** *λοιδορίαις* S M[d] A: *λοιδορία* Plut. ‖ **5** *εἴ γε κακεῖνος* tacite ex Plut. add. Gesn.[2] p. 168, inde vulg. ‖ **6** *ὅσσον* A Plut.: *ὅσον* S M[d] | *μύας* M[d]; *μυίης* O. Schneider Callim. II p. 784 ‖ **7** ecl. cum lemm. hab. S M A. recurrit corp. Par. 640 Elt. (*Πυθαγόρου*). legitur Pyth. Vind. 64 Pyth. Syr. 45 Demophil. sent. Pyth. 28 Sexti sent. 285 Elt. cf. Georgid. p. 60 ‖ **8** *σοφίαν* Sext. | *δι᾽ ἣν* Demoph. | *φέρειν ἀγνοούντων ἀπ.* Sext. Demoph. ‖ **10** ecl. cum lemm. hab. S M A; *Εὐσεβείου* Tr. p. 123 ‖ **12** *προς αὐτῆς* S M[d] A ..*π᾽ αὐτῆς* una vel duabus litt. ante *π* erasis Voss., unde *ὑπ᾽ αὐτῆς* Gaisford quod recepit Meineke. sed *πρὸς* praeter ceteros etiam Frob. p. 83 cum Vossiano plerumque conspirans ‖ **12** *καὶ* secludi vult Nauck (per litt.) ‖ **13** *ἄλλως τε γε* A ‖ **14** *αὐτίκα καὶ* S M[d] A: *αὐτίκα δὲ καὶ* Tr., inde *αὐτίκα σε καὶ* Gesn.[1] p. 150, vulg. ‖ **15** ecl. cum lemm. hab. S M A ‖ **16** *ἀρετὴ* S M[d] A, *ἡ* add. A[2] ut Gesn.[2] p. 168, unde vulg. ‖ **17** ecl. sine lemm. hab. S, addito lemmate M A; versus hexametrus recurrit corp. Par. 641 Elt. (*Θεόγνιδος*). cf. Wachsmuth *stud.* p. 153 ‖ **18** *παρασχεῖν* corp. Par. Theogn. *παρέχειν* A[2] (*ασχεῖν* ... *τ* superscr.) (qui adiecit *ζῃ* et v. *ἄρμενα* — *ἐρᾷς* in margine addidit omissa ab A[1]): *παρέχειν* S M[d] ‖ **19** *οὐχὶ*] *οὔτι* Theogn. | *μόνος* A[2] (Frob. p. 82) ut Theognidis A O c l

12 *Θεοφράστου* (fr. CLIV Wimmer.).

Οὐ μὴν οὐδὲ μετ᾿ ὀργῆς πρακτέον τοῖς φρονίμοις οὐδέν. ἀλόγιστον γὰρ θυμός, καὶ μετὰ προνοίας οὐδὲν ἄν ποτε ποιήσειεν, ἀλλὰ μεθύων ταῖς φιλονεικίαις, ὡς ἔτυχε, χρῆται ταῖς ὁρμαῖς. ὥστε δεῖ μὴ ἐξ ὑπογύου τῶν ἁμαρτημάτων τὰς τιμωρίας μήτε παρὰ τῶν οἰκετῶν μήτε παρὰ τῶν ἄλλων λαμβάνειν, ἵνα τὸ τῷ λογισμῷ κράτιστον, μὴ τὸ τῷ θυμῷ φίλον, ἀεὶ πράττῃς καὶ δίκην παρὰ τῶν ἐχθρῶν λαμβάνῃς, ἐξ ἧς μέλλεις σαυτὸν μὴ λυπῶν ἐκείνους βλάψειν. τὸ γὰρ τιμωρεῖσθαί τινα κακῶς ἑαυτὸν ποιοῦντα, δίκην διδόναι οὐχ ἧττον ἢ λαμβάνειν ἐστίν. ὥστε δεῖ σχολῇ μᾶλλον ἀμύνεσθαι ζητεῖν ἢ ταχέως ἀλυσιτελῶς ἑαυτῷ κολάσαι τὸν ἐχθρόν.

13 *Ῥούφου ἐκ τοῦ Ἐπικτήτου περὶ Φιλίας* (Epict. fr. 67 III p. 88 Schweigh.).

Τὸ δὲ Λυκούργου τοῦ Λακεδαιμονίου τίς ἡμῶν οὐ θαυμάζει; πηρωθεὶς γὰρ ὑπό τινος τῶν πολιτῶν τῶν ὀφθαλμῶν τὸν ἕτερον καὶ παραλαβὼν τὸν νεανίσκον παρὰ

---

1 ecl. cum lemm. hab. S M A; *Θεοφράστου* om. A[1] suppl. A[2] inter lin., item mox *Οὐ μὴν* ‖ **3** *ἀλόγιστον* S M[d] A: *ἀλόγιστος* Tr. p. 124, inde vulg. ‖ **5** *ἔτυχεν* S M[d] | *μὴ* tacite Meineke: *μήτε* libri; fortasse *μηδὲ* vel *μηδ᾿* | *ὑπογύου* S M[d]: *ὑπογυίου* A ‖ **7** *τὸ τῷ* S A: *τῷ* M[d]; *τὸ* Gesn.[1] p. 150, inde vulg. ‖ **8** *τὸ* suprascr. A[2] | *καὶ ⟨μὴ⟩ δίκην* ci. Gesn.[1] mrg, *καὶ δίκην π. τ. ἐ. ⟨μὴ⟩ λαμβάνῃς* Wimmer ‖ **9** *μὴ λυπῶν* M[d] A: *μὴ αὐτοὺς* S Tr., inde vulg.; *μᾶλλον ἢ* non recte ci. Meineke ‖ **10** *βλάψειν* S M[d] A: *βλάπτειν* Tr., inde vulg. | *βλάψειν* — 11 *διδόναι* habet A man. pr. vel paene prima in margine ‖ **12** *ἀμύνεσθαι* S A: *ἀμύνασθαι* M[d] ‖ **13** *ἀλυσιτελῶς ⟨δ᾿⟩* ci. Meineke, *⟨καὶ⟩ ἀλυσιτελῶς* scripsit Wimmer; an *⟨ἀλλ᾿⟩ ἀλυσιτελῶς*? | *ἑαυτῷ* ut videtur M[d] *αὐτῷ* A: vocem om. S ‖ **14** ecl. cum lemm. hab. S M A (post ecl. 19, 12), lemm. om. Br (post ecl. 19, 6); *ῥούφου ἐκ τοῦ* (*ἐκ* ^{τ} S quod *ἐκ τῶν* interpretatur Meineke, cf. p. 362, 1 adn.) *ἐπικτήτου περὶ* ($\overset{ε}{π}$ S) *φιλίας* S M A, sed *ῥούφου ἐκ τοῦ* in marg. interiore paulo altius A[1], quod fugit Gaisfordum. de lemmate duplici vide Schweigh. Epict. III p. 195, Zeller *phil.*[3] III 1 p. 731 adn. 3 ‖ **16** *ἡμῶν* S M[d] A Br: *ὑμῶν* tacite Gaisford ‖ **17** *τῶν πολιτῶν* sup. lin. S[1] | *τῶν ὀφθαλμῶν τὸν ἕτερον* S: *τὸν ἕτερον τῶν ὀφθαλμῶν* M[d] A Br ‖ **18** *νεανίσκων* A

τοῦ δήμου, ἵνα τιμωρήσαιτο ὅπως αὐτὸς βούλεται· τούτου μὲν ἀπέσχετο, παιδεύσας δὲ αὐτὸν καὶ ἀποφήνας ἄνδρα ἀγαθόν, παρήγαγεν εἰς τὸ θέατρον. θαυμαζόντων δὲ τῶν Λακεδαιμονίων ʻτοῦτον μέν τοι λαβών' ἔφη ʻπαρ' ὑμῶν ὑβριστὴν καὶ βίαιον, ἀποδίδωμι ὑμῖν ἐπιεικῆ καὶ δημοτικόν'.

14 *Πιττακοῦ.*

Πιττακὸς ἀδικηθεὶς ὑπό τινος καὶ ἔχων ἐξουσίαν αὐτὸν κολάσαι ἀφῆκεν εἰπὼν ʻσυγγνώμη τιμωρίας ἀμείνων· τὸ μὲν γὰρ ἡμέρου φύσεώς ἐστι, τὸ δὲ θηριώδους'.

15 *Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου* (c. 12).

Ἄρξαι οὖν ἀπὸ τῶν μικρῶν. ἐκχεῖται τὸ ἔλαιον, κλέπτεται τὸ οἰνάριον· λέγε, ὅτι τοσοῦδε πωλεῖται ἀπάθεια, τοσούτου ἀταραξία, προῖκα οὐθὲν γίνεται. ὅταν δὲ καλῇς τὸν παῖδα, προεπινόει, ὅτι δύναται καὶ μὴ ὑπακοῦσαι καὶ μηδὲν ποιῆσαι ὧν θέλεις. ἀλλ' οὐχ οὕτως ἐστὶν αὐτῷ ⟨καλῶς⟩, ἵνα ἐπ' ἐκείνῳ ᾖ τὸ ἐμὲ ταραχθῆναι.

---

1 *βούλεται* Meineke v. IV p. LX: *βούληται* S M^d^ A Br; an *βούλοιτο*? contra *ὅπως ⟨ἂν⟩ αὐτὸς βούληται* scripsit Schenkl Epict. p. 407 ‖ **3** *ἤγαγεν* A ‖ **5** *ἡμῶν* A ‖ **7** ecl. sine lemm. hab. S Br Mac. Chrys., addito lemm. MA. post 18, 13 ponunt S M A Br, post 18, 6 Mac. recurrit ecloga et lemma corp. Par. 642 Elt. eadem legitur gnomol. Vat. 456: *Ὁ αὐτὸς* (sc. *Πιττακός*) *ὑβρισθεὶς ὑπό τινος κτὲ.* ubi vide quae adnotavit Sternbach ‖ **8** *ὑπὸ Ἀλκαίου* cod. Vat. gr. 1144 f. 231^r^ teste Sternbachio. cf. Laert. I 76 Diod. Sicul. IX 20 Dind. ‖ **9** *ἀφῆκεν αὐτὸν* Br ‖ **10** *ἐστιν* S ‖ **11** ecl. cum lemm. hab. S M A, sine lemm. Br ‖ **12** *ἄρξαι οὖν* S M^d^ A: *ἄρξαι* Br; *ἄρξαι τοιγαροῦν* Arr. | *σμικρῶν* Arriani libri plerique | *ἐλάδιον* Arr. quod dederim etiam Stobaei exemplari propter v. *τῶν μικρῶν* et *οἰνάριον* ‖ **13** *λέγε ὅτι τοσοῦδε* S M^d^ A: *ἐπίλεγε ὅτι τοσούτου* Br cum Arr. ‖ **14** *δὲ* post *προῖκα* add. Br cum Arr. | *οὐθὲν* S M A: *οὐδὲν* Br ut Arr., Tr., inde vulg. | *γίνεται* S M^d^ A: *παραγίνεται* Br ut Arriani non nulli, *περιγίνεται* Arr. ‖ **15** *προεπινόει* (*προσεπι-* A) S M^d^ A Simpl.: *ἐνθύμου* Br, voluit *ἐνθυμοῦ* ut Arr. | *καὶ* om. Arr. ‖ **16** *καὶ μηδὲν ποιῆσαι* S M^d^ A: *ἢ* (*καὶ* Arriani meliores) *ὑπακούσας μηδὲν ποιῆσαι* Br ut Arr. | *οὗτος* pro *οὕτως* temere Gesn.[2] p. 169, inde vulg. ‖ **17** *αὐτῷ καλῶς* dedi ex Arr.: *αὐτῷ* S M^d^ A (A ex em. ut videtur); *αὐτῷ καλῶς, ὅλως δὲ σοὶ καλῶς* Br ut Arriani non nulli | *ἐπ'* Arr., ex Arr. Br: *ἐν* S M^d^ A | *ἐμὲ* S M^d^ A Br Simpl.: *σὲ μὴ* concinnius Arr.

16 *Μουσωνίου ἐκ τοῦ Εἰ γραφὴν ὕβρεως γράψεταί τινα ὁ φιλόσοφος* (Musonii rel. p. 159 ed. Peerlkamp.).

Ὕβρεως δὲ γραφὴν οὔτ' ἂν αὐτὸς ἔφη γράψασθαί τινά ποτε οὔτ' ἂν ἑτέρῳ συμβουλεῦσαι οὐδενὶ τῶν φιλοσοφεῖν ἀξιούντων. ἃ γὰρ πάσχοντές τινες ὑβρίζεσθαι δοκοῦσιν, τούτων οὐδὲν εἶναι ὕβριν ἢ αἰσχύνην τοῖς πάσχουσιν· οἷον λοιδορηθῆναι ἢ πληγῆναι ἢ ἐμπτυσθῆναι, ὧν τὸ χαλεπώτατον πληγαί. ὡς δὲ οὔτε αἰσχρὸν οὔτε ὑβριστικὸν ἔχουσιν οὐδέν, δηλοῦν Λακεδαιμονίων παῖδας δημοσίᾳ μαστιγουμένους καὶ ἐπ' αὐτῷ τούτῳ ἀγαλλομένους. ὁ δὲ φιλόσοφος εἰ μὴ δύναιτο καταφρονεῖν πληγῶν ἢ λοιδορίας, τί ἂν ὄφελος αὐτοῦ εἴη, ὅν γε φαίνεσθαι δεῖ καὶ θανάτου καταφρονοῦντα; νὴ Δία, ἀλλ' ἡ διάνοια τοῦ δρῶντος αὐτὰ δεινή, τὸ ἐπεγγελῶντα καὶ ὑβρίζειν νομίζοντα ῥαπίσαι ἢ λοιδορῆσαι ἤ τι τοιοῦτον ποιῆσαι· Δημοσθένης γοῦν καὶ τῷ βλέμματι ὑβρίζειν τι-

1 ecl. cum lemm. hab. S M A Br Mac. Chrys., sed pro lemm. *μουσωνίου* nihil amplius S Br Mac. post ecl. 19, 15 ponunt S M A Br, post 19, 14 Mac. maximam quidem partem affert Br in eis quae corollarii instar addidit sub finem excerptorum f. 66ʳ⁻ᵛ, mediam tantum (*Φωκίων δὲ* p. 536, 6 — *ἀπολογεῖσθαι* p. 536, 12) f. 38ʳ. non nisi pauca enuntiata habet Mac. quae infra commemorabimus. *μουσωνίου ἐκ τοῦ εἰ γραφὴν ὕβρεως γράψαι δέ τινα ὁ φιλόσοφος* M A¹, sed in M man. recentissima coniecturam adscripsit *δεῖ τινα φιλοσόφων* margini dextro, *γράψεται* pro *γράψαι δέ* A nescio qua manu ‖ **3** *γράψεσθαι* S ‖ **4** *ἑτέρῳ* ex *ἑτέρων* corr. A¹ | *οὐδενὶ* Br idque tacite scripserat Gesn.¹ p. 152, inde vulg.: *οὐδὲν* S Mᵈ A¹ ‖ **7** *λυδορηθῆναι* Mᵈ | *γελασθῆναι* (pro *πληγῆναι*) sed *σθ* in ras. Br¹ | *ἢ* ante *ἐμπτ.* addit Br, A sed hic supra lin. man. dub.: om. S Mᵈ Tr., inde vulg. ‖ **8** *πληγαί* Otto Rossbach *Bresl. philol. abh.* II p. 139 adn. 5: *πληγή* libri; recte comparatur Seneca de const. sap. 1, 3 ‖ **9** *πάσχουσιν* pro *ἔχουσιν* male ci. Halm lect. Stob. p. 3 | *παῖδας* compendiose etiam A, fallitur Gaisford ‖ **11** *εἰ* Mᵈ Br: *ἢν εἰ* S *ἢ εἰ* A, illud del. A² ‖ **12** *αὐτῷ* sed *ῷ* in ras. corr. B¹ ‖ **13** verba *νὴ Δία, ἀλλ'* — 535, 2 *οἴεται* interponuntur ex adverso dicta. *νὴ Δία, φησίν, ἀλλὰ κτἑ.* supra p. 287, 7, sed vide etiam v. II p. 73, 19 Mein. II p. 237, 24. 246, 13 Wachsm. | *ἀλλ' ἡ διάνοια* om. Tr. p. 124, inde vulg. ‖ **14** *δεινὴ* Mᵈ A Br: *δεῖν ἢ* S; *δεῖ ἢ* Gesn.¹, inde vulg. | *τὸ* corr. ex *τῷ* S | *ἐπαγγελῶντα* Mᵈ | *καὶ* S Mᵈ A: *ἢ* Br; om. Gesn.¹, inde vulg. ‖ **15** *τοιοῦτο* S ‖ **16** *Δημοσθ.*] or. XXI § 72 p. 537

νάς, καὶ ἀφόρητα εἶναι τὰ τοιαῦτα, καὶ ἐξίστασθαι τοὺς ἀνθρώπους ὑπ᾿ αὐτῶν ταύτῃ ἢ ἐκείνῃ οἴεται. ταῦτα δὲ οἱ μὲν τὸ καλὸν καὶ τὸ αἰσχρὸν ὅ τι τῇ ἀληθείᾳ ἐστὶν ἀγνοοῦντες καὶ πρὸς τὴν δόξαν κεχηνότες, καὶ αὐτοὶ ὑβρίζεσθαι νομίζουσιν, εἴ τις ἢ προσβλέποι αὐτοὺς πικρότερον ἢ καταγελῴη αὐτῶν ἢ πλήττοι ἢ λοιδοροίη. ἀνὴρ δὲ εὖ φρονῶν καὶ νοῦν ἔχων, οἷον εἶναι δεῖ τὸν φιλόσοφον, ὑπὸ οὐδενὸς τούτων ταράττεται, οὐδ᾿ οἴεται τὸ πάσχειν αὐτὰ αἰσχρόν, ἀλλὰ τὸ ποιεῖν μᾶλλον· ἐπεὶ τί καὶ ὁ πάσχων ἁμαρτάνει; ὁ δὲ ἁμαρτάνων εὐθὺς καὶ ἐν αἰσχύνῃ ἐστίν, ὁ μέντοι πάσχων ὡς οὖν οὐχ ἁμαρτάνει καθόσον πάσχει, οὕτως οὐδὲ ἐν αἰσχρῷ οὐδενὶ γίνεται. ὅθεν οὐδ᾿ ἐπὶ δίκας οὐδ᾿ ἐπ᾿ ἐγκλήματα προέλθοι ἂν ὁ νοῦν ἔχων, ἐπείπερ οὐδ᾿ ὑβρίσθαι ἂν δόξειεν· καὶ γὰρ μικρόψυχον τὸ ἀγανακτεῖν ἢ ἐπιτείνεσθαι περὶ τῶν τοιούτων· πρᾴως δὲ καὶ ἡσύχως οἴσει τὸ συμβάν, ἐπεὶ καὶ πρέπον τοῦτο τῷ βουλομένῳ εἶναι μεγαλόφρονι. Σωκρά-

---

2 *ταύτῃ κτἑ.*] vide ad 4 | *δὲ* libri: *οὖν* A[2] non recte; refutantur verba priora ‖ **4** post *κεχηνότες* habent *ταύτῃ* (*ταύτῇ* Br) *ἢ ἐκείνῃ οἴεται* (*οἴονται* Br) S M[d] A Br quae ex margine irrepsisse intellexit qui punctis damnavit in A. v. *οἴεται* postquam ego animadverti ad prius potius enuntiatum *Δημοσθένης κτἑ.* pertinere, etiam *ταύτῃ ἢ ἐκ.* illuc (2) retraxit Buecheler, nunc ut patefiat erroris origo: aberraverat librarius a *ταύτῃ* . . . ad *ταῦτα,* itaque quae omiserat adiecit in margine. ad *οἱ μὲν* . . . *κεχηνότες* subaudi *οἴονται* ‖ **5** *ἢ* ex *εἰ* corr. A *ἢ* Br et sic tacite Gesn.[1] p. 152, inde vulg.: *εἰ* S M[d] | *προβλέποι* M[d] ‖ **6** *λοιδορεῖ* sed *ει* in *οι* corr. A ubi praeterea *οιη* addidit man. dub. ‖ **8** *ὑπ᾿* Br ‖ **9** *ἐπεὶ τί* Buecheler: *ἐπεί τι* S M[d] Br *ἐπεί τοι* A; *ἐπειδὴ* Gesn.[1] p. 152, inde vulg. ‖ **10** *καὶ ὁ πάσχων ἁμαρτάνει* tacite seclusit Gesn.[1], inde vulg. | *ὁ δὲ ἁμαρτάνων* — 11 *ἁμαρτάνει* suppl. A manu antiqua, fortasse prima in margine v. *λείπει* praemisso | *ὁ δὲ* S M[d] A Br; *ὁ μὲν* tacite Gesn.[1], inde vulg. ‖ **11** *ὁ μέντοι* S M[d] Br: *ὁ δέ τι* A; *ὁ δὲ* tacite Gesn.[1], inde vulg. | *ὡς οὖν* scripsi: *ὅσον* S M[d] *ὥσπερ* A Br | *οὐκ* Br ‖ **12** *καθόσον πάσχει* libri nisi quod *οὐ* compendiose superscr. A[2] | *οὐδ᾿* recte A ‖ **13** *οὔτ᾿ ἐπὶ δίκας οὔτ᾿ ἐπ᾿ ἐγκλ.* — 14 *ἂν δόξειεν ὑβριζόμενος· οὐδ᾿ ἀδικεῖσθαι ἀδικούμενος* Mac. addito lemm. *μουσωνίου* | *προέλθοι* Br idque conieccerat Meineke: *προσέλθοι* S M[d] A Mac.; *εἰσέλθοι* Tr. p. 125, inde vulg. ‖ **14** *ἔχων ποτέ. ἐπείπερ* Mac. ‖ **17** *Σωκράτης δημοσίᾳ λοιδορηθεὶς* — 536, 1 *λοιδορηθεὶς ἠγανάκτει* hab. Mac. praemisso lemm. *Τοῦ αυτοῦ*

της γοῦν οὕτω διακείμενος φανερὸς ἦν, ὃς δημοσίᾳ λοιδορηθεὶς ὑπ' Ἀριστοφάνους, οὐχ ὅπως ἠγανάκτησεν, ἀλλὰ καὶ ἐντυχὼν ἠξίου αὐτὸν εἰ καὶ πρὸς ἄλλο τι τοιοῦτον βούλοιτο χρῆσθαι αὐτῷ. ταχύ γ' ἂν ἐκεῖνος ἐν ὀλίγοις λοιδορούμενος ἐχαλέπηνεν, ὃς οὐδὲ ἐν θεάτρῳ λοιδορηθεὶς ἠγανάκτει; Φωκίων δὲ ὁ χρηστός, τῆς γυναικὸς αὐτοῦ προπηλακισθείσης πρός τινος, τοσοῦτον ἐδέησεν ἐγκαλεῖν τῷ προπηλακίσαντι, ὥστε ἐπεὶ δείσας ἐκεῖνος προσῆλθέ τε καὶ συγγνώμην ἔχειν ἠξίου τὸν Φωκίωνα, φάσκων ἠγνοηκέναι ὅτι ἦν ἐκείνου γυνή, εἰς ἣν ἐπλημμέλει· 'ἀλλὰ ἥ γε ἐμὴ γυνὴ οὐδέν' ἔφη 'ὑπὸ σοῦ πέπονθεν, ἑτέρα δέ τις ἴσως, ὥστε οὐδὲ χρὴ ἐμοί σε ἀπολογεῖσθαι. καὶ ἄλλους δὲ παλαιοὺς ἄνδρας ἔχοιμ' ἂν λέγειν πειραθέντας ὕβρεως, τοὺς μὲν ἔκ τινων γλώσσῃ πλημμεληθέντας, τοὺς δὲ χερσὶν ὥστε αἰκισθῆναι τὸ σῶμα· καὶ οὔτε ἀμυνάμενοι φαίνονται τοὺς πλημμελήσαντας οὔτε ἄλλον τρόπον ἐπεξελθόντες, ἀλλὰ πάνυ πρᾴως ἐνεγκόντες τὴν ἀδικίαν αὐτῶν. καὶ γὰρ δὴ τὸ μὲν σκοπεῖν ὅπως ἀντιδήξεταί τις τὸν δακόντα καὶ ἀντιποιήσει κακῶς τὸν ὑπάρ-

1 *ὃς* S M^d A Br: *ὅς γε* ex em. A², inde Gaisford et Meineke ‖ **2** *ὑπὸ* M^d ‖ **3** *καὶ* (post *ἀλλὰ*) om. A | *εἰ καὶ κτέ.*] cf. Ps.-Plut. *περὶ ἀσκήσεως* mus. Rh. XXVII p. 528 ‖ **4** post *αὐτῷ* habet *ἐν ἤθει ἀναγνωστέον* A¹ sed postmodo expunctum utpote scholium, *ἠθικῶς ἀναγνωστέον* Mac. mrg, *ἐν ἤθει* Br in margine man. dub. | *οὐ* ante *ταχύ* oscitanter inseruit Gesn.¹ p. 152, inde vulg. | *γὰρ* pro *γ' ἂν* M^d | *ἐν ὀλίγοις* S A Mac.: om. M^d Br ‖ **5** *ἐχαλέπαινεν* Mac. ‖ **6** *ἠγανάκτησε* A² | *Φωκίων κτέ.*] vide quae dixit G. Heylbut mus. Rh. XXXIX p. 310 ‖ **8** *ἐπεὶ δείσας* libri nisi quod *ἐπιδείσας* S | *ἐκεῖνο* M^d ‖ **9** *Φωκίονα* M^d ‖ **12** *ἐμέ* A¹ *ἐμοί* A² | *γε* pro *σε* Tr., inde vulg. ‖ **13** *παλαιοὺς* libri; *πολλοὺς* Hirschig misc. philol. (Trai. ad Rh. a. 1849) p. 188, non satis apte, inquies, philosopho qui multitudinis opiniones confutare soleat priscorum auctoritate et inlustrium, sed vide vol. II p. 73, 15 sq. 74, 20 Mein. ‖ **14** *ἔν* (sic) ex *ἔκ* corr. A | *τινος* pro *τινων* Br ‖ **16** *ἀμυνάμενοι* (*ἀμυνόμενοι* sed prius *ο* in ras. Br¹) *φαίνονται* S M^d A Br; *ἀμυναμένους φανῆναι* temere Gesn.² qui mox *ἐξελθόντας* (*ἐξελθόντες* Tr.) et *ἐνεγκόντας*, inde vulg. ‖ **18** v. *τὸ σκοπεῖν ὅπως ἀντιδήξηται τὸν δάκνοντα* — 537, 1 *οὐκ ἀνθρώπου ἐστί* habet Mac. praemisso *τοῦ αὐτοῦ* lemmate | *ἀντιδήξεται* S M^d Br, ex em. A²; *ἀντιδήξηται* Mac. Tr., inde vulg. ‖ **19** *δακόντα* tacite Welcker Theogn. p. LXXXV: *δάκνοντα* libri cf.

ξαντα, θηρίου τινὸς οὐκ ἀνθρώπου ἐστίν, ὡς οὐδὲ τοῦτο λογίσασθαι δύναται, ὅτι τὰ πολλὰ τῶν ἁμαρτανομένων ὑπ' ἀγνοίας τε καὶ ἀμαθίας τοῖς ἀνθρώποις ἁμαρτάνεται, ὧν ὁ μεταδιδαχθεὶς εὐθὺς παύεται· τὸ δὲ δέχεσθαι τὰς ἁμαρτίας μὴ ἀγρίως, μηδὲ ἀνήκεστον εἶναι τοῖς πλημμελήσασιν, ἀλλά τι μὲν εἶναι αὐτοῖς ἐλπίδος χρηστῆς, ἡμέρου τρόπου καὶ φιλανθρώπου ἐστίν. πόσῳ δὴ κρεῖττον οὕτως ἔχοντα φαίνεσθαι τὸν φιλόσοφον, ὥστε συγγνώμης ἀξιοῦν εἴ τις πλημμελήσειεν εἰς αὐτόν, ἢ δοκεῖν μὲν ἀμύνειν ἑαυτῷ δικαζόμενον καὶ ἐγκαλοῦντα, τῇ δὲ ἀληθείᾳ ἀσχημονεῖν, ἀνακόλουθα τοῖς ἑαυτοῦ λόγοις πράττοντα; εἴ γε λέγει μέν, ὡς οὐκ ἂν ἀδικηθείη ποτὲ ὁ ἀγαθὸς ἀνὴρ ὑπὸ κακοῦ ἀνδρός· ἐγκαλεῖ δ' ὡς ἀδικούμενος ὑπὸ ἀνθρώπων πονηρῶν αὐτὸς ἀξιῶν ἀγαθὸς εἶναι.

17 *Δίωνος.*

Δίωνι τῷ Ἀκαδημιακῷ ἀπὸ συμποσίου ἀναστρέφοντι παρεπόμενος κακῶς τις ἔλεγε καὶ βλασφημίας οὐδὲν ἀπελίμπανεν· ὁ δ' ἡσύχως εἶχεν. ὡς δὲ καὶ ἐπὶ τὴν οἰκίαν ἦλθε, μέλλοντι αὐτῷ εἰσιέναι ὁ λοιδορῶν 'τί δαί;' ἔφη· πρὸς ὃν εἶπεν ὁ Δίων 'οὐδὲ γρῦ'.

Philodemus anthol. Pal. V 107 (Philod. Gad. epigr. p. XII ed. Kaib.) τόν με δακόντα δακεῖν; Stob. III 4, 105 | ἀντιποιήσει Br Mac., ex em. A²: ἀντιποιήσῃ S Mᵈ A | ὑπάρξοντα S

1 θηρίων Tr., inde vulg. | ὡς scripsi: ὃς libri || **2** τὰ om. Br || **3** ὑπὸ Mᵈ Br || **5** ἀνήκεστον S Mᵈ A Br; ἀνήμεστον Tr. quo abductus ἀνήμερον tacite scr. Gesn.¹ p. 152, inde vulg. | πλημμελήμασιν A || **6** μὲν εἶναι S Mᵈ A corrupte, νέμειν Br quod commendabat Beving *remarques crit.* p. 21; δεικνύναι ci. Iacobs animadv. in Stob. p. 243, lenius poterat μηνύειν. contra μένειν mavult Buecheler. an μένειν ἔτ'? || **7** πόσῳ δὴ usque ad fin. om. Br | δή sed η ex ε corr. S¹ δὴ Mᵈ A quod recepi coll. flor. 29, 75 p. 11, 11 Mein.: δὲ Tr., inde vulg. || **10** μὲν S Mᵈ: μὴ A | δικαζόμενον et 11 λόγοις] litteras ex parte evanidas refecit S m. rec. | ἀληθεία Mᵈ A: ἀληθείῃ S || **11** ἀσχημονεῖν] ἀσχημον in ras. scr. m. ni fallor rec. S || **12** εἴ τε Mᵈ | ὁ om. operarius Gesn.², inde vulg. || **13** ἀνὴρ S A: ἄνθρωποσ Mᵈ || **14** αὐτὸς om. S || **15** ecl. sine lemm. hab. S, addito lemm. M A. testimonio Zenobii cent. V 54 nuper accessit Plutarchus de proverbiis Alexandr. 29. cf. O. Crusius annal. philol. 1887 p. 253 sq. || **16** ἀκαδημιακῶ ex -μαικῶ corr. S¹ || **19** ἦλθεν S | λοιδωρῶν Mᵈ | δαὶ S Mᵈ δὲ A || **20** vid. Wyttenbach ad Plut. mor. p. 10 C

18 *Ξενοφῶντος ἐκ τοῦ Συμποσίου* (II 24—26).

Ὁ δ' αὖ Σωκράτης εἶπεν· Ἀλλὰ πίνειν μέν, ὦ ἄνδρες, κἀμοὶ πάνυ δοκεῖ· τῷ γὰρ ὄντι ὁ οἶνος ἄρδων τὰς ψυχὰς τὰς μὲν λύπας, ὥσπερ ὁ μανδραγόρας τοὺς ἀνθρώπους, κοιμίζει, τὰς δὲ φιλοφροσύνας, ὥσπερ ἔλαιον φλόγα, ἐγείρει. δοκεῖ γε μέντοι μοι καὶ τὰ τῶν ἀνδρῶν συμπόσια ταὐτὰ πάσχειν, ἅπερ καὶ τὰ τῶν ἐν τῇ γῇ φυομένων. καὶ γὰρ ἐκεῖνα, ὅταν μὲν αὐτὰ ὁ θεὸς ἄγαν ἀθρόως ποτίζῃ, οὐ δύναται ὀρθοῦσθαι οὐδὲ ταῖς αὔραις διαπνεῖσθαι· ὅταν δὲ ὅσῳ ἥδεται τοσοῦτον πίνῃ, καὶ μάλα ὀρθά τε αὔξεται καὶ θάλλοντα ἀφικνεῖται εἰς τὴν καρπογονίαν· οὕτω δὲ καὶ ἡμεῖς ἢν μὲν ἀθρόον τὸ ποτὸν ἐγχεώμεθα, ταχὺ ἡμῶν καὶ τὰ σώματα καὶ αἱ γνῶμαι σφάλλονται, καὶ οὐδὲ ἀναπνεῖν, μὴ ὅτι λέγειν τι δυνησόμεθα· ἢν δὲ ἡμῖν οἱ παῖδες μικραῖς κύλιξι πυκνὰ ἐπιψακάζωσιν, ἵνα καὶ ἐγὼ ἐν Γοργιείοις ῥήμασιν εἴπω, οὕτως οὐ βιαζόμενοι μεθύειν ὑπὸ τοῦ οἴνου, ἀλλ' ἀναπειθόμενοι πρὸς τὸ παιγνιωδέστερον ἀφιξόμεθα.

19 *Ἡροδότου ἱστορίας ζ'* (VII 160).

1 ecl. cum lemm. hab. SMA. v. *οἶνος τὰς μὲν λύπας ὥσπερ μανδραγόρας ἄνδρα κοιμίζει — ἐγείρει* Stob. flor. 56, 17 Mein. (*Ξενοφ.*) ‖ **2** *ὦ ἄνδρες* libri sed S per compendium quod perperam interpretatus *ὧδε* scripsit Tr. p. 126, inde vulg. ‖ **3** *καὶ ἐμοὶ* Xen. | *ὁ* om. M^d ‖ **4** *τοὺς* om. Athen. XI p. 504 c | *τοὺς ἀνθρώπους* M^d Tr. Xen. *τοὺς ἀνους* ex dativo corr. S: *τοῖς ἀνθρώποις* A et Xenophontis non nulli ‖ **6** *φλόγας* Athen. | *δοκεῖ γε* S A: *δοκεῖ δέ γε* M^d; *δοκεῖ* (om. *γε* vel *δέ γε*) Xen. Athen. | *μοι* S Xen.: om. M^d A supra lin. addidit A^2 | *τῶν ἀνδρῶν* (*ἀγρῶν* A) S M^d A Xen.; *τῶν ἀνθρώπων* Athen. ‖ **7** *συμπόσια* Stob. ut libri Xenophontis: *σώματα* Athen. | *ταῦτα* Stob. cum libris Xenophonteis: *τὰ αὐτὰ* Athen. | *τῇ* om. Xenophontis haud pauci et Athen.; *τὰ ἐν γῇ φυόμενα* Castalio ‖ **8** *ὁ θεὸς αὐτὰ* Xen. Athen. | *ἄγαν* om. S ‖ **10** *τοσοῦτον* S M^d: *τοσούτῳ* A libri Xen. *τοσοῦτο* Athen. ‖ **12** *δὲ* om. A | *δὴ* pro *δὲ* Athen. ‖ **13** *τάχα* A^1 corr. A^2 | *ἡμῶν* Stob. et Athen.: *ἡμῖν* libri Xen. ‖ **14** *σφάλλονται* S M^d A: *σφαλοῦνται* Xen. Athen. | *τι* om. Athen. ‖ **15** *κύλιξιν* S M^d | *ἐπιψακάζωσιν* S M^d A sed *ε* superscr. A^2: *ἐπιψεκάζωσιν* Tr., inde vulg. ‖ **16** *Γοργιείοις* Xen. Athen.: *γοργίοις* S M^d A; *γοργείοις* tacite Gesn.[1] p. 154, inde vulg. ‖ **17** *μεθύειν* post *οἴνου* libri Xen., del. Conr. Orelli ‖ **19** ecl. cum lemm. hab. S, om. M A; lemma om. Tr. verba *ονείδεα — τὸν θυμόν* iterantur infra 20, 44 (*Ἡροδότου*)

Ὦ ξεῖνε Σπαρτιῆτα, ὀνείδεα κατιόντα ἀνθρώπῳ φιλέει ἐπανάγειν τὸν θυμόν. σὺ μέντοι ἀποδεξάμενος ὑβρίσματα ἐν τῷ λόγῳ, οὔ μ' ἔπεισας ἀσχήμονα ἐν τῇ ἀμοιβῇ γενέσθαι.

CAPVT XX.

ΠΕΡΙ ΟΡΓΗΣ.

1 *Θεόγνιδος* (1223).
Οὐδέν, Κύρν', ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα
πημαίνει, θυμῷ δειλὰ χαριζομένη.

2 *Εὐήνου* (fr. 5 p. l.[4] II p. 270 Bergk.).
Πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψεν
κρυπτόμενον, μανίας ⟨οὐ⟩ πολὺ χειρότερον.

3 *Μενάνδρου* (fab. inc. fr. 64 com. IV p. 252).
Ὀργῇ παραλογισμός ποτ' οὐδεὶς φεύγεται.
αὕτη κρατεῖ νῦν, ἂν δὲ μικρὸν παρακμάσῃ,

---

1 *ὦ ξεῖνε* S Her.: *ξεῖνε* Tr., inde vulg. | *Σπαρτιῆτα* SHer.: *Σπαρτιάτα* Tr., inde vulg. | *τὰ* ante *ὀνείδεα* add. flor. 20 || **2** *ἀπανάγειν* Tr. || **3** *μ' ἔπεισας* S *με ἔπεισας* Herodoti *R*: *με πείσεις* Her.

Caput XX habent SMA, aliquot eclogas etiam Mac. Chrys. titulum Photianum *περὶ ὀργῆς* praebent S M A Mac., item numerum nisi quod *ιε'* S. discrepat Br, ubi cum titulus exstet *περὶ ὀργῆς θυμοῦ ἔριδος καὶ φιλονεικίας* manifesto interpolatus suspecta fiunt etiam eclogarum additamenta. vide quae adnotavi infra p. 546, 14 adn. || **7** ecl. cum lemm. hab. S M A. deest distichon in Theognidis codicibus || **8** *Κύρν'* sed *ν* in ras. M² | *ἀδικώτερον* Heimsoethio et Bergkio suspectum: *δικαιότερον* proposuit Bergk || **10** ecl. cum lemm. hab. S M A (post ecl. 20, 1), sine lemm. Br (post Aesch. Pr. 377—78). ex Stobaeo iterat Maximus c. 19 p. 594 Combef. (*Εὐήνου*), Mel. Aug. c. 34, 24 teste Wachsmuthio *stud.* p. 153 || **12** *οὐ* addidit Buecheler | *πολὺ* S Mᵈ A Br Max.; *πουλὺ* Grotius dict. poet. p. 526 | *χειρότερον* S Mᵈ A *χεῖρον* Max., ambigo de Br: *χερειότερον* Grotius et sic corr. cod. Paris. 1985 m. sec. si fides est Gaisfordo, sed Grotio ipso opinor auctore || **13** ecl. cum lemm. hab. S, om. M A || **14** *ὀργη* (sine acc.) *παραλογισμός* S; *ὀργῇ λογισμὸς γάρ ποτ' οὐδεὶς φύεται* Dobree adv. II p. 280 *ὀργῇ, πάτερ, λογισμὸς οὐδεὶς φύεται* vel *ὀργῇ πάρα λογισμός ποτ' οὐδεὶς φύεται* Meineke | *οὐδὲ εἷς* S | *φεύγεται* Buecheler: *φύεται* S

κατόψεταί τι μᾶλλον εἰς τὸ συμφέρον.

4 *Φιλήμονος* (fab. inc. 59[a. b] com. IV p. 54).

Μαινόμεθα πάντες, ὁπόταν ὀργιζώμεθα.
τὸ γὰρ κατασχεῖν ἐστι τὴν ὀργὴν πόνος.

5 *Τοῦ αὐτοῦ.*

Ἅπανθ᾽ ὅσ᾽ ὀργιζόμενος ἄνθρωπος ποεῖ,
ταῦθ᾽ ὕστερον λάβοις ἂν ἡμαρτημένα.

6 *Μενάνδρου* (fab. inc. fr. 629 Kock.).

Ἐπίσχες ὀργιζόμενος. — Ἀλλὰ βούλομαι.
— Οὐδεὶς γὰρ ὀργῆς χάριν ἀπείληφεν, πάτερ.

7 *Εὐριπίδου Αἰόλῳ* (fr. 31 N.²).

Ὀργῇ γὰρ ὅστις εὐθέως χαρίζεται,
κακῶς τελευτᾷ· πλεῖστα γὰρ σφάλλει βροτούς.

8 *Ἐπιχάρμου* (fr. *21 p. 261 Lor.).

Μὴ ᾽πὶ μικροῖς αὐτὸς αὑτὸν ὀξύθυμον δείκνυε.

9 *Τοῦ αὐτοῦ* (fr. *22 ibid.).

Ἐπιπολάζειν οὔ τι χρὴ τὸν θυμόν, ἀλλὰ τὸν νόον.

10 *Τοῦ αὐτοῦ* (fr. *23 ibid.).

Οὐδὲ εἷς οὐδὲν μετ᾽ ὀργῆς κατὰ τρόπον βουλεύεται.

---

1 *τι μᾶλλον εἰς τὸ* S: *τί μᾶλλόν ἐστι* Cobet n. l. p. 88 ‖ **2** ecl. cum lemm. hab. S M A (post ecl. 20, 3) Mac. Chrys. (tamquam capitis primam). iterat Maximus c. 19 p. 594 Combef. (*Φιλήμονος*). duo esse fragmenta vidit H. Stephanus. cf. ecl. 19 ‖ **4** *τῆς ὀργῆς* SMA Mac.: *τὴν ὀργὴν* ci. Gesn.¹ p. 154 mrg. illud in Stobaeo retinuit Meineke cf. vind. Strab. p. 211 ‖ **5** ecl. cum lemm. hab. S M A. inter Philemonis igitur reliquias fragmentum erat recipiendum, nihil valet Tr. p. 127, ubi lemma *Μενάνδρου* male retractum est ex proxima ecloga. hoc errore abductus Menandreis versus inseruit Meineke com. IV p. 274, rectius ad dubia Menandrea relegavit Kock III p. 265 ‖ **6** *ὅσᾳ* A | *ποεῖ* S: *ποιεῖ* M[d] A Tr. ‖ **8** ecl. cum lemmate *μ*[ε] hab. S, om. M A ‖ **9** *ἀλλ᾽ οὐ* dubitanter coniecit Kock ‖ **11** ecl. cum lemm. hab. S M A ‖ **14** ecl. cum lemm. hab. S M A. recurrit corp. Par. 643 Elt. (*Ἐπιχάρμου*) ‖ **15** *μὴ ἐπὶ* S M[d] corp. Par. *μὴ ἐπὶ* sed *ε* lineola del. A | *αὑτὸν* A corp. Par.: *αὐτὸν* S M[d] ‖ **16** ecl. cum lemm. hab. S M A ‖ **17** *οὔτι* S *ὅτι* M[d] m. pr. *οὔτε* A | *χρὴ τὸν θυμὸν* S A: *χρὴ* M[d] | *νόον* Ahrens coll. Theogn. v. 631: *νόμον* S M[d] A ‖ **18** ecl. hab. lemmate non iterato S, addito lemm. M A ‖ **19** *οὐδὲ εἷς* Grotius dict. poet. p. 526: *οὐθεὶς* (sic) S M[d] A | *οὐθὲν* M[d] | *μετ᾽ ὀργᾶς*

11 *Εὐριπίδου Ἀρχελάῳ* (fr. 257 N.[2]).
Πολλοὺς δ' ὁ θυμὸς ὁ μέγας ὤλεσεν βροτῶν
ἥ τ' ἀξυνεσία, δύο κακὼ τοῖς χρωμένοις.

12 *Εὐπιπίδου Ἀρχελάῳ* (fr. 259 N.[2]).
Ὀργῇ δὲ φαύλῃ πόλλ' ἔνεστ' ἀσχήμονα.

12[a] (Eur. Hypsip. fr. 760 N.[2])
Ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος.

12[b] (trag. fr. adesp. 523 N.[2])
Πόλλ' ἐστὶν ὀργῆς ἐξ ἀπαιδεύτου κακά.

13 *Αἰσχύλου.*
Ὀργῆς ματαίας εἰσὶν αἴτιοι λόγοι.

14 *Σοφοκλέους* (Ant. 1028).

Ahrens | *κατὰ τρόπον βουλεύεται* M[d] A: *βουλεύεται* S Tr. praeterea *Εὐριπίδου* lemma falso huc retrahitur Tr. quo errore deceptus trimetrum procudit (*οὐδεὶς μ. ὁ. οὐδὲν εὖ β.*) Gesn.[1] p. 154, vulg.

1 ecl. cum lemm. hab. S M, om. A || **2** *ὤλεσεν* Grotius dict. poet. p. 105: *ὤλεσ*^{ε} (*ε* add. m. rec.) S *ὤλεσε* M[d] Tr. || **3** *ἥ τε* S M[d] | *ἀξυνεσία* Grotius: *ἀσυνεσία* S M[d] | *δύο* (ut tacite scripsit Grotius) S M[d]: *δύω* Tr., inde vulg. || **4** ecl. hab. S M A, etiam lemma M[d] A, *τοῦ αὐτοῦ* (cf. ecl. 26) nec plura S. recurrit versus inter monost. 687 || **6** sine lemm. versus cohaeret cum praegresso in S M A: separavit Grotius l. c. p. 105 coll. ecl. 31 ubi iteratur ecl. cum lemm. *Εὐριπίδου Ὑψιπύλῃ.* versus recurrit flor. Mon. 150 || **7** *σοφώτερος* M[d] A et ecl. 31: *σοφώτατος* S (Tr. vulg.) || **8** ecl. a prioribus versibus, cum quibus cohaeret lemmate carens in S M A, separavit Grotius l. c. etiam hunc versiculum Euripidi vindicaverim, certe *ἀπαίδευτος* vocem in Aeschyli aut Sophoclis fabulis hodie frustra quaeras. nisi ipse quoque Hypsipylae est versus, Philoctetae favet et ordo litterarum et ipsum argumentum (cf. ecl. 17) || **10** ecl. cum lemm. hab. S M A. inter Aeschyli fragmenta dubia relegavit Hermann p. 412 tamquam ortum ex Aesch. Prom. 378 *ὀργῆς* (*ψυχῆς* Plut. cons. ad Apoll. p. 102 B) *νοσούσης εἰσὶν ἰατροὶ λόγοι.* unde ipsum *ἰατροὶ* Stobaeo reddendum putat Nauck trag. gr. fr.[2] p. XX, quae suspicio non nimis commendatur eclogis vicinis. immo si vera est Hermanni sententia, probabilius putaverim gnomologum qui scripserit *ματαίας* pro *νοσούσης* removisse etiam quod cum voce *νοσούσης* eiusdem comparationis est *ἰατροί.* ceterum hoc ipso loco infringi videtur fides eclogae per solum Br traditae de qua rettulimus ad ecl. 20, 36 adn. || **12** ecl. cum lemm. hab. S M A

Αὐθαδία τοι σκαιότητ᾽ ὀφλισκάνει.

15 *Χαιρήμονος* (fr. 28 p. 789 N.²).

Ἡγοῦ δ᾽ ἐν ὀργῇ πάντα γίγνεσθαι κακά.

16 *Τοῦ αὐτοῦ* (fr. 29 p. 789 N.²).

Ὀργὴ δὲ πολλοὺς δρᾶν ἀναγκάζει κακά.

17 *Εὐριπίδου Φιλοκτήτου* (fr. 799 N.²).

Ὥσπερ δὲ θνητὸν καὶ τὸ σῶμ᾽ ἡμῶν ἔφυ,
οὕτω προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν
ἀθάνατον, ὅστις σωφρονεῖν ἐπίσταται.

18 *Σωσιφάνους* (fr. 2 p. 820 N.²).

Νῦν σοι πρὸς ὄψιν θυμὸς ἡβάτω, γέρον,
νυνὶ † δεῖ γ᾽ ὀργήν, ἡνίκ᾽ † ουδείκου, λαβεῖν.

19 *Μενάνδρου* (fab. inc. fr. 285 com. IV p. 294).

Ὅσος τὸ κατέχειν ἐστὶ τὴν ὀργὴν πόνος.

20 *Τοῦ αὐτοῦ* (fab. inc. fr. 84 com. IV p. 256).

Οὐκ ἔστιν ὀργῆς, ὡς ἔοικε, φάρμακον

---

1 *αὐθάδειά τοι* S A *αὐθάδεια τὸν* M^d: *αὐθαδία τοι* Soph. | *σκαιότητα* M^d ‖ **2** ecl. cum lemm. hab. SMA ‖ **3** *ἡγοῦ δ᾽* non solum M^d A sed etiam S (*γ* sic ut facile cum *σ* confundi possit): *Ης οὐδ᾽* Tr. | *γίνεσθαι* SM^dA ‖ **4** ecl. cum lemm. hab. SMA. legitur versus inter mon. 429, Men. et Philist. dial. codicis Athen. v. 50 ‖ **5** *ὀργὴ* ex *ὀργῇ* corr. M rubr. | *πολλὰ* mon. *δεινὰ* cod. Ath. | *ἀν. βροτοὺς* cod. Ath. ‖ **6** ecl. cum lemm. hab. SMA (post ecl. 20, 16) Br (tamquam capitis primam) Mac. Chrys. (post ecl. 20, 4); *Εὐρ.* om. Br. iteratur Maxim. c. 19 p. 594 Combef. (post Euripid.). confer quae collegit Nauck ‖ **7** *δὲ* om. Mac. | *ἔφη* A¹ ‖ **10** ecl. cum lemm. hab. S, om. MA ‖ **12** *νυνὶ δεῖ γ᾽ ὀργὴν* S: *νῦν δεῖ γὰρ ὀργὴν* Grotius dict. poet. p. 105 quod probavit Naeke opusc. I p. 46 *νῦν ἔργον ὀργὴν* ego lect. Stob. p. 28 sq. *νῦν ἡδύ γ᾽ ὀργὴν* Nauck | *οηδείκου* sed *η* ex *υ* corr. S *quid prius fuerit ambiguum, nec tamen litterarum ευ repperi ullum vestigium* Mekler lect. Gr. (Vindob. a. 1882) p. 15; *ἐν δείκου* Tr., unde *ἔνδικον* tacite Gesn.¹ p. 154, vulg. *ἠδικοῦ* Mekler, sed hoc cum *πρὸς ὄψιν* non convenit. *νῦν ἡνί᾽ ὀργῆς, ἡνίκ᾽ ἔνδικον, χάλα* iusto audacius Gomperz *mél. Graux* p. 52 sq. *νῦν δεῖ δι᾽ ὀργῆς* (quod mihi quoque olim placuit) — *μολεῖν* nunc Gomperz. *νῦν ἡδύ γ᾽ ὀργήν, ἡνίκ᾽ οὐδ᾽ εἰκός, λαβεῖν* Buecheler. num *ἡνίκ᾽ οὐδ᾽ εἴκει*, iste scilicet cuius nescio quod facinus bilem movere dicitur? ‖ **13** ecl. cum lemm. hab. S, om. MA. cf. ecl. 4 ‖ **15** ecl. cum lemm. hab. SMA; *τοῦ αὐτοῦ* S *μενάνδρου* M^d A. iterat hanc et proximam cum lemmate *Μενάνδρου* sed lemmate ante proximam non repetito corp. Par. 644. 645 Elt. ‖ **16** *ὡς* om. corp. Par.

ἀλλ' ἢ λόγος σπουδαῖος ἀνθρώπου φίλον.

21 *Τοῦ αὐτοῦ* (fab. inc. fr. 25 com. IV p. 241).

Εἰ καὶ σφόδρ' ἀλγεῖς, μηδὲν ἠρεθισμένος
πράξῃς [τι] προπετῶς· ὀργῆς γὰρ ἀλογίστου κρατεῖν
ἐν ταῖς ταραχαῖς μάλιστα τὸν φρονοῦντα δεῖ.

22 *Τοῦ αὐτοῦ* (Georg. fr. 3 com. IV p. 96).

Τὸ δ' ὀξύθυμον τοῦτο καὶ λίαν πικρὸν
δεῖγμ' ἐστὶν εὐθὺς πᾶσι μικροψυχίας.

23 *Θεοκρίτου* (I 15).

Οὐ θέμις, ὦ ποιμήν, τὸ μεσαμβρινόν, οὐ θέμις ἇμιν
συρίσδειν· τὸν Πᾶνα δεδοίκαμες· ἦ γὰρ ἀπ' ἄγρας
τανίκα κεκμακὼς ἀμπαύεται, ἔστι δὲ πικρός,
καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥῖνα κάθηται.

24 *Ὁμήρου* (Il. I 103—104).

Ἀχνύμενος, μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι
πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην.

25 *Εὐριπίδου Ἀρχελάῳ* (fr. 258 N.²).

Τῷ γὰρ βιαίῳ κἀγρίῳ τὸ μαλθακὸν
εἰς ταὐτὸν ἐλθὸν τοῦ λίαν παρείλετο.

---

1 *ἄλλο γ' ἢ* S M[d] *ἀλλό γ' ἢ* A[1] sed corr. A[2] *ἀλλ' ἢ* Tr. corp. Par. || **2** ecl. cum lemm. hab. S M A. vide ad ecl. 20 || **3** *καὶ* in ras. M[d] | *μηθὲν* M[d] corp. Par. || **4** *πράξῃς* Gesn.[1] p. 156, inde vulg.: *πράξεις τί* S M[d] A sed *τι* lineola subducta del. A || **6** ecl. cum lemm. hab. S A, lemmate carentem et cum priore ecloga coniunctam M[d]. distichon quod huic praemiserat Menander supra legitur III 1, 62 (*Μενάνδρου Γεωργῷ*), duo coniuncta apud Orionem anth. VII 9 p. 51, 23 Schneidew. (*ἐκ τοῦ Γεωργοῦ*) || **8** *πᾶσι* ex *πάσης* corr. A || **9** ecl. cum lemm. hab. S, om. M A || **10** *ποιμήν* S Theocr.: *ποιμὰν* Tr. p. 127, inde vulg. | *ἀμιν* sine acc. S *ἅμμιν* Tr., vulg.: *ἄμμιν* Theocr., fort. etiam Stob. || **11** *συρίσδεν* Theocr. || **12** *ἔστι δὲ* S: *ἐντί γε* Theocr. codd. *ἐντὶ δὲ* Valckenaer || **13** *ῥινα* sine acc. S *ῥῖνα* Tr. p. 128, vulg.: *ῥινὶ* Theocr. || **14** ecl. cum lemm. hab. S M A || **15. 16** *ἀχνύμενος* om. S fortasse recte. nam neque sui iuris est *ἀχν.* et agitur de ira. quamquam neglegentior S etiam in proximis ubi verbis *πίμπλαντ' — ἐίκτην* quae habent M A omissis post *ἀμφιμέλαιναι* in margine notat *καὶ τὰ ἑξῆς* compend.; *πίμπλαντο* ex Hom. ut videtur suppl. Tr. | *ὄσσε*, sed *ε* e corr. M[d] || **17** ecl. habet S, om. M A; *εὐριπι* *ἀρχελάω* (δ supra) S || **19** *ταὐτὸν* ci. Gesn.[1] p. 156 mrg: *αὐτὸν* S | *παρείλετο* Tr. p. 128: *παρείλατο* S

26 *Τοῦ αὐτοῦ* (fr. 1038 N.[2]).

Ὀργαὶ γὰρ ἀνθρώποισι συμφορᾶς ὕπο
δειναί, πλάνος τε καρδίᾳ προσίσταται.

27 *Σοφοκλέους Οἰδίποδος* (Col. 592).

Ὦ μωρέ, θυμὸς ἐν κακοῖς οὐ ξύμφορος.

28 *Ἀρχιλόχου* (fr. 66 p. l. II[4] p. 400).

Θυμέ, θύμ' ἀμηχάνοισι κήδεσιν κυκώμενε,
† ἀναδευ, δυσμενῶν δ' ἀλέξευ προσβαλὼν ἐναντίον
στέρνον, ἐνδόκοισιν ἐχθρῶν πλησίον κατασταθεὶς
ἀσφαλέως· καὶ μήτε νικῶν ἀμφάδην ἀγάλλεο,
μήτε νικηθεὶς ἐν οἴκῳ καταπεσὼν ὀδύρεο,
ἀλλὰ χαρτοῖσίν τε χαῖρε καὶ κακοῖσιν ἀσχάλα
μὴ λίην· γίγνωσκε δ' οἷος ῥυσμὸς ἀνθρώπους ἔχει.

29 *Σοφοκλέους ἐν Τυροῖ* (fr. 600 N.[2]).

Πόλλ' ἐν κακοῖσι θυμὸς εὐνηθεὶς ὁρᾷ.

---

1 ecl. hab. S, om. MA; *τοῦ αὐτοῦ* S quod de eadem Archelao interpretor. plane enim eadem ratione supra excipiunt se in S *Εὐριπίδου Ἀρχελάῳ* (ecl. 11) *Τοῦ αὐτοῦ* (ecl. 12) ubi bis ponitur *Εὐριπ. Ἀρχελάῳ* in M. non uti debuerunt codice Paris. 1985 ubi iteratur *Εὐριπίδου*. rectius poetae nom. non iterat Tr. p. 128. vide etiam flor. 29, 38 Mein. ‖ **4** ecl. cum lemm. hab. S, om. MA ‖ **5** *θυμὸς δ'* Soph. | *ξύμφορος* recepi ex S: *σύμφορος* Tr., vulg., *ξύμφορον* Soph. ‖ **6** ecl. cum lemm. hab. SMA. v. 1 affert Dionysius Hal. de comp. verb. c. 17 sine poetae nomine ‖ **7** *κήδεσιν* Grotius dict. poet. p. 105: *κήδεσι* S M[d]A ‖ **8** *ἀναδευ* SM[d] *ἀν* (*ὰ* supra) *δ'εὖ* A *ἐνάδευ* Tr.: *ἄνεχε* ci. Grotius, *ἄνα δέ* Liebel, *ἀνὰ δ' ἔχευ* Bergk sed dubitans utrum *μένων* deinde scribendum sit an aliud, *ἀντέχευ, δυσνῶν δ'* Hiller. *ἄναδῦ* aut *ἄνδῦ* non dubitat corrigere Buecheler: *δῦ i. mera stirps pro δῦθι, similiter atque ἔδῦν pro ἔδῦσαν, plerique quidem huius generis imperativi longam syllabam accepere qua rependeretur damnum clausulae* | *ἀλέξευ* A Tr.: *ἀλεξευ* sine acc. SM[d] ‖ **9** *ἐνδόκοισιν* M[d] et sic Valckenaer collato Hesych. *ἔνδοκος, ἐνέδρα*: *ἐν δοκοῖσιν* (*-κοῖς* Tr.) SA ‖ **10** *ἀμφάδην* Tr., vulg.: *ἐμφάδην* ex *ἀμφάδην* corr. S[1] *ἐμφάδην* M[d]A ‖ **11** *μήτε* Meineke: *μηδὲ* libri | *καππεσὼν sine dubio poeta* Buecheler ‖ **12** *ἀλλὰ χαρτοῖσίν τε* Grotius: *ἀλλὰ χαρτοῖσί* (*-σι* A) *τε* SA *ἀλλ' ἀχαρτοῖσιν τε* M[d] | *ἀσχάλα* Grotius: *ἄσχαλλε* SA *ἀσχάλε* M[d] ‖ **13** *ῥυσμὸς* (*σ* ex *θ* corr. S) S Tr., vulg.: *ῥυθμὸς* M[d]A ‖ **14** ecl. cum lemm. hab. SMA; *ἐν Τυροῖ* Gaisford: *ἐν τύρ̃* (sic) S *ἐν τύρῳ* (vel *-ρω*) M[d]A ‖ **15** *ἐνζευχθεὶς* I. Herzer

30 *Εὐριπίδου Μηδείας* (109—110).

Μεγαλόσπλαγχνος δυσκατάπαυστος
ψυχὴ δηχθεῖσα κακοῖσιν.

31 *Εὐριπίδου Ὑψιπύλῃ* (fr. 760 N.[2]).

Ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος.

32 (20, 32. 33 Mein.) *Σοφοκλέους Τηρεῖ* (fr. 530 N.[2]).

Ἄνους ἐκεῖνος, αἱ δ' ἀνούστεραί γ' ἔτι
ἐκεῖνον ἠμύναντο † καρτερόν.
ὅστις γὰρ ἐν κακοῖσι θυμωθεὶς βροτῶν
μεῖζον προσάπτει τῆς νόσου τὸ φάρμακον,
ἰατρός ἐστιν οὐκ ἐπιστήμων ἀκῶν.

33 (20, 34 Mein.) *Νεόφρονος ἐν Μηδείᾳ* (fr. 2 p. 730 N.[2]).

Εἶεν· τί δράσεις, θυμέ; βούλευσαι καλῶς
πρὶν ἐξαμαρτεῖν καὶ τὰ προσφιλέστατα
ἔχθιστα θέσθαι. ποῖ ποτ' ἐξῇξας, τάλας;
κάτισχε λῆμα καὶ σθένος θεοστυγές.
καὶ πρὸς τί ταῦτα δύρομαι, ψυχὴν ἐμὴν
ὁρῶσ' ἔρημον καὶ παρημελημένην
πρὸς ὧν ἐχρῆν ἥκιστα; μαλθακοὶ δὲ δὴ

---

1 ecl. cum lemm. hab. MA, om. S. locum adfert Galenus V p. 318: *τί ποτ' ἐργάσεται μεγαλόσπλ. — κακοῖσι.* ne quis coniciat inserenda esse v. *τί ποτ' ἐργ.* vel etiam plura, praedicati locum tenere v. *μεγαλόσπλαγχνος δυσκ.* voluisse videtur florilegus ‖ **2** *μελανόσπλ.* Herwerden exerc. cr. p. 133 ‖ **3** *κακοῖσιν* M[d] A: *-σι* Gesn.[2], vulg. ‖ **4** ecl. cum lemm. hab. MA, om. S; *ὑψιπύλη* M[d] *ὑψιπύλης* A. legitur supra 12[b] sine lemm. cohaerens cum 12[a] ‖ **6** ecl. cum lemm. hab. S post ecl. 20, 29, om. MA. versus 3 sqq. cohaerent cum praegressis S, separantur tamquam nova ecloga Tr. p. 128 (cod. Paris. 1985 teste Brunckio), inde vulg. ‖ **7** *ἀνούστεραί γ' ἔτι* Brunck: *ἀνούστερ' ἔτι* S; *ἀνούστεραι πολύ* ci. Gaisford *ἀνουστέρως ἔτι* Cobet v. l. p. 156 ‖ **8** *καρτερώτερον* Grotius, *κατὰ τὸ καρτερόν* Porson, *πρὸς τὸ καρτερόν* Bamberger ‖ **11** *ἀκῶν* Gomperz *bruchst. d. gr. tr.* (Vindob. a. 1878) p. 37: *κακῶν* S ‖ **12** ecl. cum lemm. S, om. MA ‖ **14** *ἐξαμαρτεῖν* Porson adv. p. 295: *ἢ 'ξαμαρτεῖν* S ‖ **15** *ἐξῇξας* cod. Paris. 1985 m. sec. teste Gaisfordo: *ἐξηξαι* sine acc. S *ἐξῇξαι* Tr. ‖ **16** *λῆμα* Tr. p. 128, inde vulg.: *λῆμμα* S ‖ **17** *ταῦτα δύρομαι* Porson adv. p. 295: *ταῦτα ὀδύρομαι* S *ταῦτ' ὀδ.* Voss. Frob. p. 178, inde Gesn.[1], vulg. | *τύχην* ci. Cobet n. l. p. 74 ‖ **18** *ὁρῶσα* S ‖ **19** *προσων* S

τοιαῦτα γιγνόμεσθα πάσχοντες κακά;
οὐ μὴ προδώσεις, θυμέ, σαυτὸν ἐν κακοῖς;
οἴμοι, δέδοκται· παῖδες, ἐκτὸς ὀμμάτων
ἀπέλθετ᾽· ἤδη γάρ με φοινία μέγαν
δέδυκε λύσσα θυμόν. ὦ χέρες χέρες,
πρὸς οἷον ἔργον ἐξοπλιζόμεσθα· φεῦ,
τάλαινα τόλμης, ἣ πολὺν πόνον βραχεῖ
διαφθεροῦσα τὸν ἐμὸν ἔρχομαι χρόνῳ.

34 (20, 35 Mein.) *Εὐριπίδου Μηδείας* (446—447).

Οὐ νῦν κατεῖδον πρῶτον, ἀλλὰ πολλάκις,
τραχεῖαν ὀργὴν ὡς ἀμήχανον κακόν.

35 (20, 36 Mein.) *Ἐν ταὐτῷ* (520—521).

Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,
ὅταν φίλοι φίλοισι συμβάλωσ᾽ ἔριν.

---

1 *γιγνόμεθα* S: tacite corr. Gesn.[1] p. 156, inde vulg. ‖ **2** *προδώσεις* Voss.: *προδώσῃς* S ‖ **3** *οἴμμοι* S ‖ **4** *ἀπέλθετε* S | *μ᾽ ἄγαν ἡ φοινία* ci. Methner de trag. gr. min. fr. obs. cr. I p. 15 *με φοίνιον νέα* F. G. Schmidt *kr. stud.* III p. 1 ‖ **6** *ἐξοπλιζόμεσθα δή* (vel *-εσθ᾽ ἄρα*) vocula *φεῦ* more tragicorum extra versum collocata ci. Meineke vol. IV p. LX ‖ **7** *ἣ* Frob., inde Gesn.[1], vulg.: *ἢ* S; *ᾗ* olim Nauck ‖ **9** ecl. cum lemm. hab. S (post ecl. 20, 34 Mein.) MA (post ecl. 20, 31); *τοῦ αὐτοῦ* pro *Εὐρ.* A ‖ **11** *φέρειν* (pro *κακόν*) Tr. p. 129, inde vulg. ‖ **12** ecl. cum lemm. hab. SMA (post ecl. 20, 35 Mein.), sine lemm. Br (post ecl. 20, 17). cf. Choricius Gaz. p. 29 ed. Boiss. ‖ **13** v. *δεινή τις ὀργὴ* leguntur etiam Eur. Iph. T. 962 ‖ **14** pro *φίλοι* prius *φίλοισι*, sed statim *σι* in *φ* corr. S[1]. eclogarum triada quam addit Br post ecl. 20, 36 Mein. ante 20, 2 in Stobaeum non recipio: *Ἡσιόδου* (op. 210—211) *Ἄφρων δ᾽ ὅς κε θέλῃ* (*κ᾽ ἐθέλῃσι* cod.) *πρὸς κρείσσονας ἀντιφερίζειν, νίκης τε στέρεται πρός τ᾽ αἴσχεσιν ἄλγεα πάσχει.* quem locum aptius ipse Br aeque ac reliqui codices in capite *περὶ ἀφροσύνης* obtulit 4, 3 et *ἔριδος καὶ φιλονεικίας* potius rationem haberi quam *ὀργῆς* monui de Stob. flor. exc. Br. p. 34. Hesiodeis autem subiciuntur sine lemmate haec *καρπὸν γὰρ ἐς βαθεῖαν ἄμμον ἐκχέας οὔποτ᾽ αὖθις ἐκλέξῃ πάλιν. οὐδ᾽ ἄνδρ᾽ ἑταῖρον ἢν ἀποκτείνῃς* (*ἀποτείνῃς* cod.) *ἅπαξ* quae olim in trimetros redigere conatus sum l. c. denique *Αἰσχύλου* (*αἰσχι* cod.). *οὐκοῦν* (*οὔκουν* Aesch.), *Προμηθεῦ, τοῦτο γιγνώσκεις* (*γιν-* cod.), *ὅτι ὀργῆς νοσούσης ἔστιν ἰατρὸς λόγος,* de quibus Aeschyli versibus (Prom. 377—378) vide Hermanni adn. ad Aesch. p. 82 et quae ego monui supra ad 20, 13

36 (20, 37 Mein.) *Εὐριπίδου Τήλεφος* (fr. 718 N.²).

Ὥρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν.

37 (20, 38 Mein.: Eur. Med. 1079—1080)

Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.

38 (20, 39 Mein.) *Τοῦ αὐτοῦ* (fr. 1039 N.²).

Ὁ θυμὸς ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει.

39 (20, 40 Mein.: trag. adesp. fr. 524 N.²)

Ἐν τοῖς κακοῖσι δ' ηὑγένει' ὅταν παρῇ
τραχεῖα καὶ ὀξύθυμος, ἀμαθίαν ἔχει.

40 (20, 41 Mein.) *Ὁμήρου* (Il. IX 496—497).

Ἀλλ' Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν· οὐδέ τί σε χρὴ
νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί.

41 (20, 42 Mein.) *Τοῦ αὐτοῦ* (Il. XV 201—203).

Οὕτω γὰρ δή τοι, γαιήοχε κυανοχαῖτα,
τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε,
ἤ τι μεταστρέψεις; στρεπταὶ δέ τε φρένες ἐσθλῶν.

42 (20, 43 Mein.) *Πλάτωνος.*

---

1 ecl. cum lemm. hab. SMA; *τήλεφος* SM^{d} *τήλε*^{φ} A, inde *τηλέφου* non recte Gaisford ‖ **2** *κρείσσον' αὖ* ci. Nauck, cf. Hilberg *princ. d. silbenw.* p. 231 ‖ **3** ecl. hab. poetae nomine non iterato, fabulae non addito S, om. MA ‖ **6** ecl. cum lemm. hab. S, om. MA ‖ **7** *σφριγῶν ὁ θυμὸς* ci. Nauck trag. dict. ind. p. XXIV ‖ **8** ecl. hab. S, om. MA. lemma deest in S nec iteratur Tr., ubi ecl. tamquam alia Euripidea prioribus subicitur ‖ **9** *ἐν τοῖς κακοῖσι δ'* scripsi: *ἐν τοῖς κακοῖσι γὰρ* S; *ἐν τοῖς κακοῖσι* tacite Gesn.[1] p. 158, unde vulg., *ἐν τοῖς κακοῖς γὰρ* olim Nauck | *ηὑγένει'* scripsi: *ἡ εὐγένεια* S, quod praetervidit Gaisford, *εὐγένει'* praetulit Nauck; *ἡ συγγένεια* (unde *συγγένει'* Gesn.[1], vulg.) Tr. ‖ **10** *καὶ ὀξύθυμος* S ‖ **11** ecl. cum lemm. hab. S (post ecl. 20, 40 Mein.) MA (post ecl. 20, 37 Mein.) Mac. Chrys. (post ecl. 20, 17) ‖ **12** *Ἀλλ'* om. A Mac. sed vide proximi versus initium | *ἀχιλεῦ* S Hom.: *ἀχιλλεῦ* (*α* sine spir. M^{d}) M^{d} A Mac. | *δάμασσον* A ‖ **13** *ἀνήλεες* A *ἀνηλεὲς* Mac. | *δέ τε* SM^{d} Mac. Hom.: *δέ τοι* A; *δέ γε* Tr. p. 129, vulg. ‖ **14** ecl. cum lemm. hab. S M A Mac. Chrys. ‖ **15** *οὕτω* — 17 *μεταστρέψεις* om. Mac. | *δή* ex Hom. Gesn.[1] p. 158: *ἄν* SM^{d} A ‖ **17** *δέ τε* S M^{d} A Mac. (cf. 13): *μέν τε* ex Hom. Gesn.[1], inde vulg.; an *δή τοι* ut Hom. Stuttg.? ‖ **18** ecl. sine lemm. hab. S Br, addito lemm. M A. post ecl. 20, 42 Mein. ponunt SMA, post 20, 2 Br. vide infra ecl. 57. chriae varie

Πλάτων ὀργισθείς ποτέ τινι τῶν δούλων, χάριν ἔχειν τοῖς θεοῖς ἐκέλευεν αὐτὸν ὅτι ὀργίζεται· κολασθῆναι γὰρ ἂν πάντως, εἰ μὴ ὠργίζετο.

43 (20, 44 Mein.) *Ἀντιφῶντος* (de caede Herodis 72).

Οὐκ ἔστιν ὅ τι ἂν ὀργιζόμενος ἄνθρωπος εὖ γνοίη· αὐτὸ γὰρ ὃ βουλεύεται, τὴν γνώμην διαφθείρει τοῦ ἀνθρώπου.

44 (20, 45 Mein.) *Ἡροδότου* (VII 160).

Τὰ ὀνείδεα κατιόντα ἀνθρώπῳ φιλέει ἐπανάγειν τὸν θυμόν.

45 (20, 46 Mein.) *Τοῦ αὐτοῦ* (VII 39).

Ὡς ἐν τοῖσιν ὠσὶ τῶν ἀνθρώπων οἰκέει ὁ θυμός· χρηστὰ μὲν ἀκούσας τέρψιος ἐμπιπλεῖ τὸ σῶμα, ὑπεναντία δὲ τουτέοισιν ἀκούσας ἀνοιδαίνει.

46 (20, 47 Mein.) *Ἀριστοτέλους* (fr. 661 Rose[3]).

---

decantatae testimonia collegit Wyttenbach animadv. in Plutarchi librum de sera num. vind. p. 551 A et B

3 post *πάντως* (*ως* in ras.) add. *ἔσει* Br[1] | *ὀργίζετο* A. post ecl. 43 Mein. solus Br addit haec: *δημοσθένους: ὁρῶ γὰρ ὡς τὰ πολλὰ ἐνίους οὐκ εἰς τὰ αἴτια ἀλλ' εἰς τοὺς ὑπὸ χεῖρα μάλιστα τὴν ὀργὴν ἀφιέντας* id est Demosth. or. VI § 34 p. 74 ubi *τοὺς αἰτίους* pro *τὰ αἴτια*. praeterquam quod sublestioris fidei est in hoc capite Br, hanc cur secludam eclogam vix habeo. eiusdem Philippicae etiam alibi rationem habet Stobaeus ‖ **4** ecl. cum lemm. hab. S M A ‖ **5** *ὅ τι ἂν ὀργ. ἄνθρ. εὖ γνοίη* S M[d] A: *ὅ τι ὀργ. ἄνθρ. ἂν γνοίη* Antiph. codd. ‖ **6** *ὃ* (sic ut voluit Stephanus) S M[d] A: *ᾧ* Antiph. recte; *αὐτὸ γὰρ ᾧ βουλεύεται [τὴν γνώμην]* Cobet mnemos.[2] II p. 98 | *βουλεύεται* S M[d] Antiph. (*βουλεύο-ται* Antiph. A[1]): *βούλεται* A, Tr. p. 129, inde vulg. ‖ **8** ecl. cum lemm. hab. SM A, om. Tr.; ecl. 45 et 46 Mein. uno lemm. *ἡρο δότου* compreh. S. legitur locus in excerpto maiore III 19, 19 (*Ἡροδότου ἱστορίας ζ'*) ‖ **9** *τὰ ὀνείδεα* S M[d] A: *ὀνείδεα* Her., flor. 19 ‖ **10** accentum in *θυμόν* inter scrib. corr. M[1] ‖ **11** ecl. cum lemm. hab. S (vide ad ecl. priorem) M A. recurrit Anton. II c. 53 p. 121 (*Ἡροδότου*) Maxim. c. 19 p. 594 Combef. (item). cf. gnomol. Byz. 252 p. 205 Wachsm. ‖ **12** *τοῖσιν* S: *τοῖς* M[d] A; *τοῖσι* Her. | *ὠσὶν* (*ὡσὶ* Tr.) S | malim *θυμός, ⟨ὃς⟩* ex Her. ‖ **13** *ἐμπιπλεῖ* (*ἐμπιπλέει R*) Her.: *ἐμπίπλη* S *ἐμπιπλῆ* M[d] *ἐμπιπλᾶ* (sic) A ‖ **14** *τουτέοισιν* S A: *τοῦ τέοισιν* M[d]; *τούτοισι* Her. | *ἀνοιδαίνει* S M[d] A: *ἀνοιδέει* Her. ‖ **15** ecl. cum lemm. hab. S M A. recurrit lemma et ecloga corp. Par. 648 Elt.

Ἢ οὐχ ὁρᾷς, ὅτι τῶν ἐν ὀργῇ διαπραττομένων ἁπάντων ὁ λογισμὸς ἀποδημεῖ φεύγων τὸν θυμὸν ὡς πικρὸν τύραννον;

47 (20, 48 Mein.) *Ἀρριανοῦ* (deest ap. Schweigh.).

Μεγαλόθυμοι πράως εἰσί τινες, ἡσυχῇ καὶ οἷον ἀοργήτως πράττοντες ὅσα καὶ οἱ σφόδρα τῷ θυμῷ φερόμενοι. φυλακτέον οὖν καὶ τὸ τούτων ἀβλέπτημα ὡς πολὺ χεῖρον ὂν τοῦ διατεινόμενον ὀργίζεσθαι. οὗτοι μὲν γὰρ ταχὺ κόρον τῆς τιμωρίας λαμβάνουσιν, οἱ δὲ εἰς μακρὸν παρατείνουσιν ὡς οἱ λεπτῶς πυρέττοντες.

48 (20, 49 Mein.) *Ἀπολλώνιος Μακεδόνι* (p. 126 Herch.).

Τῆς ὀξυθυμίας τὸ ἄνθος μανία.

49 (20, 50 Mein.) *Ἀπολλώνιος Ἀριστοκλεῖ* (ibid. p. 126).

Τὸ τῆς ὀργῆς πάθος μὴ καθομιλούμενον μηδὲ θεραπευόμενον φυσικὴ νόσος γίνεται.

50 (20, 51 Mein.) *Ἀπολλώνιος Δημοκράτει* (ibid. p. 127).

Ὁ ὑπὲρ μικρῶν ἁμαρτημάτων ἀνυπερβλήτως ὀργιζόμενος οὐκ ἐᾷ διαγνῶναι τὸν ἁμαρτάνοντα, πότε ἔλαττον καὶ πότε μεῖζον ἠδίκησεν.

---

1 *ἢ* om. corp. Par. | *ἁπάντων* ex vocabulo nescio quo corr. S[1] || **2** *φεύγε* (superscr. *ων*), utrumque ut videtur A[1] || **4** ecl. cum lemm. hab. SMA (post ecl. 20, 47 Mein.) Br (post Demosthenis locum supra laudatum p. 548, 3 adn.). recurrit Maxim. c. 19 p. 594 Combef. (*Ἀρριανοῦ*) Mel. Aug. c. 34, 14 (*Εὐριπίδου*, vide Wachsmuth *stud.* p. 153). ex Arriani diatribis petitam esse dubitanter coniecerat Schweighaeuser p. 197, recte recepit H. Schenkl fr. XII p. 412. lemma mutilum videtur. possis *Ἀρρ.* ⟨*Ἐπικτητείου*⟩ supplere vel aliter, vide Schenkelii ed. || **5** *εἰσί τινες πράως* A idque tacite recepit Meineke | fortasse *πράως εἰσί τινες* ⟨*καὶ*⟩ *ἡσυχῇ* | *οἷον* supra lin. A[2] ut videtur || **7** *ἀβλέπημα* M[d] || **8** *διατεινόμενον* SA: *διατεινομένου* M[d] Br | *οὗτοι* ex *οὕτω* corr. M || **9** *οἱ δὲ*] *οὐδὲ* M[d] || **10** *προτείνουσιν* Max. Combef. || **11** ecl. cum lemm. hab. SMA || **13** ecl. hab. SMA (post ecl. 20, 49 Mein.) Br (post ecl. 20, 48 Mein.); *ἀπολλώνιος* (*ὁ αὐτὸς* A) *ἀριστοκλεῖ* MA, *τοῦ αὐτοῦ* nec plura eclogis 50. 51 Mein. praemittit S, om. lemma Br. recurrit ecloga et lemma *Ἀπολωνίου* (sic) corp. Par. 646 Elt. cf. Wachsmuth *stud.* p. 152 || **16** ecl. cum lemm. hab. S (quo de vide ad ecl. 50 Mein.) MA. recurrit Maxim. c. 19 p. 594 Combef. (*Ἀπολλώνιος Δημοκράτει*) || **19** *καὶ* om. Max. Combef.

51 (20, 52 Mein.) *Διονυσίου Ἁλικαρνασέως.*

* * *

52 (Plut. quomodo adol. poetas audire debeat p. 31 A)

Ὅτι μεγάλου καὶ δοκοῦντος εἶναι καὶ ὄντος τοῦ κρατεῖν ὀργῆς ἡ πρόνοια καὶ ἡ φυλακὴ τοῦ μὴ περιπεσεῖν μεῖζον.

53 *Σωτίωνος ἐκ τοῦ Περὶ ὀργῆς β'.*

Τοῖς δὲ σοφοῖς ἀντὶ ὀργῆς Ἡρακλείτῳ μὲν δάκρυα, Δημοκρίτῳ δὲ γέλως ἐπῄει.

54

Ὥσπερ δὲ πλοῖα γενναῖα οὐχ ὅσα ἐν εὐδίᾳ πλεῖ, ἀλλ' ὅσα πρὸς χειμῶνα ἀντέχει καὶ σῴζεται· οὕτω καὶ ἄνθρωποι ὀργῇ καὶ κινήσει ἀντέχοντες μεγάλοι καὶ ἀνδρεῖοι.

54^a

Ὑποκριταῖς μὲν οὖν καὶ μὴ ὀργιζομένοις ὑποκριναμένοις ὀργὴν συνήνεγκεν, οἱ δὲ σπουδαῖοι ἄνδρες, οὐδ' ἐὰν ὡς ἀληθῶς ὀργίζωνται, οὕτω χρῶνται τῷ σχήματι.

55 *Ἀριστοτέλους* (fr. 660 Rose^3).

---

1 post lemma *Διον. Ἁλ.* cui eclogam *Ὅτι μεγάλου κτἑ.* subiciunt SMA signavi lacunam. interciderunt verba Dionysii una cum lemmate *Πλουτάρχου* ‖ **4** ab *Ὅτι* nescio an exorsum sit excerptum Dionysii: *ἐπεὶ δὲ μεγάλου δοκοῦντος εἶναι καὶ ὄντος τοῦ κρατεῖν ὀργῆς μεῖζόν ἐστιν ἡ φυλακὴ καὶ ἡ πρόνοια τοῦ μὴ περιπεσεῖν ὀργῇ μηδ' ἁλῶναι, καὶ ταῦτα δεῖ κτἑ.* Plut. | *καὶ* ante *δοκοῦντος* dignum fortasse quod inseratur Plutarcho ‖ **5** *ἡ φυλακὴ* M^d Plut.: *φυλακὴ* SA ‖ **6** *μεῖζον* Meineke ex Plutarcho: *μείζων* SM^d *μείζω* A ‖ **7** ecl. cum lemm. hab. SMA. recurrit Maxim. c. 19 p. 594 Combef. (*Σωτίων ἐκ τοῦ περὶ ὀργῆς*) Mel. Aug. c. 34 n. 15. respicit Seneca de ira II 10, 5. idem igitur Sotio qui de ira scripsit ac Senecae praeceptor (Nietzsche mus. Rh. XXIII p. 639 Diels dox. p. 256). cf. Iuvenalis X 28 sqq. ‖ **8** *δὲ* om. Max. ‖ **10** ecl. hab. lemmate non iterato S, M (ubi cohaeret ecl. cum anteced.), A et sic Maxim. c. 19 p. 594 Combef. ‖ **11** *δὲ* om. Max. | *γενναῖα* om. S ‖ **12** *ἄνθρωπον* M^d ‖ **15** *ὑποκριταῖς* — 17 *σχήματι* sine lemm. cum prioribus iungunt SMA, om. Max.; ante haec verba aut non nihil intercidisse probabile est aut novum tmema ordiendum, hoc praetuli; cf. Seneca de ira II 17, 1. disserebant de hoc loco Guil. Allers de L. A. Senecae librorum de ira fontibus p. 11. 58 Car. Buresch *Leipz. stud.* IX p. 129 | *ὑποκριναμένοις* S: *ὑποκρινομένοις* M^d A ‖ **16** *συνενήνεγκεν* S | *οὐδ' ἐὰν* S *οὐδὲ ἂν* M^d A ‖ **17** *τοιούτῳ* ci. Buecheler *τούτῳ* Wachsmuth ‖ **18** ecl. cum lemm. hab.

Ὥσπερ ὁ καπνὸς ἐπιδάκνων τὰς ὄψεις οὐκ ἐᾷ βλέπειν τὸ κείμενον ἐν τοῖς ποσίν· οὕτως ὁ θυμὸς ἐπαιρόμενος τῷ λογισμῷ ἐπισκοτεῖ καὶ τὸ συμβησόμενον ἐξ αὐτοῦ ἄτοπον οὐκ ἐφίησι τῇ διανοίᾳ προλαβεῖν.

56 *Δημοκρίτου* (fr. mor. 77 Mullach.).

Θυμῷ μάχεσθαι μὲν χαλεπόν· ἀνδρὸς δὲ τὸ κρατέειν εὐλογίστου.

57

Πλάτων ὀργιζόμενος ποτὲ τῷ οἰκέτῃ ἐπιστάντος Ξενοκράτους 'λαβὼν' ἔφη 'τοῦτον μαστίγωσον· ἐγὼ γὰρ ὀργίζομαι'.

58 *Πλουτάρχου* (de cohib. ira p. 458 F).

Ἀριστοτέλης φησὶ Σατύρου τοῦ Σαμίου τοὺς φίλους φράξαι τὰ ὦτα κηρῷ δίκην ἔχοντος, ὅπως μὴ συγχέῃ τὸ πρᾶγμα διὰ θυμὸν ὑπὸ τῶν ἐχθρῶν λοιδορούμενος.

59 *Πλουτάρχου ἐκ τοῦ Περὶ διαβολῆς* (fr. XXIII 1 Wyttenb.).

S M A (post ecl. 20, 54 Mein.) Br (post ecl. 20, 50 Mein.). recurrit corp. Par. 111 Elt. (*Ἀριστοτέλους* praefigit cod. Par. suppl. 690). cf. Rose Ar. ps. p. 115 et 609

1 *βλέπειν* libri Stob.: *προβλέπειν* corp. Par. ‖ **4** *ἄτοπον* Br corp. Par. idque suspicatus erat Gaisford: *ἄτονον* M[d] *ἄπονον* SA | *ἐφίησι* Meineke: *ἀφίησι* libri Stob. corp. Par. | *προλαβεῖν* M[d] Br: *προσλαβεῖν* S A *προβλέπειν* corp. Par. ‖ **5** ecl. cum lemm. hab. S M A. iteratur Maxim. c. 19 p. 594 Combef. (*Δημοκρίτ.*). verba *θυμῷ μάχεσθαι χαλεπόν* Heraclito tribuit Aristoteles, alii quorum locos collegit Bywater fr. CV p. 41 ‖ **8** ecl. sine lemm. hab. S M Br Mac. Chrys., addito *Πλάτωνος* lemm. A. post ecl. 20, 56 ponunt S M A, post ecl. 20, 62 ipsam quoque Democriti Br, post ecl. 20, 42 Mein. Mac. recurrit Anton. II c. 53 p. 121 (*Πλάτωνος*) Maxim. c. 19 p. 594 Combef. (*Πλάτωνος*). flor. Mon. 234 init. cf. supra ecl. 42 ‖ **9** *Πλάτων* om. A Max., sed lemma *πλάτων* (ο suprascr.): in *πλάτων* corr. A[2], *ὁ αὐτὸς* (post Plat.) flor. Mon. | *ποτε* om. flor. Mon., ubi post *οἰκέτῃ* adduntur v. *καὶ μέλλων αὐτὸν μαστιγοῦν* | *ἐπιστατοῦντος* flor. Mon. ‖ **10** *λαβὼν ἔφη τοῦτον* S M[d] A Mac. Ant.: *λαβὼν τοῦτον ἔφη* Max., *ἔφη λαβὼν τοῦτον* Mon. ‖ **12** ecl. cum lemm. hab. S, om. M A ‖ **13** *Ἀριστοτέλης δ' ἱστορεῖ Σατύρου τοὺς φίλους ἐμφράξαι* Plut. ‖ **16** ecl. cum lemm. hab. S (post ecl. 20, 58) M A Br (post ecl. 20, 57); *τοῦ αὐτοῦ* S *πλο͂υ*[τ] Br libri indiculo uterque omisso. cf.

Οἱ νεώνητοι δοῦλοι πυνθάνονται οὐκ εἰ δεισιδαίμων ἢ φθονερὸς ὁ δεσπότης, ἀλλ' εἰ ὀργίλος.

60 *Ῥούφου ἐκ τοῦ Ἐπικτήτου Περὶ φιλίας* (fr. 69 III p. 89 Schweigh.).

Ἀλλὰ παντὸς μᾶλλον τῆς μὲν φύσεως ἐκεῖνο τὸ ἔργον, συνδῆσαι καὶ συναρμόσαι τὴν ὁρμὴν τῇ τοῦ προσήκοντος καὶ ὠφελίμου φαντασίᾳ.

61 *Τοῦ αὐτοῦ* (fr. 70 l. c.).

Τὸ δὲ οἴεσθαι εὐκαταφρονήτους τοῖς ἄλλοις ἔσεσθαι, ἐὰν μὴ τοὺς πρώτους ἐχθροὺς παντὶ τρόπῳ βλάψωμεν, σφόδρα ἀγεννῶν καὶ ἀνοήτων ἀνθρώπων. φαμὲν γὰρ τὸν εὐκαταφρόνητον νοεῖσθαι μὲν καὶ κατὰ τὸ ἀδύνατον εἶναι βλάψαι· ἀλλὰ πολὺ μᾶλλον νοεῖται κατὰ τὸ ἀδύνατον εἶναι ὠφελεῖν.

62 *Δημοκρίτου* (fr. mor. 147 Mullach.).

Φιλονεικίη πᾶσα ἀνόητος· τὸ γὰρ κατὰ τοῦ δυσμενέος βλαβερὸν θεωρεῦσα τὸ ἴδιον συμφέρον οὐ βλέπει.

63 *Ἀριστίππου.*

Plut. de cohib. ira p. 462 A: *ὁρῶμεν δὲ καὶ δούλους νεωνήτους περὶ τοῦ πριαμένου πυνθανομένους οὐκ εἰ δεισιδαίμων οὐδ' εἰ φθονερός, ἀλλ' εἰ θυμώδης*

1 *πυνθάνονται οὐκ εἰ* MABr: *οὐκ εἰ* S qui *πυνθάνονται* ponit post *φθονερὸς* sicut Tr. p. 130, inde vulg.; *οὐ πυνθάνονται εἰ* temere Gaisford | *δεισιδαίμων* ex *δησιδ.* inter scribendum corr. M¹ ‖ **2** *ὁ* supra lin. S | *δεσπο* ex corr. S¹ ‖ **3** ecl. cum lemm. hab. SMA; *ἐκ* $^{\tau}$ S *ἐκ τῶν* cum Tr. p. 130 Meineke ‖ **6** *τῆς — φαντασίας* libri: corr. Buecheler ‖ **8** ecl. cum lemm. hab. SMA ‖ **11** *ἀγενων* sine acc. M^{d} | *τὸ* mavult Wachsmuth ‖ **12** *ἀδύνατον* (sic ut corr. Schweighaeuser p. 196) hic et 13 A: *δυνατὸν* utroque loco SM^{d} ‖ **15** ecl. cum lemm. hab. SMA (post ecl. 20, 61) Br (post ecl. 20, 55). legitur inter Stobaeana codicis Vaticani gr. 1144 f. 209^{r} n. 16 (*Δημοκρίτου*) ex capite *περὶ ἔχθρας* (II 40) nunc deperdito excerpta, si vera est Elteri suspicio mus. Rh. XLVII p. 136. etiam eclogam 61 capiti *περὶ ἔχθρας* accomodatiorem esse quam *περὶ ὀργῆς* putat Wachsmuth ‖ **16** *δυσμενέος* Vatic.: *-οῦς* SM^{d} A Br ‖ **17** *θεωρεῦσα* S *-ῆσαι* M^{d} *-οῦσα* A Br Vatic. ‖ **18** ecl. sine lemm. hab. S Br Mac. Chrys., addito lemm. MA. collocant post ecl. 20, 62 SMA, post ecl. 20, 59 Br, post 20, 57 Mac. recurrit corp. Par. 647 Elt. (*Ἀριστίππου*). paululum immutata inter alias Aristippeas chria legitur gnomol. Vatic. 38 (*ὁ αὐτὸς θεασάμενός τινα κτέ.*)

Ἀρίστιππος ὁ Κυρηναῖος φιλόσοφος θεασάμενός τινα ὀργιζόμενον καὶ διὰ τῶν λόγων χαλεπαίνοντα ἔφη 'μὴ τοὺς λόγους δι' ὀργῆς ἄγωμεν, ἀλλὰ τὴν ὀργὴν διὰ τῶν λόγων καταπαύωμεν'.

64 *Ναυκράτους.*

Ναυκράτης ὁ σοφὸς τοὺς ὀξυθύμους ἔφη παραπλήσιον τοῖς λύχνοις πάσχειν· καὶ γὰρ τούτους πλείονι ἐλαίῳ ἐκκαίεσθαι.

65 *Ἀριστοτέλους.*

Ὁ θυμός ἐστι πάθος θηριῶδες μὲν τῇ διαθέσει, συνεχὲς ⟨δὲ⟩ τῇ λήψει, σκληρὸν δὲ καὶ βίαιον τῇ δυνάμει, φόνων αἴτιον, συμφορᾶς σύμμαχον, βλάβης συνεργόν, ἀτιμίας καὶ χρημάτων ἀπωλείας ἔτι δὲ καὶ φθορᾶς ἀρχηγόν.

66 *Ἀντιφῶντος* (fr. 129 Blass.[2]).

Ὅστις δὲ ἰὼν ἐπὶ τὸν πλησίον κακῶς ποιήσων δειμαίνει, μὴ ἃ θέλει ποιῆσαι, ἁμαρτὼν τούτων, ἃ μὴ θέλει ἀπενέγκηται, σωφρονέστερος. ἐν ᾧ γὰρ δειμαίνει, μέλλει· ἐν ᾧ δὲ μέλλει, πολλάκις ὁ διὰ μέσου χρόνος ἀπέστρεψε τὸν νοῦν τῶν θελημάτων· καὶ ἐν μὲν τῷ γεγενῆσθαι

---

1 *ὁ κυρηναῖος* A Br Mac. corp. Par.: *κυρηναῖος* S M[d] ‖ **2** *ἐργαζόμενον* A[1] corr. ni fallor A[2] | *τῶν λόγων* S M[d] Mac. corp. Par. gnomol. Vat. *τὸν λόγον* A Br | pro *χαλεπαίνοντα* habet *σφοδρῶς χαλεπαίνοντα ὑποτυχών* gnomol. Vatic. ‖ **4** *καταλύωμεν* gnomol. Vatic. ‖ **5** ecl. sine lemm. hab. S, addito lemm. *ναυκράτουσ* (*ναυκρα* A, unde *Ναυκράτου* Gaisford et Meineke) M A. recurrit Maxim. c. 19 p. 594 (*Ναυκράτ.*), mel. Aug. c. 34, 16 ‖ **7** *τούτοις* M[d] ‖ *ἐκκέεσθαι* M[d] ‖ **9** ecl. cum lemm. hab. SMA. recurrit ecloga corp. Par. 649 Elt. ubi lemma non iteratur post 648 (Stob. flor. 20, 47 Mein.) ipsam quoque Aristoteliam. inter dubia fragmentum rettulit Rose Ar. ps. p. 609 ut nimis redolens rhetorem (ib. p. 115) ‖ **10** *μὲν ἐν τῇ* Tr. p. 131 qui omittit mox *συνεχὲς τῇ λήψει* ‖ **11** *συνεχὲς δὲ* Frob. p. 180, inde Gesn.[1] p. 160, vulg.: *συνεχὲς* S (Voss. f. 27[v]) M[d] A corp. Par. | *δὲ καὶ* S M[d] corp. Par.: *τε καὶ* A; *καὶ* Frob. (Voss.), inde vulg. ‖ **12** *διαφορᾶς* ci. Meineke v. IV p. LX probabiliter | *ἀτιμίας καὶ* S (Voss.) M[d] A corp. Par.: *καὶ ἀτιμίας* Frob., inde vulg. fortasse delenda esse v. *ἀτιμίας καὶ* putat Meineke (v. IV p. LX) frustra: ter terna membra ‖ **13** *ἀπώλεια* libri: corr. Buecheler 'infamiae et penuriae et exitii principium' ‖ **14** ecl. cum lemm. hab. S: om. M A ‖ **19** *νοῦν* Sauppe: *νόων* S *νόον* Tr.

οὐκ ἔνεστιν, ἐν δὲ τῷ μέλλειν ἐνδέχεται ⟨μὴ⟩ γενέσθαι. ὅστις δὲ δράσειν μὲν οἴεται τοὺς πέλας κακῶς, πείσεσθαι δ' οὔ, ⟨οὐ⟩ σωφρονεῖ. ἐλπίδες δ' οὐ πανταχοῦ ἀγαθόν· πολλοὺς γὰρ τοιαῦται ἐλπίδες κατέβαλον εἰς ἀνηκέστους συμφοράς, ἃ δ' ἐδόκουν τοὺς πέλας ποιήσειν, παθόντες ταῦτα ἀνεφάνησαν αὐτοί. σωφροσύνην δὲ ἀνδρὸς οὐκ ἂν ἄλλος ὀρθότερόν τις κρίνειεν, ἢ ὅστις τοῦ θυμοῦ ταῖς παραχρῆμα ἡδοναῖς ἐμφράσσει αὐτὸς ἑαυτὸν κρατεῖν τε καὶ νικᾶν ἠδυνήθη αὐτὸς ἑαυτόν. ὃς δὲ θέλει χαρίσασθαι τῷ θυμῷ, παραχρῆμα θέλει τὰ κακίω ἀντὶ τῶν ἀμεινόνων.

67 Ἐπικτήτου (fr. 71 III p. 90 Schweigh.).

Ὅτῳ μετὰ ἀνατάσεως καὶ ἀπειλῆς ἐπιχειρεῖς, μέμνησο προλέγειν, ὅτι ἥμερος εἶ· καὶ οὐδὲν ἄγριον δράσας ἀμετανόητος καὶ ἀνεύθυνος διαγενήσῃ.

68 Κάτωνος πρεσβυτέρου (Ps.-Plut. apophth. reg. et duc. p. 199 A).

Τὸν ὀργιζόμενον ἐνόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν.

69 Ἀρίστωνος.

Τὴν κακολογίαν ἡ ὀργὴ φαίνεται ἀπογεννῶσα ὥστε † ἡ μήτηρ οὐκ ἀστεῖα.

---

1 μὴ addidit Buecheler ‖ **2** πείσεσθαι δὲ οὔ, οὐ Iacobs in anthol. XI p. 156: πείσεσθαι δ' οὔ (sic) S, πείσεσθαι δι' ἃ οὐ Tr.; π. δὲ μή, οὐ Gaisford ‖ **5** τοὺς Meineke: τοῖς S ‖ **7** ἄλλος S: ἄλλο Sauppe ἄλλως Buecheler | τὰς παραχρῆμα ἡδονὰς ἐμφράσσων [αὐτὸς ἑαυτὸν] κρατεῖν nunc Sauppe ‖ **10** τῷ θυμῷ παραχρῆμα, θέλει distinxit Blass, qui praeterea mavult τῷ παραχρῆμα θυμῷ. mihi delendum videtur παραχρῆμα quod ipsa sedes arguit glossema ‖ **12** ecl. cum lemm. hab. SMA vide quae adnotavit Schenkl ad Arr. diss. Epict. IV 5, 10 ‖ **13** ἀνατάσεως M[d]A: ἀναστάσεως S ‖ **16** ecl. cum lemm. hab. SMA (post ecl. 20, 67), sine lemm. Br (post ecl. 20, 63) ‖ **18** Κάτων τὸν ὀργιζ. Br, tu vide p. 302, 4 adn. | Τὸν δὲ ὀργιζ. suo more Ps.-Plut. | νόμιζε Tr. p. 131, inde vulg. | χρ. διαφ.] cf. p. 296, 2 ‖ **20** ecl. cum lemm. hab. SMA ‖ **21** ὥστε ἡ SM[d]A: ὡσπερεὶ ci. Meineke, ὡς τέκνα Buecheler quod verum videtur ‖ **22** ἀστεῖα libri, nisi quod ἀστεία A[2]

70 *Πλουτάρχου ἐκ τοῦ Περὶ ὀργῆς* (fr. XXVII Wyttenb.).

Ὅσα δὲ ὀργῇ χρώμενοι πράττουσιν ἄνθρωποι, ταῦτα ἀνάγκη τυφλὰ εἶναι καὶ ἀνόητα καὶ τοῦ παντὸς ἁμαρτάνειν. οὐ γὰρ οἷόν τε ὀργῇ χρώμενον λογισμῷ χρῆσθαι· τὸ δὲ ἄνευ λογισμοῦ ποιούμενον πᾶν ἄτεχνόν τε καὶ διεστραμμένον. λόγον οὖν ἡγεμόνα χρὴ ποιησάμενον οὕτως ἐπιχειρεῖν τοῖς κατὰ τὸν βίον ἔργοις τὰς ἑκάστοτε προσπιπτούσας ὀργὰς διωθούμενον καὶ διανέοντα ὥσπερ οἱ κυβερνῆται τὰ κύματα προσφερόμενα. ἔστι γοῦν οὐκ ἔλαττον τὸ δέος ὀργῆς ἀντιπρώρου κυλινδομένης, αὑτόν τε καὶ σύμπαντα οἶκον ἔστιν ἄρδην ἀπολέσαι καὶ ἀνατρέψαι μὴ διαπλεύσαντα δεξιῶς. οὐ μὴν ἀλλ᾽ ἐπιμελείας εἰς αὐτὰ δεῖ καὶ μελέτης. ᾗ καὶ μάλιστα ἁλίσκονται κατ᾽ ἄκρας οἱ παραδεξάμενοι τὸν θυμὸν ὡς σύμμαχον ἀρετῆς, ἀπολαύοντες ὅσον αὐτοῦ χρήσιμόν ἐστιν ἔν τε πολέμῳ καὶ νὴ Δία ἐν πολιτείαις, τὸ πολὺ δὲ αὐτοῦ καὶ τὶ ἐπιπόλαιον ἐκκρίνειν καὶ ἐκβάλλειν τῆς ψυχῆς, ὅπερ ὀργή τε καὶ πικρία δι᾽ ὀξυθυμίαν λέγεται, νομίσματα ἥκιστα ταῖς ἀνδρείαις ψυχαῖς πρέποντα. τίς οὖν ἐν ἡλικίᾳ τούτων γίγνεται μελέτη; ἐμοὶ μὲν δοκεῖ μάλιστ᾽ ἂν ὧδε γίγνεσθαι πόρρωθεν ἡμῶν προμελετώντων καὶ

1 ecl. cum lemm. hab. S M A (post ecl. 20, 69) Mac. Chrys. (post ecl. 20, 63) ‖ **2** *δὲ* et mox *χρώμενοι* om. Mac. | *ἄνθρωποι* S M^d Mac.: *οἱ ἄνθρ.* A, immerito recepit Meineke, cf. supra p. 39, 14 ‖ **4** *χρῆσθαι* S M^d: *χρήσασθαι* A Mac. non recte recepit Meineke ‖ **5** *πανάτεχνόν τε* A Mac. ‖ **7** *τὰς* om. Mac. ‖ **8** *διωθούμενον* Wyttenbach: *διορθούμενον* libri. cf. Iacobs lect. Stob. p. 65 | *διανεύοντα* libri: corr. Buecheler ‖ **9** *τὰ* ante *προσφ.* tacite addidit Gesn.[2] p. 175, inde vulg. | *ἔστι γοῦν κτἑ.* om. M A Mac. ‖ **10** *κυλινδουμένης* temere Gesn.[1] p. 160, inde vulg. | *αὐτόν* S: corr. Meineke ‖ **11** *σύμπαντα* S; *σύμπαν* Tr. p. 131, inde vulg. | *οἰκόν ἐστιν* (*ἐστιν* compend.) S; *ἐστιν* tacite seclusit Gesn.[1], inde vulg. | *ἀναστρέψαι* S: corr. Wyttenbach ‖ **13** post *μελέτης* fortius distinxit et lacunam statuit Wyttenbach ‖ **15** *ἀπολαύειν κελεύοντες* Buecheler Wyttenbachii vestigiis insistens ‖ **17** *ἐπιπολαιον* sine acc. S; *ἐπιπολάζον* ci. Wyttenbach qui post *ἐκκρίνειν* suppleri vult *κελεύοντες* ‖ **18** *δι᾽ ὀξ.*] *καὶ ὀξυθυμία* mavult Wyttenbach, idem deinde *ὀνόματα* pro *νομίσματα*. malim *νοσήματα* ‖ **20** *τῇ* ante *ἡλικίᾳ* add. Tr. p. 132, inde vulg.

προαπλούντων πλεῖστον οἷον ἐν οἰκέταις τε καὶ πρὸς γυναῖκας τὰς γαμετάς. ὁ γὰρ οἴκοι πρᾷος καὶ δημοσίᾳ πρᾷος πολὺ μᾶλλον ἔσται, τοιοῦτος ἔνδοθεν καὶ ὑπὸ τῶν οἴκοι πεποιημένος αὐτῷ τῆς αὑτοῦ ψυχῆς † εἶναι ἀγαθός.

CAPVT XXI.

ΠΕΡΙ ΤΟΥ ΓΝΩΘΙ ΣΑΥΤΟΝ.

1 *Φιλήμονος* (fab. inc. fr. 101 com. IV p. 62).

Ἄνθρωπος ὢν τοῦτ' ἴσθι καὶ μέμνησ' ἀεί.

2 *Μενάνδρου Κωνειαζομέναις* (fr. 2 com. IV p. 156).

Τὸ γνῶθι σαυτὸν ἔστιν, ἂν τὰ πράγματα
ἴδῃς τὰ σαυτοῦ, καὶ τί σοὶ ποιητέον.

3 *Διφίλου* (fab. inc. fr. 31 com. IV p. 425).

Ἂν γνῷς τί ἐστ' ἄνθρωπος, ἥδιων ἔσῃ.

4 *Ἀντιφάνους* (fr. inc. 42[a] com. III p. 148).

---

1 προαπλούντων S; προαποπλούντων pessime Gesn.[3] p. 176, inde vulg. | πλ. ὅσον pro πλ. οἷον mavult Duebner immerito || **3** v. τοιοῦτος — 4 αὐτῷ τῆς αὐτοῦ (sic) ψυχῆς εἶναι ἀγαθός S: τοιοῦτος — πεποιημένος αὐτοέντης αὐτοῦ ψυχῆς εἶναι ἀγαθός ci. Ruhnkenius (Wyttenbach animadv. in Plut. mor. p. 550 F), τοιοῦτος — πεποιημένος αὐτὸς τῆς αὑτοῦ ψυχῆς παιδαγωγός temptabat Duebner, ubi παιδαγωγός pro εἶναι ἀγαθός praeiverat Wyttenbach, αὐτῷ τῆς αὑτοῦ ψ. ἡνίοχος Buecheler dubitanter

Capitis XXI habent S M A, eclogas haud paucas Br, aliquot etiam Mac. Chrys. inscriptionem ut Photius omnes. numerum adiciunt M A Mac., ισ' S || **8** ecl. cum lemm. (φιλήμων A) hab. S M A Mac. Chrys., lemmate carentem Br. iterat corp. Par. 650 Elt. (Φιλήμονος) || **10** ecl. cum lemm. hab. S M A; Κωνειαζομέναις scripsi: κοταβιζούσαις compend. S κωταζομέναις M[d] A sed sine acc. compendiose M[d] Ἐκ τῶν Κωνεαζομένων Orio anth. I 18 p. 43, 1 || **11** σαυτόν (σεαυτόν S M[d]) ἐστιν fere libri || **12** σαυτοῦ M[d] A Or.: ἑαυτοῦ (sic) S || **13** ecl. cum lemm. hab. S M A (post ecl. 21, 2) Mac. Chrys. (post ecl. 21, 1), sine lemm. Br (post ecl. 21, 1); cf. Stob. flor. 108, 39 v. 1 Mein. || **14** ἦν (ἦ rubr.) Mac. | ἐστιν vel ἐστὶν fere libri: corr. Gesn.[1] p. 160, inde vulg. || **15** ecl. cum lemm. hab. S M A Mac. Chrys., sine lemm. Br; ἀντιφῶντος perperam explicans compendium Tr. recurrit ecloga et lemma Ἀντιφάνους corp. Par. 651 Elt. inter monosticha versus 173

Εἰ θνητὸς εἶ, βέλτιστε, θνητὰ καὶ φρόνει.

5 *Μενάνδρου Θρασυλέοντος* (fr. 1 com. IV p. 139).

Κατὰ πόλλ᾿ ἄρ᾿ ἐστὶν οὐ καλῶς εἰρημένον
τὸ γνῶθι σαυτόν· χρησιμώτερον γὰρ ἦν
τὸ γνῶθι τοὺς ἄλλους.

6 *Ἐκ τῆς Αἰλιανοῦ συμμίκτου ἱστορίας* (VIII 15).

Ἐν Χαιρωνείᾳ τοὺς Ἀθηναίους ἡνίκα ἐνίκησεν ὁ Φίλιππος, ἐπαρθεὶς τῇ εὐπραγίᾳ, ὅμως λογισμοῦ ἐκράτησε καὶ οὐχ ὕβρισε, καὶ διὰ ταῦτα ᾤετο δεῖν αὐτὸν ὑπομιμνήσκεσθαι ὑπό τινος τῶν παίδων ἕωθεν, ὅτι ἄνθρωπός ἐστιν.

7 *Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων.*

Ἡράκλειτος νέος ὢν πάντων γέγονε σοφώτερος, ὅτι ᾔδει ἑαυτὸν μηδὲν εἰδότα.

8

---

1 *βέλτιστα* S ‖ **2** ecl. cum lemm. hab. SA Mac. Chrys. (post ecl. 21, 4) M (post ecl. 21, 21); *Θρασυλέοντος* om. Mac. iterat Maxim. c. 56 p. 663 Combef. (*Μενάνδρου*) ‖ **3** *ἄρ᾿* Porson adv. p. 235: *ἂν* (vel *ἄν*) libri nisi quod *γ* pro *ν* nescio an correxerit A^1, voluitne *πολλά γ᾿* sicut Dobree? *πολλὰ δ᾿ ἐστὶν* Buecheler, *πολλὰ δὴ ᾿στὶν* ego cf. p. 547, 15. 569, 2 adn. ‖ **4** *σαυτόν* A Mac.: *σεαυτὸν* S M^d | *ἦν* M^d A Mac.: *εἶ* S ‖ **6** ecl. cum lemm. hab. S M A; *ἐκ τ αἰλιανοῦ* (-*νοῦ* compend.) *ἱστ°* S, *ἐκ τῆς αἰλιανοῦ συμμίκτου* (*συμβίκτης* A^1 *συμμίκτης* A^2) *ἱστορίας* M^d A ‖ **7** *χαιρωνεία* S *χερωνεία* M^d A^1 | *ἡνίκα ἐνίκησεν* S M^d A: *νίκῃ ἐνίκησε* libri Ael., vide Lobeck paralip. p. 524 | *ὁ* om. libri Aeliani ‖ **8** *ἐπαρθεὶς* S M^d A: *ἐπαρθεὶς δὲ* libri Ael. | *λογισμῷ* tacite Gesn.[1] p. 162, inde vulg. | *ἐκράτησεν* et mox *ὕβρισεν* S M^d ‖ **10** post *ἄνθρωπός ἐστι* quae addit Aelianus, sprevit anthologus; vide ad III 12, 19 ‖ **12** ecl. cum lemm. hab. S M A (post ecl. 21, 6) Br (post ecl. 21, 4), sine lemm. Mac. Chrys. (post ecl. 21, 5); *ἐκ τ ἀριστων̄* pro lemm. S nihil nisi *ἀριστωνύμου* Br. iteratur Anton. I 59 p. 64, 42 Maxim. c. 56 p. 663 (*Ἡρακλείτου*). cf. gnomol. Vat. 310: *Ἡράκλειτος ὁ φυσικὸς ἔφησε σοφώτατος γεγονέναι πάντων νέος ὤν, ὅτι ᾔδει ἑαυτὸν μηδὲν εἰδότα.* Laert. IX 5. simile dictum Democrito adscribitur gnomol. Vat. 267 ut taceam de Socrate. testimonia congessit Sternbach l. c. ‖ **13** *σοφώτατος* A^2 ‖ **15** ecl. sine lemm. hab. S Br, addito lemm. *δημωνάκτου* M A. rectius *Δημώνακτος* Gaisford et Meineke. num hac et duabus proximis continuentur excerpta libri Aristonymei dubito, quia raro hodie

Δημῶναξ ἐρωτηθεὶς πότε ἤρξατο φιλοσοφεῖν, 'ὅτε καταγιγνώσκειν' ἔφη 'ἐμαυτοῦ ἠρξάμην'.

9

Σωκράτης ἐρωτηθεὶς διὰ τί οὐ συγγράφει, 'ὅτι' εἶπεν 'ὁρῶ τὰ χαρτία πολὺ τῶν γραφησομένων τιμιώτερα'.

10

Θεόκριτος ἐρωτηθεὶς διὰ τί οὐ συγγράφει, 'ὅτι' εἶπεν 'ὡς μὲν βούλομαι, οὐ δύναμαι· ὡς δὲ δύναμαι, οὐ βούλομαι'.

11 *Βίαντος.*

Θεώρει ὥσπερ ἐν κατόπτρῳ τὰς σαυτοῦ πράξεις, ἵνα τὰς μὲν καλὰς ἐπικοσμῇς, τὰς δὲ αἰσχρὰς καλύπτῃς.

12

Γνῶθι σαυτὸν ὡς παροιμία παραλαμβάνεται, μαρτυρεῖ Θεόφραστος ἐν τῷ περὶ παροιμιῶν. οἱ πολλοὶ δὲ

---

in illo leguntur apophthegmata, confer tamen III 10, 50. Luciani Demonactem intellegit Fritzsche in Luciano II 1 p. 188

1 *δημώνακτος* A¹ corr. A² | *πότε* S: *πηνίκα* Mᵈ A Br || **2** *ἔφη* om. Br || **3** ecl. sine lemm. hab S Br Mac. Chrys., addito *Σωκράτους* M A. post ecl. 21, 7 habet Mac. cf. gnomol. Vat. 499 Sternb.: *ὁ αὐτὸς* (*Σωκρ.*) *ἐρωτηθεὶς διὰ τί συντάγματα οὐ γράφει, ἔφη 'ὅτι τὰ ἄγραφα τῶν γεγραμμένων ὁρῶ πλείονος πωλούμενα'* || **4** *συγγραφ////* (ει η superscr.) A *η* scr. A¹ *ει* A², erasum videtur compendium terminationis *ει*, *συγράφῃ* (om. *οὐ*) Mac. || **5** *πολὺ* om. Mac. || **6** ecl. sine lemm. hab. S, addito *Θεόκριτοσ* M *θεοκρίτου* A. vide ad 21, 8 || **7** *ἐρωτηθεὶς* S: *ἐρωτηθεὶς ἐπὶ ποιημάτων* Mᵈ A sed *ἐπὶ π.* linea subducta notavit A || **10** ecl. cum lemm. hab. S M A (post ecl. 21, 10) Br (post ecl. 21, 9); *βία* pro lemm. S M. recurrit corp. Par. 460 Elt. (*γνῶμαι Βίαντος*). discrepant quae Bianti tribuit Demetrii sylloga supra III 1, 172 p. 121, 7. alieniora etiam sunt quae de Socrate habet Laert. II 33 || **11** *τὰς σαυτοῦ* S A Br: *τὰς αὑτοῦ* Mᵈ corp. Par.; fort. *τὰς αὑτοῦ* || **12** *αἰσχρὰς* libri Stob.: *κακὰς* corp. Par. | *καλύπτῃς* etiam corp. Par. scripserim *ἐπικαλύπτῃς* || **13** ecl. sine lemm. hab. S, om. M A; *παροιμία* pro lemm. add. Tr. p. 133, inde vulg. cf. Porphyrius Stob. flor. 21, 26 et quae collegit Brunco act. sem. philol. Erl. III p. 383 sqq. || **14** ⟨*Τὸ*⟩ *γνῶθι σ.*? |
μ
ὡς παροι παραλαμβάνεται S: *ὡς παροιμία λαμβάνεται* Tr.

Χείλωνος εἶναι τὸ ἀπόφθεγμα, Κλέαρχος δὲ ὑπὸ τοῦ θεοῦ λεχθῆναι Χείλωνι.

13 *Χείλωνος.*

Χείλων ἐρωτηθεὶς τί χαλεπώτατον, ‘τὸ γιγνώσκειν ἑαυτόν’ ἔφη· πολλὰ γὰρ ὑπὸ φιλαυτίας ἕκαστον ἑαυτῷ προστιθέναι.

14 *Βίαντος.*

Τὸ δὲ γνῶθι σαυτὸν χρήσιμον εἰς νουθεσίαν τῶν ἀλαζόνων, οἳ ὑπὲρ τὴν ἑαυτῶν δύναμιν φλυαροῦσιν.

15 *Ἀλεξάνδρου* (Ps.-Plut. apophth. reg. et duc. p. 182 B).

Ἀλέξανδρος νοσήσας μακρὰν νόσον ὡς ἀνέρρωσεν, οὐδέν ἔφη διατεθῆναι χεῖρον· ‘ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος μὴ μέγα φρονεῖν ὡς θνητοὺς ὄντας’.

16 *Πλουτάρχου ἐκ τοῦ Περὶ εὐθυμίας* (p. 472 B—C).

Καὶ μὴν οἶνοί τε καὶ σαρκῶν ἐμφορήσεις σῶμα μὲν ἰσχυρὸν ποιοῦσι καὶ ῥωμαλέον, ψυχὴν δὲ ἀσθενῆ· καὶ

---

1 *χείλωνος* et mox *χείλωνι* S: *χίλωνος* et *χίλωνι* Tr. p. 133, vulg. || **2** *χρησθῆναι* mavult Nauck *mél. gr.-rom.* V p. 165 adn. 33 coll. flor. 21, 26 || **3** ecl. sine lemm. hab. S Br, addito lemmate M A. iteratur Maxim. c. 56 p. 664 Combef. sed ut coaluerit cum ecloga Biantis (*ἔφη· χρήσιμον γὰρ εἰς ν. — φλυαροῦσιν*) verbis *πολλὰ — σαυτὸν* omissis, alio loco Maxim. p. 206 Gesn. (cod. Neapol.) || **4** *χείλων* S M^d: *Χίλων* Tr. *χίλων* Br, om. A | *τί τὸ χαλεπ.* Max. | *γιγνώσκειν* S M^d: *γινώσκειν* A Tr. Br || **7** ecl. cum lemm. *βία* hab. A, om. S M; *Βίαντος* Gaisford. dubitat de lemmate Brunco l. c. p. 390 adn. 41. sed Biantem intellexisse gnomologum docet lemma eclogae 11 quod firmatur etiam ecl. 21, 26 || **10** ecl. sine lemm. hab. S Br (post ecl. 21, 13) Mac. Chrys. (post ecl. 21, 9), addito lemmate M (post ecl. 21, 13) A (post ecl. 21, 14). recurrit corp. Par. 435 Elt. inter Diogenis et Alexandri dicta || **11** *ὥσπερ* corp. Par. | *ἀνέρρωσεν* libri ut Ps.-Plut.; *ἀνερρώσθη* Meineke frustra. Plutarcho erit reddendum *ἀνερράισεν* coll. Stob. III 7, 53 || **12** *διατεθῆναι* S M^d A: *διατεθεῖναι* Mac. corp. Par. in *-ῆναι* corr. Br^1; om. Ps.-Plut. qui in prioribus *Νοσήσας δὲ* || **13** *ὡς* om. corp. Par. | *ὡς ὄντας θνητούς* Ps.-Plut. || **14** ecl. cum lemm. hab. S M A Br; *ἐκ τοῦ περὶ εὐθυμίας* om. S Br || **15** *οἶνος* — 16 *ἀσθενῆ*] cf. Androcydis verba ap. Clementem Alex. strom. VII 6 p. 850 P. | *οἶνοί* (*οἶνοι*) *τε καὶ σαρκῶν ἐμφορήσεις* libri Stob.: *οἶνός τε καὶ σαρκῶν ἐμφόρησις* Plut. *οινος καὶ σαρκῶν ἐμφορήσεις* Andr.; *κρεῶν* pro *σαρκῶν* mavult Cobet mnemos. IX p. 115 frustra

χρημάτων ἐπιμέλεια μὲν συνεχὴς καὶ τήρησις αὔξει πλοῦτον, ὑπεροψία δὲ καὶ σωφροσύνη μέγα πρὸς φιλοσοφίαν ἐφόδιον. ὅθεν οὐ πάντα πάντων ἐστίν, ἀλλὰ δεῖ τῷ Πυθικῷ γράμματι πειθόμενον αὑτὸν καταμαθεῖν, εἶτα χρῆσθαι πρὸς ἓν ὃ πέφυκε, καὶ μὴ πρὸς ἄλλον ἄλλοτε βίου ζῆλον ἕλκειν καὶ παραβιάζεσθαι τὴν φύσιν.

17 *Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου* (c. 6).

Ἐπὶ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. εἰ ὁ ἵππος ἔλεγεν ἐπαιρόμενος ὅτι ‘καλός εἰμι’, ἀνεκτὸν ἂν ἦν· σὺ δὲ ὅταν λέγῃς ὅτι ‘ἵππον καλὸν ἔχω’, ἴσθι ὅτι ἐφ’ ἵππῳ ἀγαθῷ μέγα φρονεῖς. τί οὖν ἐστι σόν; χρῆσις φαντασιῶν, ἣν ὅταν κατὰ φύσιν ἔχῃς, τότε ἐπάρθητι· τότε γὰρ ἐπὶ τῷ σῷ πλεονεκτήματι ἐπαρθήσῃ.

18 *Δημοσθένους ἐν τῷ Πρὸς Λεπτίνην* (XX § 161 p. 506).

Καὶ τὰ ἀγαθὰ μὲν προσδοκᾶν, καὶ τοῖς θεοῖς εὔχεσθαι διδόναι· πάντα δ’ ἀνθρώπινα ἡγεῖσθαι.

19 *Ἐν ταὐτῷ* (XX § 162 p. 506).

Ἀλλ’ οἶμαι τὸ μέλλον ἅπασιν ἀνθρώποις ἄδηλον, καὶ μικροὶ καιροὶ μεγάλων πραγμάτων αἴτιοι γίγνονται· διὸ δεῖ μετριάζειν ἐν ταῖς εὐπραξίαις καὶ προορωμένους τὸ μέλλον φαίνεσθαι.

20 *Πλάτωνος ἐκ τῶν Ἀντεραστῶν* (p. 137 E — 138 B).

---

2 *ὑπεροψία* M[d] Br Plut.: *ἀνυπεροψία* S A | *σωφροσύνη* (*φιλοφροσύνη* A[1] corr. A[2]) S M[d] A Br: *περιφρόνησις* recte Plut. | **3** *ὥστε* (pro *ὅθεν*) Tr. p. 133, inde vulg. ‖ **4** *αὐτὸν* M[d] ‖ **5** *πρὸ* M[d] ‖ **7** ecl. cum lemm. hab. S M A. iteratur Maxim. c. 56 p. 663 sq. Combef. (sine lemm.) ‖ **9** *ἐπαιρόμενος ἔλεγεν* Arr. | *ἀνεκτὸν*] *οἰστὸν* Arr. | *ἂν ἦν* M[d] Arr.: *ἦν* S A Max. ‖ **10** *λέγῃς ἐπαιρόμενος* Arr. | *ἵππον* recte Vpton sec. Simpl. ‖ **11** *μέγα φρονεῖς*] *ἐπαίρῃ* Arr. ‖ **12** *ἣν* (*ἦν* M[d]) *ὅταν* S M[d] A Max.: *ὥσθ’ ὅταν ἐν χρήσει φαντασιῶν* Arr. | *σχῇς* Arriani aliquot | *τηνικαῦτα* (pro *τότε*) Arr. ‖ **13** *ἐπὶ τῷ σῷ πλεονηκτήματι* S M[d] A Max.: *ἐπὶ σῷ τινι ἀγαθῷ* Arr. ‖ **14** ecl. cum lemm. hab. S M A; *δημοσθ*[ε] *πρὸς λ*[ε] S ‖ **15** *τἀγαθὰ* Dem. ‖ **17** ecl. cum lemm. hab. S M A (post ecl. 21, 17) Br (post ecl. 21, 16); *δημοσθένους* Br. recurrit corp. Par. 652 Elt. (*Δημοσθένους*) ‖ **18** *ἅπασιν ἀνθρώποις ἄδηλον* libri Stob.: *ἄδηλον πᾶσιν* (*ἅπασιν* libri aliquot) *ἀνθρώποις* Dem. ‖ **22** ecl. cum lemm. hab. S, om. M A

Τί δ'; ἐπειδὰν ἄνθρωπος ὢν τις ἀγνοῇ τοὺς χρηστοὺς καὶ τοὺς μοχθηροὺς ἀνθρώπους, ἆρ' οὐ καὶ αὑτὸν ἀγνοεῖ, πότερον χρηστός ἐστιν ἢ μοχθηρός, ἐπειδὴ καὶ αὐτὸς ἄνθρωπός ἐστι; Συνεχώρει. Τὸ δὲ αὑτὸν ἀγνοεῖν σωφρονεῖν ἢ οὐ σωφρονεῖν ἐστιν; Οὐ σωφρονεῖν. Τὸ ἑαυτὸν ἄρα γιγνώσκειν ἐστὶ σωφρονεῖν; Φημί, ἔφη. Τοῦτο ἄρα, ὡς ἔοικε, καὶ τὸ ἐν Δελφοῖς γράμμα παρακελεύεται, σωφροσύνην ἀσκεῖν καὶ δικαιοσύνην. Ἔοικεν. Τῇ αὐτῇ δὲ ταύτῃ καὶ κολάζειν ὀρθῶς ἐπιστάμεθα; Φημί. Οὐκοῦν ᾗ μὲν κολάζειν ὀρθῶς ἐπιστάμεθα, δικαιοσύνη αὕτη ἐστίν, ᾗ δὲ γιγνώσκειν καὶ ἑαυτὸν καὶ ἄλλους, σωφροσύνη; Ἔοικεν, ἔφη. Ταὐτὸν ἄρα ἐστὶ δικαιοσύνη σωφροσύνη; Φαίνεται. Καὶ μὴν οὕτω γε καὶ αἱ πόλεις εὖ οἰκοῦνται, ὅταν οἱ ἀδικοῦντες δίκην διδῶσιν. Ἀληθῆ λέγεις.

21 *Ξενοφῶντος ἐν δ' Ἀπομνημονευμάτων* (IV 2, 24—36).

Καὶ ὁ Σωκράτης, Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, εἰς Δελ-

---

1 *ὢν τις* S Platonis T: *τις ὢν* Platonis B | *ἀγνοῇ* Meineke ex Plat.: *ἀγνοεῖ* S ‖ **2** *τοὺς μοχθηροὺς* S: *μοχθηροὺς* Platonis B *πονηροὺς* Platonis T | *ἆρ' οὐ καὶ αὑτὸν* Buecheler: *ἄρ'* (*ἆρ'* Tr. p. 133) *οὖν καὶ αὑτὸν* (*αὐτὸν* Tr.) S *ἆρ' οὐχ ἑαυτὸν* tacite ex Plat. Gesn.[1] p. 162, inde vulg. ‖ **3** *ἀγνοεῖ* S Platonis T, *ἀγνοοῖ* Platonis B | *ἢ μοχθηρὸς* S: *ἢ πονηρὸς* Platonis BT | *ἐπειδὴ* Tr. Plat.: *ἐπεὶ* S ‖ **4** *ξυνεχώρει* Plat. | *δὲ αὑτὸν* S Platonis B, *δ' ἑαυτὸν* Platonis T; *δὲ αὐτὸν* Tr., inde vulg. ‖ **5** *ἢ οὐ σωφρονεῖν ἐστιν. οὐ σωφρονεῖν* S Platonis T: *ἐστιν ἢ μὴ σωφρονεῖν; Μὴ σωφρονεῖν* Platonis B ‖ **6** *γιγνώσκειν* S Plat.: *γινώσκειν* Tr., inde vulg. ‖ **7** *καὶ τὸ ἐν* S Platonis T: *τὸ ἐν* Platonis B ‖ **9** *φημί* S Platonis T: *ναί* Platonis B ‖ **11** *γιγνώσκειν* S; *διαγιγνώσκειν* tacite ex Plat. Gesn.[1], inde vulg. | *ἄλλους* S Platonis B, *ἄλλον* Platonis T ‖ **12** *δικαιοσύνῃ σωφροσύνη* scripsi ut Platonis T: *δικαιοσύνη σωφροσύνη* S, *καὶ δικαιοσύνη καὶ σωφροσύνη* Platonis B; *δικαιοσύνη σωφροσύνῃ* Gesn.[1], inde vulg. ‖ **13** *καὶ αἱ* S Platonis B, *καὶ* Platonis T ‖ **14** *Ἀληθῆ λέγεις, ἔφη* Plat. ‖ **16** ecl. cum lemm. hab. SMA ‖ **17** *Καὶ ὁ Σωκρ.* — 562, 14 *καὶ ἀνεπιτήδεια ὅπως ἔχει* om. M v. *Καὶ ὁ Σωκρ.* — 562, 9 *οἶδεν ἢ ὅστις* om. A | *εἰς Δελφοὺς δὲ* S Xen.: *εἰς Δελφοὺς* temere Gesn.[1] p. 162, inde vulg. non rectius Cobet n. l. p. 703. exemplis notis (cf. Xen. apomn. II 9, 2) nuper insperatum accessit Herondae V 1

φοὺς δὲ ἤδη πώποτε ἀφίκου; Καὶ δίς γε νὴ Δί', ἔφη. Κατέμαθες οὖν πρὸς τῷ ναῷ που γεγραμμένον ⟨τὸ⟩ Γνῶθι σαυτόν; Ἔγωγε. Πότερον οὖν οὐδέν σοι τοῦ γράμματος ἐμέλησεν, ἢ προσέσχες τε καὶ ἐπεχείρησας σεαυτὸν ἐπισκοπεῖν ὅστις εἴης; Μὰ Δί' οὐ δῆτα, ἔφη· καὶ γὰρ δὴ τοῦτο πάνυ ᾤμην εἰδέναι· σχολῇ γὰρ ἂν ἄλλο τι ᾔδειν, εἴ γε μηδ' ἐμαυτὸν ἐγίγνωσκον. Πότερα δέ σοι δοκεῖ γιγνώσκειν ἑαυτὸν ὅστις τοὔνομα μόνον τὸ ἑαυτοῦ οἶδεν, ἢ ὅστις, ὥσπερ οἱ τοὺς ἵππους ὠνούμενοι οὐ πρότερον οἴονται γιγνώσκειν ὃν ἂν βούλωνται γνῶναι, πρὶν ἂν ἐπισκέψωνται πότερον εὐπειθής ἐστιν ἢ δυσπειθής, καὶ πότερον ἰσχυρὸς ἢ ἀσθενής, καὶ πότερον ταχὺς ἢ βραδύς, καὶ τἄλλα τὰ πρὸς τὴν τοῦ ἵππου χρείαν ἐπιτήδειά τε καὶ ἀνεπιτήδεια ὅπως ἔχει, οὕτως ἑαυτὸν ἐπισκεψάμενος ὁποῖός ἐστι πρὸς τὴν ἀνθρωπίνην χρείαν, ἔγνωκε τὴν ἑαυτοῦ δύναμιν; Οὕτως ἔμοιγε δοκεῖ, ἔφη, ὁ μὴ εἰδὼς τὴν ἑαυτοῦ δύναμιν ἀγνοεῖν ἑαυτόν. Ἐκεῖνο δὲ οὐ φανερόν, ἔφη, ὅτι διὰ μὲν τὸ εἰδέναι ἑαυτοὺς πλεῖστα ἀγαθὰ ἴσχουσιν ἄνθρωποι, διὰ δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν πλεῖστα κακά; οἱ μὲν γὰρ εἰδότες ἑαυτοὺς τὰ ἐπιτήδεια ἑαυτοῖς ἴσασι καὶ διαγιγνώσκουσιν ἅ τε δύνανται καὶ ἃ μή. καὶ ἃ μὲν ἐπίστανται πράττοντες πορίζονταί τε ὧν

---

1 *νὴ δί'* S Xen.: *νὴ δία* Tr., inde vulg. ‖ **2** *τὸ* tacite e Xen. addidit Gesn.[1], inde vulg. ‖ **4** *ἐμέλησεν* Tr. p. 134 Xen.: *ἐμέλλησεν* S | *σαυτὸν* Xen. ‖ **6** *τοῦτο πάνυ*] *πάνυ τοῦτό γε* Xen. | v. *γὰρ ἂν* usque ad *πότερα* in textu omissa adscripsit in margine S[1] | *ᾔδη* L. Dindorf in Xen. ‖ **7** *ἐγίνωσκον* S ‖ **8** *τοὔνομα τὸ ἑαυτοῦ μόνον* Xen. ‖ **10** *ὃν ἂν* etiam A, fallitur Gaisford ‖ **11** *πότερον* A Tr. Xen.: *πρότερον* S | *δυσπειθὴς* S Xen.: *ἀπειθὴς* ex *ἀσθενὴς* corr. A m. rec. ‖ **14** *οὕτως* Xen.: *οὗτος* (om. ὁ) S M[d] *οὕτως ὁ* A ‖ **16. 17** *αὑτοῦ* Xen. ‖ **16** v. *οὗτος* (sic) *ἔμοιγε* — 20 *πλεῖστα κακά* recurrunt Maxim. c. 56 p. 663 Combef. (lemmate non iterato post Xenophonteam eclogam) | pro *οὕτως* compendium S quod *οὗτος* significare videtur Meklero ‖ **18** *αὑτοὺς* A ‖ **19** *πάσχουσιν* Xen. ‖ **20** *οἱ μὲν γὰρ* — 563, 2 *τὸ κακῶς πράττειν* recurrunt Maxim. c. 56 p. 663 Combef. (ante ecl. *οὗτος ἔμ.*), cum lemm. *Ξενοφῶντος* | *τά τε ἐπιτ.* Xen. ‖ **21** *αὑτοῖς* A | *ἴσασιν* S M[d] ‖ **22** *τε* om. A

δέονται καὶ εὖ πράττουσιν, ὧν δὲ μὴ ἐπίστανται ἀπεχόμενοι ἀναμάρτητοι γίγνονται καὶ διαφεύγουσι τὸ κακῶς πράττειν· διὰ τὸ αὐτὸ δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους δυνάμενοι δοκιμάζειν καὶ διὰ τῆς τῶν ἄλλων χρείας τά τε ἀγαθὰ πορίζονται καὶ τὰ κακὰ φυλάττονται. οἱ δὲ μὴ εἰδότες, ἀλλὰ διεψευσμένοι τῆς αὐτῶν δυνάμεως πρός τε τοὺς ἄλλους ἀνθρώπους καὶ τἄλλα ἀνθρώπινα πράγματα ὁμοίως διάκεινται, καὶ οὔτε ὧν δέονται ἴσασιν οὔτε ὅ τι πράττουσιν οὔτε οἷς χρῶνται, ἀλλὰ πάντων τούτων διαμαρτάνοντες τῶν τε ἀγαθῶν ἀποτυγχάνουσι καὶ τοῖς κακοῖς περιπίπτουσι. καὶ οἱ μὲν εἰδότες ὅ τι ποιοῦσιν, ἐπιτυγχάνοντες ὧν πράττουσιν, εὔδοξοί τε καὶ τίμιοι γίγνονται· καὶ οἵ τε ὅμοιοι τούτοις ἡδέως χρῶνται, οἵ τε ἀποτυγχάνοντες τῶν πραγμάτων ἐπιθυμοῦσι καὶ ἐλπίδας τῶν ἀγαθῶν ἐν τούτοις ἔχουσι, καὶ διὰ ταῦτα πάντων μάλιστα τούτους ἀγαπῶσιν. οἱ δὲ μὴ εἰδότες τί ποιοῦσι, κακῶς τε αἱρούμενοι καὶ οἷς ἂν ἐπιχειρήσωσιν ἀποτυγχάνοντες, οὐ μόνον ἐν αὐτοῖς τούτοις ζημιοῦνταί τε καὶ κολάζονται, ἀλλὰ καὶ ἀδοξοῦσι διὰ ταῦτα καὶ καταγέλαστοι γίγνονται καὶ καταφρονούμενοι καὶ ἀτιμαζόμενοι ζῶσιν. ὁρᾷς δὲ καὶ τῶν πόλεων ὅτι ὅσαι ἂν ἀγνοήσασαι τὴν ἑαυτῶν δύναμιν κρείττοσι πολεμήσωσιν,

3 τὸ αὐτὸ SM^d^A (*bene* monet Gilbert): τοῦτο Xen. fort. ταὐτὸ | ἄλλους ἀνθρώπους M^d^ A Xen.: ἀλλους errore perspicuo S || **5** γ^ε^ pro τε A | κὰ pro κακὰ M^d^ || **6** ἀλλ' οἱ A || **10. 11** -σιν M^d^ || **12** εὔδοξοι S M^d^ Xen.: ἔνδοξοι A || **13** γίνονται M^d^ || **14** ἐπιθυμοῦσι(ν) καὶ S M^d^ A: ἐπιθυμοῦσι τούτου (τούτους ut libri Xen. Gesn.³ p. 178) ὑπὲρ αὐτῶν (debuit αὑτῶν) βουλεύεσθαι καὶ προΐστασθαί τε ἑαυτῶν τούτους καὶ e Xen. Gesn.¹ p. 164, inde vulg. immerito receperunt Gaisford et Meineke. nam haec ipsa vitio non immunia sunt. vix autem sufficiunt quae proposuit Stephanus ἐπιθυμοῦσι τούτους ὑπὲρ αὐτῶν βουλεύεσθαι, καὶ προΐστασθαί γε (δὲ Schenkl) αὐτῶν τούτους ⟨ἐθέλουσι⟩ καὶ | καὶ τὰς ἐλπ. Xen. || **15** διὰ πάντα ταῦτα πάντων libri Xenophontis || **16** ὅ τι (pro τί) Xen. || **17** ποιοῦσιν S M^d^ | τε S M^d^ A quod Xenophonti vindicavit Gilbert: δὲ libri Xen. || **18** ἐν ἑαυτοῖς libri Xenophontis || **19** τε om. M^d^ | ἀδοξοῦσιν S M^d^ || **21** ἂν S M^d^ A: ἐὰν libri Xenophontis || **22** -σιν M^d^

αἱ μὲν ἀνάστατοι γίγνονται, αἱ δὲ ἐξ ἐλευθέρων δοῦλαι. καὶ ὁ Εὐθύδημος, ὡς πάνυ μοι δοκοῦν, ὦ Σώκρατες, ἔφη, περὶ πολλοῦ ποιητέον εἶναι τὸ ἑαυτὸν γιγνώσκειν, οὕτως ἴσθι· ὁπόθεν δὲ χρὴ ἄρξασθαι ἐπισκοπεῖν ἑαυτόν, τοῦτο πρὸς σὲ ἀποβλέπω εἴ μοι ἐθελήσαις ἂν ἐξηγήσασθαι. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, τὰ μὲν ἀγαθὰ καὶ τὰ κακὰ ὁποῖά ἐστι πάντως που γιγνώσκεις; Νὴ Δί', ἔφη· εἰ γὰρ μηδὲ ταῦτα οἶδα, καὶ τῶν ἀνδραπόδων φαυλότερος ἂν εἴην. Ἴθι δή, ἔφη, καὶ ἐμοὶ ἐξήγησαι ταῦτα. Ἀλλ' οὐ χαλεπόν, ἔφη· πρῶτον μὲν γὰρ τὸ ὑγιαίνειν ἀγαθὸν εἶναι νομίζω, τὸ δὲ νοσεῖν κακόν. ἔπειτα τὰ αἴτια ἑκατέρου αὐτῶν καὶ ποτὰ καὶ βρωτὰ καὶ ἐπιτηδεύματα τὰ μὲν πρὸς τὸ ὑγιαίνειν φέροντα ἀγαθά, τὰ δὲ πρὸς τὸ νοσεῖν κακά. Οὐκοῦν, ἔφη, καὶ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν, ὅταν μὲν ἀγαθοῦ τινος αἴτια γίγνηται, ἀγαθὰ ἂν εἴη, ὅταν δὲ κακοῦ, κακά; Πότε δ' ἄν, ἔφη, τὸ μὲν ὑγιαίνειν κακοῦ αἴτιον γένοιτο, τὸ δὲ νοσεῖν ἀγαθοῦ; Ὅταν νὴ Δί', ἔφη, στρατείας τε αἰσχρᾶς καὶ ναυτιλίας βλαβερᾶς καὶ ἄλλων πολλῶν τοιούτων οἱ μὲν διὰ ῥώμην μετασχόντες ἀπόλωνται, οἱ δὲ δι' ἀσθένειαν ἀπολειφθέντες σωθῶσιν. Ἀληθῆ λέγεις· ἀλλ' ὁρᾷς, ἔφη, ὅτι καὶ τῶν ὠφελίμων οἱ μὲν διὰ ῥώμην μετέχουσιν, οἱ δὲ δι' ἀσθένειαν ἀπολείπονται. Ταῦτα οὖν, ἔφη, ποτὲ μὲν ὠφελοῦντα, ποτὲ δὲ βλάπτοντα, τί μᾶλλον ἀγαθὰ ἢ κακά ἐστιν; Οὐδὲν μὰ

---

1 *αἱ δὲ ἀν.* Tr. p. 135, ubi mox *δοῦλοι* et *δοκεῖς*, inde vulg. || **2** *ὦ Σώκρατες ἔφη* SM^d A cum Xenophontis non nullis: *ἔφη ὦ Σώκρατες* Xen. || **3** *ἑαυτὸν* SA Xen.: *ἑαυτοῦ* M^d || **4** v. *οὕτως ἴσθι* — 16 *δὲ κακοῦ, κακά* om. MA || **7** *γινώσκεις* libri || **9** *ἐξήγησαι αὐτά* Xen. || **10** *μὲν γὰρ αὐτὸ τὸ ὑγιαίνειν* Xenophontis cod. Paris. 1740: Stobaei lectionem commendat Cobet n. l. p. 703 || **11** *ἔπειτα καὶ τὰ αἴτια* scribunt in Xen. ex duobus libris Xen. || **16** *πότε δ' ἂν κτέ.* tamquam sui iuris eclogam constituunt novo lemm. *τοῦ αὐτοῦ* praemisso MA || **18** *στρατείας* Xen.: *στρατιᾶς* libri Stob. | *ναυτιλλίας* S || **20** *ἀπώλονται* M^d | *σώζωνται* (supra scr. *θῶσιν*) corr. S¹ *σωθῶσιν* M^d A Xen.: *σώζωνται* Tr., inde vulg. || **21** *ὅτι καὶ* SM^d Xen.: *καὶ* A || **23** *ταῦτα* M ut testatur L. Dindorf ed. Ox. praef. p. XXIX Xen.: *τὰ* SA || **24** *τί* (vel *τι*) *μᾶλλον* libri Stob. Xeno-

Δία φαίνεται κατά γε τοῦτον τὸν λόγον. ἀλλ' ἥ γέ τοι σοφία, ὦ Σώκρατες, ἀναμφισβητήτως ἀγαθόν ἐστιν· ποῖον γὰρ ἄν τις πρᾶγμα οὐ βέλτιον πράττοι σοφὸς ὢν ἢ ἀμαθής; Τί δαί; τὸν Δαίδαλον, ἔφη, οὐκ ἀκήκοας ὅτι ληφθεὶς ὑπὸ Μίνω διὰ τὴν σοφίαν ἠναγκάζετο ἐκείνῳ δουλεύειν, καὶ τῆς τε πατρίδος ἅμα καὶ τῆς ἐλευθερίας ἐστερήθη, καὶ ἐπιχειρῶν ἀποδιδράσκειν μετὰ τοῦ υἱοῦ τόν τε παῖδα ἀπώλεσε καὶ αὐτὸς οὐκ ἠδυνήθη σωθῆναι, ἀλλ' ἀπενεχθεὶς εἰς τοὺς βαρβάρους, πάλιν ἐκεῖ ἐδούλευεν; Λέγεται νὴ Δί', ἔφη, ταῦτα. Τὰ δὲ Παλαμήδους οὐκ ἀκήκοας πάθη; τοῦτον γὰρ δὴ πάντες ὑμνοῦσιν ὡς διὰ σοφίαν φθονηθεὶς ὑπὸ τοῦ Ὀδυσσέως ἀπόλλυται. Λέγεται καὶ ταῦτα, ἔφη. Ἄλλους δὲ πόσους οἴει διὰ σοφίαν ἀνασπάστους πρὸς βασιλέα γεγονέναι καὶ ἐκεῖ δουλεύειν; Κινδυνεύει, ἔφη, ὦ Σώκρατες, ἀναμφιλογώτατον ἀγαθὸν εἶναι τὸ εὐδαιμονεῖν. Εἴ γε μή τις αὐτό, ἔφη, ὦ Εὐθύδημε, ἐξ ἀμφιλόγων ἀγαθῶν συντιθείη. Τί δ' ἄν, ἔφη, τῶν εὐδαιμονικῶν ἀμφίλογον εἴη; Οὐδέν, ⟨ἔφη,⟩ εἴ γε μὴ προσθήσομεν αὐτῷ κάλλος ἢ ἰσχὺν ἢ πλοῦτον ἢ δόξαν ἤ καί τι ἄλλο τῶν τοιούτων. Ἀλλὰ νὴ Δία προσθήσομεν, ἔφη· πῶς γὰρ ἄν τις ἄνευ τούτων εὐδαίμων εἴη; Νὴ Δί', ἔφη, προσθήσομεν ἄρα, ἐξ ὧν πολλὰ καὶ χαλεπὰ συμβαίνει τοῖς ἀνθρώποις· πολλοὶ μὲν γὰρ διὰ τὸ κάλλος ὑπὸ τῶν ἐπὶ τοῖς ὡραίοις παρακεκινημένων διαφθείρονται, πολλοὶ δὲ διὰ τὴν ἰσχὺν μείζοσιν ἔργοις ἐπιχειροῦντες οὐ μικροῖς

---

phonti vindicat propter insequens *Οὐδὲν* Gilbert: *μᾶλλον* libri Xen. e Xen. tacite Gesn.[1], inde vulg.

1 *κατά τε τ.* A ‖ **4** *δαὶ* S M[d] Xenophontis non nulli: *δὲ* A Xen. | *ληφθεὶς* M[d] A Tr. Xen.: *ληφεὶς* S ‖ **5** *μίνωϊ* M[d] A ‖ **7** *ἐπιδιδράσκειν* A ‖ **8** *ἀπώλεσεν* S M[d] | *ἠδυνήθη* S libri Xen.: *ἐδυνήθη* M[d] A ‖ **10** *ἔφη* supra lin. A | *οὐκακήοας* A, fallitur Gaisford ‖ **13** *ἀναρπάστους* non nulli Xenophontis ‖ **15** *ἀναμφιλογώτατον* ex *-τατα* em. A | *εἶναι καὶ τὸ εὐδ.* A ‖ **17** *συντιθείη* L. Dindorf: *συντιθη* sine acc. S *συντιθῆ* M[d] *συντιθεῖ* A *συνθείη* vel *συντεθείη* libri Xen. ‖ **18** *ἔφη* tacite ex Xen. addidit Gesn.[1] p. 164, inde vulg. ‖ **21** *εὐδαιμονοίη* Xen. ‖ **22** post *προσθήσομεν* distinguit, tum *ἄρ'* A ‖ **24** *παρακεκινηκότων* Xen.

κακοῖς περιπίπτουσιν, πολλοὶ δὲ διὰ τὸν πλοῦτον διαθρυπτόμενοί τε καὶ ἐπιβουλευόμενοι ἀπόλλυνται, πολλοὶ δὲ διὰ δόξαν καὶ πολιτικὴν δύναμιν μεγάλα κακὰ πεπόνθασιν. Ἀλλὰ μήν, ἔφη, εἴ γε μηδὲ τὸ εὐδαιμονεῖν ἐπαινῶν ὀρθῶς λέγω, ὁμολογῶ μηδὲ ὅ τι πρὸς τοὺς θεοὺς εὔχεσθαι χρὴ εἰδέναι. Ἀλλὰ ταῦτα μέν, ἔφη ὁ Σωκράτης, ἴσως διὰ τὸ σφόδρα πιστεύειν εἰδέναι οὐδ᾽ ἔσκεψαι.

22 *Πλάτωνος ἐκ τοῦ Φιλήβου* (p. 48 C).

Τῆς δ᾽ αὖ πάσης πονηρίας ἐστὶ τοὐναντίον πάθος ἔχον, ἢ τὸ λεγόμενον ὑπὸ τῶν ἐν Δελφοῖς γραμμάτων. — Τὸ Γνῶναι σαυτὸν λέγεις, ὦ Σώκρατες; — Ἔγωγε. τοὐναντίον μὴν ἐκεῖνο δῆλον ὅτι τὸ μηδαμῇ γινώσκειν αὑτὸν λεγόμενον ὑπὸ τοῦ γράμματος ἂν εἴη. — Τί μήν; — Ὦ Πρώταρχε, πειρῶ δὲ αὐτὸ τοῦτο τριχῇ τέμνειν. — Πῇ φῄς; οὐ γὰρ μὴ δυνατὸς ὦ. — Λέγεις δὴ δεῖν ἐμὲ τοῦτο διελέσθαι τὰ νῦν; — Λέγω καὶ δέομαί γε πρὸς τῷ λέγειν. — Ἆρ᾽ οὖν οὐ τῶν ἀγνοούντων αὐτοὺς κατὰ τρία ἀνάγκη τοῦτο τὸ πάθος πάσχειν ἕκαστον; — Πῶς; — Πρῶτον μὲν κατὰ χρήματα δοξάζειν εἶναι πλουσιώτερον ἢ κατὰ τὴν αὐτῶν οὐσίαν. — Πολλοὶ γοῦν εἰσι τοιοῦτον πάθος ἔχοντες. — Πλείους δέ γε, οἳ μείζους καὶ καλλίους αὑτοὺς δοξάζουσι καὶ πάντα ὅσα κατὰ τὸ σῶμα εἶναι διαφερόντως τῆς οὔσης αὐτοῖς ἀληθείας. — Πάνυ γε. — Πολὺ δὲ πλεῖστοί γε, οἶμαι, περὶ τὸ τρίτον εἶδος τούτων ἐν ταῖς ψυχαῖς διημαρτήκασιν, ἀρετῇ δοξάζοντες βελτίους ἑαυτοὺς οὐκ ὄντες. — Σφόδρα μὲν οὖν. — Τῶν ἀρετῶν

δια
1 *ἐπιθρυπτόμενοι* A corr. A[1] ‖ 4 *μηδὲ*] *μὴ* A ‖ 5 *μηδὲ* inter in. A ‖ 6 *ὁ* om. M[d] ‖ 7 *οὐδεσκέψαι* M[d] ‖ 8 ecl. cum lemm. hab. S M A ‖ 9 *Τῆς δ᾽ αὖ πάσης — πρὸς τῷ λέγειν* (17) om. M A ‖ 14 *δὲ* S Platonis B alii: *δὴ* Platonis vulg., inde tacite Gesn.[1] p. 166, vulg. ‖ 16 *τῷ λ.* tacite ex Plat. Gesn.[1], inde vulg.: *τὸ λ.* S Platonis non nulli ‖ 17 *αὑτοὺς* M[d] A Plat.: *αὐτοὺς* S ‖ 20 *αὑτῶν* S M[d] Plat.: *αὐτοῦ* A | *τὸ τοιοῦτον* Plat. | *τοιοῦτον* M[d] A Plat.: *τοιοῦτο* S ‖ 21 *οἳ* S A Plat.: *οἵ γε* M[d]; *ἢ* Tr. p. 136, inde vulg. ‖ 22 *δοξάζουσιν* S ‖ 23 *διαφερόντως* S Plat.: *διαφέροντας* M[d] A ‖ 24 *πολλὺ* M[d] ‖ 25 *ἀρετη* sine acc. S *ἀρετὴν* Plat. ‖ 26 *Σφόδρα μὲν οὖν κτέ.* om. M A

δ' ἆρα οὐ σοφίας πέρι τὸ πλῆθος πᾶν ἀντεχόμενον, μεστὸν ἐρίδων καὶ δοξοσοφίας ἐστὶ ψευδοῦς; — Πῶς δ' οὔ; — Κακὸν μὲν δὴ πᾶν ἄν τις τὸ τοιοῦτον εἰπὼν ὀρθῶς ἂν εἴποι πάθος. — Σφόδρα γε.

23 *Πλάτωνος Ἀλκιβιάδου α'* (p. 127 E — p. 131 D).

Φέρε δή, τί ἐστι τὸ ἑαυτοῦ ἐπιμελεῖσθαι; μὴ πολλάκις λάθωμεν οὐχ ἡμῶν αὐτῶν ἐπιμελούμενοι, οἰόμενοι δέ· καὶ πότ' ἄρ' αὐτὸ ποιεῖ ἅνθρωπος; ἆρ' ὅταν τῶν ἑαυτοῦ ἐπιμελῆται, τότε καὶ αὑτοῦ; — Ἐμοὶ γοῦν δοκεῖ. — Τί δαί; ποδῶν ἅνθρωπος πότε ἐπιμελεῖται; ἆρ' ὅταν ἐκείνων ἐπιμελῆται ἅ ἐστι τῶν ποδῶν; — Οὐ μανθάνω. — Καλεῖς δέ τι χειρός· οἷον δακτύλιον ἔστιν ὅτου ἂν ἄλλου τῶν τοῦ ἀνθρώπου φαίης ἢ δακτύλου; — Οὐ δῆτα. — Οὐκοῦν καὶ ποδὸς ὑπόδημα τὸν αὐτὸν τρόπον; — Ναί. — [Καὶ ἱμάτια καὶ στρώματα τοῦ ἄλλου σώματος ὁμοίως; — Ναί.] — Ἆρ' οὖν ὅταν ὑποδημάτων ἐπιμελώμεθα, τότε ποδῶν ἐπιμελούμεθα; — Οὐ πάνυ μανθάνω, ὦ Σώκρατες. — Τί δ', ὦ Ἀλκιβιάδη; ὀρθῶς ἐπιμελεῖσθαι καλεῖς τι ὁτουοῦν πράγματος; — Ἔγωγε. — Ἆρ' οὖν ὅταν τις βέλτιον ποιῇ, τότε ὀρθὴν λέγεις ἐπιμέλειαν; — Ναί. — Τίς οὖν τέχνη ὑποδήματα βελτίω ποιεῖ; — Σκυτική. — Σκυτικῇ ἄρα ὑποδημάτων ἐπιμελούμεθα; — Ναί. — Ἦ καὶ ποδὸς σκυτικῇ, ἢ ἐκείνῃ ᾗ πόδας βελτίους ποιοῦμεν;

---

1 *ἆρ'* Plat.: *ἄρα* S | *πέρι* S: *περὶ* Tr. | *πάντως* Plat. ‖ **5** ecl. cum lemm. hab. S M A ‖ **6** *Φέρε δὴ* usque ad p. 571, 19 *πάνυ μὲν οὖν* om. M^d A | *ἑαυτοῦ* tacite ex Plat. Gesn.[1] p. 166, inde vulg.: *ἐμαυτοῦ* S ‖ **8** *πότ' ἄρ'* scripsi: *πότερ'* S *πότερον* Tr. *πότ' ἄρα* Plat.; *πότε ἄρα* tacite ex Platonis Ald. Gesn.[1], inde vulg. | *αὐτὸ ποιεῖ* S Platonis B: *ποιεῖ αὐτὸ* Platonis T | *ἅνθρωπος* (hic et 10) Schanz: *ἄνθρωπος* (hic et 10) Stob., Plat. ‖ **9** *ἑαυτοῦ* S Platonis T, *αὑτοῦ* Platonis B | post *ἐπιμελῆται* rasura non nulla deleta sunt S, an fuerat *ἐπιμελῆται, ἐπιμελεῖται*? | *αὑτοῦ* S Platonis B, *ἑαυτοῦ* Platonis T | *ἐμοὶ γοῦν* scripsi ex Plat.: *ἔμοιγ' οὖν* S ‖ **10** *δαὶ* S Platonis T: *δὲ* Platonis B ‖ **12** *δή τι* temere Gesn.[1], inde vulg. | *χειρός* Plat.: *χερός* S ‖ **15** v. *Καὶ ἱμάτια — ναί* quae ignorat Plat. circumscripsi | *ἱμάτια*, corr. *ον* S^1 ‖ **18** *δ'* reposui ex S Plat.: *δαὶ* Tr. p. 137, inde vulg. ‖ **19** *τις* S Platonis B, *τις τι* Platonis T

— Ἐκείνη. — Βελτίους δὲ πόδας οὐχ ᾗπερ καὶ τὸ ἄλλο σῶμα; — Ἔμοιγε δοκεῖ. — Αὕτη δ᾽ οὐ γυμναστική; — Μάλιστα. — Γυμναστικῇ μὲν ἄρα ποδὸς ἐπιμελούμεθα, σκυτικῇ δὲ τῶν τοῦ ποδός; — Πάνυ γε. — Καὶ γυμναστικῇ μὲν χειρῶν, δακτυλιογλυφίᾳ δὲ τῶν τῆς χειρός; — Ναί. — Καὶ γυμναστικῇ μὲν σώματος, ὑφαντικῇ δὲ καὶ ταῖς ἄλλαις τῶν τοῦ σώματος; — Παντάπασιν. — Ἄλλῃ μὲν ἄρα τέχνῃ αὐτοῦ ἑκάστου ἐπιμελούμεθα, ἄλλῃ δὲ τῶν αὐτοῦ. — Φαίνεται. — Οὐκ ἄρα, ὅταν τῶν ἑαυτοῦ ἐπιμελῇ, σαυτοῦ ἐπιμελῇ. — Οὐδαμῶς. — Οὐ γὰρ ἡ αὐτὴ τέχνη, ὡς ἔοικεν, ᾗ τις ἂν αὑτοῦ τε ἐπιμελοῖτο καὶ τῶν αὑτοῦ. — Οὐ φαίνεται. — Φέρε δή, ποίᾳ ποτ᾽ ἂν ἡμῶν αὐτῶν ἐπιμεληθείημεν; — Οὐκ ἔχω λέγειν. — Ἀλλὰ τοσόνδε γε ὡμολόγηται, ὅτι οὐχ ᾗ ἂν τῶν ἡμετέρων καὶ ὁτιοῦν βέλτιον ποιῶμεν, ἀλλ᾽ ᾗ ἡμᾶς αὐτούς. — Ἀληθῆ λέγεις. — Ἦ οὖν ἔγνωμεν ἄν ποτε, τίς τέχνη ὑπόδημα βέλτιον ποιεῖ, μὴ εἰδότες ὑπόδημα; — Ἀδύνατον. — Οὐδέ γε τίς τέχνη δακτυλίους βελτίους ποιεῖ, ἀγνοοῦντες δακτύλιον; — Ἀληθῆ. — Τί δέ; τίς τέχνη βελτίω ποιεῖ αὐ-

---

1 δὲ πόδας οὐχ ᾗπερ tacite ex Plat. reposuit Gesn.[1] p. 166, inde vulg.: δὴ πόδας οὐχί περ S ‖ **2** αὕτη tacite ex Plat. Gesn.[1], inde vulg.: αὐτὴ S ‖ **5** δακτυλιογλυφίᾳ Platonis T, ex Plat. tacite Gesn.[1], inde vulg.: δακτυλογλυφία S Platonis B ‖ **7** παντάπασιν S, παντάπασι Platonis T, παντάπασι μὲν οὖν Platonis B ‖ **8** αὐτοῦ S Platonis T, αὑτοῦ Platonis B ‖ **9** αὐτοῦ ex Platonis T: ἑαυτοῦ S, αὑτοῦ Platonis B | ἑαυτοῦ S Platonis B, αὑτοῦ Platonis T: σαυτοῦ ex emend. Platonis apogr. Coislin. 155 ‖ **10** σαυτοῦ ἐπιμελῇ S: σαυτοῦ ἐπιμελεῖ Plat. ‖ **11** ἥτις Platonis B T ‖ **12** ποῖα S, ποίᾳ Platonis T, om. Platonis B ‖ **13** ἐπιμεληθείημεν S Platonis B T, ἐπιμελήειμεν Tr., ἐπιμεληθεῖμεν Plat.; ἐπιμελετήειμεν nescio quo errore Gesn.[2] p. 180, inde vulg. | τοσόνδε γε S, Platonis B (ubi τοσονδέ γε), τοσοῦτον δέ γε Platonis T ‖ **15** ποιῶμεν S Platonis B T: ποιοῖμεν Struve | ἀλλὰ (scripsi ἀλλ᾽ ex Platonis B) ᾗ tacite ex Plat. Gesn.[1] p. 166, inde vulg.: καὶ S | αὐτους sine acc. S ‖ **16** ἦ S, εἰ Platonis B T | ὑπόδημα βέλτιον Plat.: ὑποδήματα βέλτιον S; fort. ὑποδήματα βελτίω sicut infra δακτυλίους βελτίους ‖ **17** ποιεῖ Plat., ubi εῖ in ras. T: ποιῇ S ‖ **18** ποιεῖ reposui ex S Plat.: ποιῇ Tr., inde vulg. ‖ **19** τίς τέχνη reposui ex S Plat.; τίς γε τέχνη tacite Gesn.[1], inde vulg. | αὐτόν dedi ex Plat., ubi αὑτὸν B T: αὐτῶν S

τόν, ἀρ᾽ ἂν ποτε γνοίημεν ἀγνοοῦντες τί ποτ᾽ ἐσμὲν αὐτοί; — Ἀδύνατον. — Πότερον οὖν ῥᾴδιον τυγχάνει τὸ γνῶναι ἑαυτόν, καί τις ἦν φαῦλος ὁ τοῦτο ἀναθεὶς εἰς τὸν ἐν Πυθοῖ νεών, ἢ χαλεπόν τι καὶ οὐχὶ παντός; — Ἐμοὶ μέν, ὦ Σώκρατες, πολλάκις μὲν ἔδοξε παντὸς εἶναι, πολλάκις δὲ παγχάλεπον. — Ἀλλ᾽ ὦ Ἀλκιβιάδη, εἴτε ῥᾴδιον εἴτε μή ἐστιν, ὅμως γε ἡμῖν ὧδ᾽ ἔχει· γνόντες μὲν αὐτὸ τάχ᾽ ἂν γνοίημεν τὴν ἐπιμέλειαν ἡμῶν αὐτῶν, ἀγνοοῦντες δὲ οὐκ ἄν ποτε. — Ἔστι ταῦτα. — Φέρε δή, τίν᾽ ἂν τρόπον εὑρεθείη αὐτὸ τοῦτο; οὕτω μὲν γὰρ ἂν τάχ᾽ εὕροιμεν τί ποτ᾽ ἐσμὲν αὐτοί, τούτου δ᾽ ἔτι ὄντες ἐν ἀγνοίᾳ ἀδύνατοί που. — Ὀρθῶς λέγεις. — Ἔχε οὖν πρὸς Διός, τῷ διαλέγῃ σὺ νῦν; ἄλλο τι ἢ ἐμοί; — Ναί. — Οὐκοῦν καὶ ἐγὼ σοί; — Ναί. — Σωκράτης ἄρ᾽ ἐστὶν ὁ διαλεγόμενος; — Πάνυ γε. — Ἀλκιβιάδης δ᾽ ὁ ἀκούων; — Ναί. — Οὐκοῦν λόγῳ διαλέγεται ὁ Σωκράτης; — Τί μήν; — Τὸ δὲ διαλέγεσθαι καὶ τὸ λόγῳ χρῆσθαι ταὐτόν που καλεῖς; — Πάνυ γε. — Ὁ δὲ χρώμενος καὶ ᾧ χρῆται οὐκ ἄλλο; — Πῶς λέγεις; — Ὥσπερ σκυτοτόμος τέμνει που τομεῖ καὶ σμίλῃ καὶ ἄλλοις ὀργάνοις. — Ναί. — Οὐκοῦν ἄλλο μὲν ὁ τέμνων καὶ χρώμενος, ἄλλο δὲ οἷς τέμνων χρῆται; — Πῶς γὰρ οὔ; — Ἆρ᾽ οὖν οὕτως καὶ οἷς ὁ κι-

---

1 *γνοίημεν* S *γνοῖμεν* Platonis B T ‖ **2** *οὖν* S *οὖν δὴ* Platonis B, *οὖν ἂν* Platonis T; *οὖν ἂν* tacite Gesn.¹, inde vulg. ‖ **4** *ἐν πυθοῖ* S Platonis B T: *πυθοῖ* recte Cobet n. l. p. 321 ‖ **8** *γνοίημεν* S Platonis B: *γνοῖμεν* Platonis T ‖ **10** *αὐτὸ τοῦτο* S: *αὐτὸ ταυτό* Platonis B, *αὐτοτοαυτό* Platonis T ‖ **11** *ὄντος* Platonis T ‖ **12** *ἀδύνατοι που* S, *ἀδύνατοί που* Plat.: *ἀδύνατόν που* Tr., inde vulg. | *ὀρθῶς λέγεις* S, Plat. (unde tacite add. Gesn.¹ p. 168, vulg.): om. Tr. et Platonis B ‖ **13** *διαλέγει* Plat. | *νῦν* om. Tr. | *ἄλλο τι* scripsi ex Plat.: *ἀλλώ τι* S; *ἄλλῳ τῳ* Tr., inde vulg. ‖ **17** *τὸ λόγῳ* dedi ex Plat.: *τῶ λόγω* S ‖ **20** *τομεῖ* ex Plat. (*εῖ* in ras. Platonis B): *τομῇ* S | *σμίλῃ* ut Plat. Tr. p. 138, inde vulg.: *σμίλλη* S ‖ **21** *ἄλλο μὲν* tacite ex Plat. Gesn.¹, inde vulg.: *ἄλλος μὲν* S | *καὶ ὁ χρώμενος* Plat. | *ἄλλο δὲ* ex Plat. Gaisford: *ἄλλα δὲ* S Tr., inde vulg. | *οἷς τέμνων* S Plat.; *οἷς ὁ τέμνων* tacite Gesn.¹, inde vulg. ‖ **22** *γὰρ* temere om. Gesn.² p. 181, inde vulg.

θαριστὴς κιθαρίζει καὶ αὐτὸς ὁ καθαριστὴς ἄλλο ἂν εἴη; — Ναί. — Τοῦτο τοίνυν ἀρτίως ἠρώτων, εἰ ὁ χρώμενός τε καὶ ᾧ χρῆται ἀεὶ δοκεῖ ἕτερον εἶναι. — Δοκεῖ. — Τί οὖν; φῶμεν τὸν σκυτοτόμον τέμνειν ὀργάνοις μόνον ἢ καὶ χερσί; — Καὶ χερσί. — Χρῆται ἄρα καὶ ταύταις; — Ναί. — Ἦ καὶ τοῖς ὀφθαλμοῖς χρώμενος σκυτοτομεῖ; — Ναί. — Τὸν δὲ χρώμενον καὶ οἷς χρῆται ἕτερα ὁμολογοῦμεν; — ⟨Ναί.⟩ — Ἕτερον ἄρα σκυτοτόμος καὶ κιθαριστὴς χειρῶν καὶ ὀφθαλμῶν οἷς ἐργάζονται; — Φαίνεται. — Οὐκοῦν καὶ παντὶ τῷ σώματι χρῆται ἅνθρωπος; — Πάνυ γε. — Ἕτερον δ' ἦν τό τε χρώμενον καὶ ᾧ χρῆται; — Ναί. — Ἕτερον ἄρ' ἅνθρωπός ἐστι τοῦ ἑαυτοῦ σώματος; — Ἔοικεν. — Τί ποτ' οὖν ἐστιν ἅνθρωπος; — Οὐκ ἔχω λέγειν. — Ἔχεις μὲν οὖν, ὅτι γε ⟨τὸ⟩ τῷ σώματι χρώμενον. — Ναί. — Ἦ οὖν ἄλλο τι χρῆται αὐτῷ ἢ ψυχή; — Οὐκ ἄλλο. — Οὐκοῦν ἄρχουσα; — Ναί. — Καὶ μὴν τόδε γ' οἶμαι οὐδένα ἂν ἄλλως οἰηθῆναι. — Τὸ ποῖον; — Μὴ οὐ τριῶν ἕν γέ τι εἶναι τὸν ἄνθρωπον. — Τίνων; — Ψυχὴν ἢ σῶμα ἢ συναμφότερον, τὸ ὅλον τοῦτο. — Τί μήν; — Ἀλλὰ μὴν αὐτό γε ⟨τὸ⟩ τοῦ σώματος ἄρχον ὡμολογήσαμεν ἄνθρωπον εἶναι; — Ὡμολογήσαμεν. — Ἆρ' οὖν σῶμα αὐτὸ αὑτοῦ ἄρχει; — Οὐδαμῶς. — Ἄρχεσθαι γὰρ αὐτὸ εἴπομεν; — ⟨Ναί.⟩ — Οὐκ ἂν δὴ τοῦτό γε εἴη τὸ ζητούμενον. — Οὐκ

---

3 *τε* recte om. Platonis B ‖ **8** *ναί* tacite ex Plat. addidit Gesn.[1], inde vulg. ‖ **10** *ἅνθρωπος* Schanz: *ἄνθρωπος* S Platonis B T ‖ **11** *δ' ἦν* S Platonis B, *δὴ* Platonis T ‖ **12** *ἅνθρωπος* Bekker: *ἄνθρωπος* S Platonis B T; *ὁ ἄνθρωπος* Gesn.[1], inde vulg. | *τοῦ ἑαυτοῦ σώματος* S Platonis T: *τοῦ σώματος τοῦ ἑαυτοῦ* Platonis B ‖ **13** *ποτ' οὖν* ex *ποτε δ'* corr. S[1] | *ἐστιν* om. Plat. | *ἅνθρωπος* Bekker: *ἄνθρωπος* S, *ὁ ἄνθρωπος* Platonis B T ‖ **14** *τὸ* addidi ex Plat. ‖ **15** *ἢ ψυχή* tacite Gesn.[1] ex Plat., ubi *εἰ ψυχὴ* B: *ἡ ψυχὴ* S ‖ **18** *ἢ καὶ συναμφ.* temere Gesn.[1], inde vulg. ‖ **19** *αὐτό γε* tacite ex Plat. Gesn.[1], inde vulg.: *οὐ τό γε* S ‖ **20** *τὸ* tacite ex Plat. addidit Gesn.[1], inde vulg. | *ὡμολογήσαμεν* S Plat. B: *ὡμολογήσαμεν τίς οὖν ὁ ἄνθρωπος* Plat. T; glossema ex Platonis vulg. addidit Gesn.[1], inde Stobaei vulg. ‖ **22** *αὐτὸ* tacite ex Plat. Gesn.[1], inde vulg.: *αὐτὰ* S ‖ **23** *ναί* tacite ex Plat. addidit Gesn.[1], inde vulg. | *τὸ ζητούμενον* S: *ὃ ζητοῦμεν* Plat.

ἔοικεν. — Ἀλλὰ τὸ συναμφότερον τοῦ σώματος ἄρχει, καὶ ἔστι δὴ τοῦτο ὁ ἄνθρωπος; — Ἴσως δῆτα. — Πάντων γε ἥκιστα· μὴ γὰρ συνάρχοντος τοῦ ἑτέρου οὐδεμία που μηχανὴ τὸ συναμφότερον ἄρχειν. — Ὀρθῶς. — Ἐπειδὴ δὲ οὔτε τὸ σῶμα οὔτε τὸ συναμφότερόν ἐστιν ἄνθρωπος, λείπεται, οἶμαι, ἢ μηδὲν αὐτὸ εἶναι, ἢ εἴπερ τί ἐστι, μηδὲν ἄλλο ⟨τὸν⟩ ἄνθρωπον συμβαίνειν ἢ ψυχήν. — Κομιδῇ μὲν οὖν. — Ἔτι οὖν σαφέστερον δεῖ ἀποδειχθῆναί σοι, ὅτι ⟨ἡ⟩ ψυχή ἐστιν ἄνθρωπος; — Μὰ Δί', ἀλλ' ἱκανῶς μοι δοκεῖ ἔχειν. — Εἰ δέ γε μὴ ἀκριβῶς ἀλλὰ καὶ μετρίως, ἐξαρκεῖ ἡμῖν· ἀκριβῶς μὲν γὰρ εἰσόμεθα τότε, ὅταν εὕρωμεν ὃ νῦν δὴ παρήλθομεν διὰ τὸ πολλῆς εἶναι σκέψεως. — Τί τοῦτο; — Ὃ ἄρτι οὕτω πως ἐρρήθη, ὅτι πρῶτον σκεπτέον εἴη αὐτὸ τὸ αὐτό· νῦν δ' ἀντὶ τοῦ αὐτοῦ † αὑτὸν ἕκαστον ἐσκέμμεθα ὅ τι ἐστίν, καὶ ἴσως ἐξαρκέσει· οὐ γάρ που κυριώτερόν γε οὐδὲν ἂν ἡμῶν αὐτῶν φήσαιμεν ἢ τὴν ψυχήν. — Οὐ δῆτα. — Οὐκοῦν καλῶς ἔχει οὕτω νομίζειν, ἐμὲ καὶ σὲ προσομιλεῖν ἀλλήλοις τοῖς λόγοις χρωμένους τῇ ψυχῇ πρὸς τὴν ψυχήν; — Πάνυ μὲν οὖν. — Τοῦτο δ' ἄρα ἦν, ὃ ἔγωγε καὶ ὀλίγῳ ἔμπροσθεν εἶπον, ὅτι Σωκρά-

---

1 *ἀλλὰ* S: *ἀλλ' ἄρα* (ubi *ἆρα* Platonis T) Plat.; *ἀλλὰ ἆρα* tacite ex Plat. Gesn.[1], inde vulg. ‖ **2** *ἔστι δὴ τοῦτο* S Platonis B *ἔστιν τοῦτό γε* Platonis T | *ὁ* om. Plat. ‖ **3** *συνάρχοντος* S Platonis B *οὖν ἄρχοντος* Platonis T ‖ **5** *τὸ σῶμα* S Platonis T, *σῶμα* Platonis B ‖ **6** *ἢ μηδὲν* S Platonis T, *μηδὲν* Platonis B | *μηδὲν — ἐστι* delet Hermann ‖ **7** *τὸν* tacite ex Plat. addidit Gesn.[1], inde vulg. ‖ **8** *ἔτι οὖν* S: *ἔτι οὖν τι* Plat. ‖ **9** *ἡ* tacite ex Plat. addidit Gesn.[1], inde vulg. ‖ **10** *ἀκριβῶς ἀλλὰ καὶ μετρίως* S Platonis T: *ἀκριβῶς* Platonis B ‖ **11** *γὰρ τότε εἰσ.* Plat. ‖ **13** *οὕτω* prius omissum inseruit S[1] ‖ **14** *τὸ αὐτὸ* ex Plat. tacite Gesn.[1], inde vulg.: *τοῦ αὐτοῦ* S | *δ'* S, *δὲ* Platonis B, *δὴ* Platonis T | *τοῦ αὐτοῦ* S Plat.: *τοῦ αὐτοῦ αὐτοῦ* (vel *αὐτοῦ τοῦ αὐτοῦ*) Schleiermacher | *αὑτὸν* S, *αὐτὸν* Plat.: *αὐτὸ* Stephanus; *τοῦ αὐτοῦ καθ' αὑτὸ* Stallbaum ‖ **15** *ὅτι* S Platonis B, *τί* Platonis T ‖ **19** *τῇ ψυχῇ*] *τὴν ψυχὴν* Dobree adv. I p. 156 | *τοῦτο δ' ἄρα*] abhinc ordiuntur M A | *τοῦτο δ' ἄρα* S M[d] A, *τοῦτ'* (*τοῦτο* Platonis B) *ἄρ'* (*ἄρα* Platonis T) Plat. ‖ **20** *ὃ ἔγωγε καὶ ὀλίγῳ* (*ὀλίγω* ex *ὀλίγον* corr. S[1]) *ἔμπροσθεν εἶπον* scripsi ex S M[d] A; *ὃ καὶ ὀλίγῳ ἔμπροσθεν εἴπομεν* tacite ex Plat. Gesn.[1], inde vulg.

της Ἀλκιβιάδῃ διαλέγεται λόγῳ χρώμενος, οὐ πρὸς τὸ σὸν πρόσωπον, ὡς ἔοικεν, ἀλλὰ πρὸς τὸν Ἀλκιβιάδην ποιούμενος τοὺς λόγους· τοῦτο δ᾽ ἐστὶν ⟨ἡ⟩ ψυχή. — Ἐμοὶ γοῦν δοκεῖ. — Ψυχὴν ἄρα ἡμᾶς κελεύει γνωρίζειν [καὶ] ὁ ἐπιτάττων γνῶναι ἑαυτόν. — Ἔοικεν. — Ὅστις ἄρα τῶν τοῦ σώματός τι γιγνώσκει, τὰ αὑτοῦ ἀλλ᾽ οὐχ ἑαυτὸν ἔγνωκεν. — Οὕτως. — Οὐδεὶς ἄρα τῶν ἰατρῶν ἑαυτὸν γιγνώσκει, καθ᾽ ὅσον ἰατρός, οὐδὲ τῶν παιδοτριβῶν, καθ᾽ ὅσον παιδοτρίβης. — Οὐκ ἔοικεν. — Πολλοῦ ἄρα δέουσιν οἱ γεωργοὶ καὶ οἱ ἄλλοι δημιουργοὶ γιγνώσκειν ἑαυτούς· οὐδὲ γὰρ τὰ ἑαυτῶν οὗτοί γε, ὡς ἔοικε, γιγνώσκουσιν, ἀλλ᾽ ἔτι πορρωτέρω τῶν ἑαυτῶν κατά γε τὰς τέχνας ἃς ἔχουσιν· τὰ γὰρ τοῦ σώματος γιγνώσκουσιν, οἷς τοῦτο θεραπεύεται. — Ἀληθῆ λέγεις. — Εἰ ἄρα σωφροσύνης ἐστὶ τὸ ἑαυτὸν γιγνώσκειν, οὐδεὶς τούτων σώφρων κατὰ τὴν τέχνην. — Οὔ μοι δοκεῖ. — Διὰ ταῦτα δὴ καὶ βάναυσοι αὗται αἱ τέχναι δοκοῦσιν εἶναι, καὶ οὐκ ἀνδρὸς αγαθοῦ μαθήματα. — Πάνυ μὲν οὖν. — Οὐκοῦν πάλιν ὅστις αὖ σῶμα θεραπεύει, τὰ ἑαυτοῦ ἀλλ᾽ οὐχ ἑαυτὸν

---

1 *λόγῳ* om. Platonis B ‖ **3** *ἡ* tacite ex Plat. addidit Gesn.[1], inde vulg. | *ἐμοὶ γοῦν* scripsi: *ἔμοιγ᾽* (vel *ἔμοιγ*) *οὖν* S M[d] A, *ἔμοιγε* Plat. ‖ **4** *κελεύειν* M[d] | *γνωρίσαι* Plat. | *καὶ ὁ ἐπιτάττων* S M[d] A: *ὁ ἐπιτάττων* tacite ex Plat. Gesn.[1], inde vulg. scripserim *γνωρίσαι ὁ ἐπιτάττων,* nam *καὶ* istud ortum videtur ex vetere correctione *γνωρίζειν* (σαι sup.) ‖ **5** *ὅστις ἄρα* S M[d] Plat.: *ἄρα ὅστις* A ‖ **6** *τι* om. Plat. | *αὑτοῦ* reposui ex S Platonis B: *αὐτοῦ* M[d] (Tr. p. 139, inde vulg.) Platonis T *αὐτῶν* A | *ἑαυτὸν* S M[d] A *αὑτὸν* Plat. ‖ **7** *γινώσκει, ἑαυτὸν* sup. lin. S, *ἑαυτὸν γιγνώσκει* M[d] Plat., ubi *γιγνώσκειν* B C, *γιγνώσκει ἑαυτὸν* A ‖ **11** *οὐδὲ* tacite ex Plat. Gaisford: *οὔτε* S M[d] A | *οὗτοί γε ὡς ἔοικε* (*ἔοικε* M[d]) *γιγνώσκουσιν* S M[d] (*ὡς ἔοικε γίγν.* (sic) sup.), *ὡς ἔοικεν οὗτοί γε γινώσκουσιν* A: *οὗτοί γε ὡς ἔοικεν* Plat. ‖ **14** *σωφροσύνης* S M[d] A; *σωφροσύνη* tacite ex Plat. Gesn.[1], inde vulg. ‖ **16** *δὴ* ex *δεῖ* corr. S[1] ‖ **17** *αὗται* M[d] Tr. Plat.: *ταῦται* S A ‖ **18** *πάλιν ὅστις αὖ* S M[d] Plat.: *αὖ ὅστις* (om. *πάλιν*) A ‖ **19** v. *ὅστις σῶμα* (sic) — 573, 2 *τῶν ἑαυτοῦ* iam supra leguntur III 18, 36 (*Πλάτωνος*), ubi vide | *τὰ ἑαυτοῦ* reposui ex S Platonis B: *τὸ*

θεραπεύει; — Κινδυνεύει. — Ὅστις δέ γε τὰ χρήματα, οὔτε ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ, ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτοῦ; — Ἔμοιγε δοκεῖ. — Οὐ τὰ αὑτοῦ ἄρ' ἔτι πράττει ὁ χρηματιστής. — Ὀρθῶς. — Εἰ δ' ἄρα τις γέγονεν ἐραστὴς τοῦ Ἀλκιβιάδου σώματος, οὐχὶ Ἀλκιβιάδου ἠράσθη, ἀλλά τινος τῶν Ἀλκιβιάδου; — Ἀληθῆ λέγεις. — Ὅστις δὲ σοῦ, τῆς ψυχῆς ἐρᾷ; — Ἀνάγκη φαίνεται ἐκ τοῦ λόγου. — Οὐκοῦν ὁ μὲν τοῦ σώματός σου ἐρῶν, ἐπειδὴ λήγει ἀνθοῦν, ἀπιὼν οἴχεται; — Φαίνεται. — Ὁ δὲ τῆς ψυχῆς ἐρῶν οὐκ ἄπεισιν, ἕως ἂν ἐπὶ τὸ βέλτιον ἴῃ; — Εἰκός γε. — Οὐκοῦν ἐγώ εἰμι ὁ οὐκ ἀπιὼν ἀλλὰ παραμένων λήγοντος τοῦ σώματος τῶν ἄλλων ἀπεληλυθότων;

24 Ἐν ταὐτῷ (p. 132 B — p. 134 B).

Εὖ μοι δοκεῖς λέγειν, ὦ Σώκρατες, ἀλλὰ πειρῶ ἐξηγεῖσθαι ὅντιν' ἂν τρόπον ἐπιμεληθείημεν ἡμῶν αὐτῶν. — Οὐκοῦν τοσοῦτον μὲν ἡμῖν εἰς τὸ πρόσθεν πεπέρανται; ὃ γὰρ ἐσμέν, ἐπιεικῶς ὡμολόγηται· ἐφοβούμεθα δὲ μὴ τούτου σφαλέντες λάθωμεν ἑτέρου τινὸς ἐπιμελόμενοι, ἀλλ' οὐχ ἡμῶν. — Ἔστι ταῦτα. — Καὶ μετὰ τοῦτο δὴ ὅτι ψυχῆς ἐπιμελητέον καὶ εἰς τοῦτο βλεπτέον. — Δῆλον. — Σωμά-

---

ἑαυτοῦ M^d^ A Tr. p. 139, inde vulg., flor. 18, Platonis T | ἀλλ' om. flor. 18 | οὐχ ἑαυτὸν Stobaei libri hic et flor. 18, Platonis T, οὐκ αὐτὸν Platonis B

1 κινδυνεύει om. flor. 18 | γε om. flor. 18 || **3** οὐ τὰ αὐτοῦ ἄρα πράττει S οὐ τὰ αὐτοῦ ἄρα ἔτι πράττει M^d^ (?) οὐ τὰ αὐτὰ οὖν ἄρα πράττει A: οὐ τὰ αὑτοῦ ἄρα ἔτι πράττει Plat.; οὐ τὰ αὐτοῦ ἄρα ἔτι πράττει tacite Gesn.[1], inde vulg. || **4** δ' om. Plat. || **5** ἄρα ante ἠράσθη oscitanter ex Platonis ed. Ald. addidit Gesn.[1] p. 170, inde vulg. || **6** τῶν reposui ex M^d^ A (sic) Plat.: τοῦ S || **7** ἐρᾷ delet Hirschig || **8** τοῦ etiam A, fallitur Gaisford || **9** ὁ δέ γε τῆς Plat. || **10** ἴῃ reposui ex Plat.: εἴη S M^d^ A || **11** παραμένων] περιμένων Tr., inde vulg. || **13** ecl. hab. S M A, lemma om. rubr. addend. M, hab. S A || **14** v. Εὖ μοι — 574, 6 ὦ Σώκρατες om. M A || **15** ὅντινα S Plat.: ὅντιν' ἂν Bekker | ἐπιμεληθεῖμεν Plat. || **16** πεπέρανται dedi ex Plat.: πεπέραται S || **17** ἐφοβούμεθα S Platonis T φοβούμεθα Platonis B || **19** καὶ μετὰ τοῦτο δὴ ὅτι ψυχῆς S, καὶ μετὰ τοῦτο δὲ ὅτι ψυχῆς Platonis T, καὶ μετα τοῦτο ἤδη τῆς ψυχῆς Platonis B

των δὲ καὶ χρημάτων τὴν ἐπιμέλειαν ἑτέροις παραδοτέον. — Τί μήν; — Τίν᾽ οὖν ἂν τρόπον γνοίημεν αὐτὰ ἐναργέστατα; ἐπειδὴ τοῦτο γνόντες, ὡς ἔοικεν, ἡμᾶς αὐτοὺς γνωσόμεθα. ἆρα πρὸς θεῶν εὖ λέγοντος οὗ νῦν δὴ ἐμνήσθημεν τοῦ Δελφικοῦ γράμματος οὐ ξυνίεμεν; — Τὸ ποῖόν τι διανοούμενος λέγεις, ὦ Σώκρατες; — Ἐγώ σοι φράσω, ὅ γε ὑποπτεύω λέγειν καὶ συμβουλεύειν ἡμῖν τοῦτο τὸ γράμμα· κινδυνεύει γὰρ οὐδὲ πολλαχοῦ εἶναι παράδειγμα αὐτοῦ, ἀλλὰ κατὰ τὴν ὄψιν μόνον. — Πῶς τοῦτο λέγεις; — Σκόπει καὶ σύ. εἰ ἡμῶν τῷ ὄμματι ὥσπερ ἀνθρώπῳ συμβουλεύων εἶπεν ἰδὲ ἑαυτόν, πῶς ἂν ὑπελάβομεν τί παραινεῖν; ἆρ᾽ οὐχὶ εἰς τοῦτο βλέπειν, εἰς ὃ βλέπων ὁ ὀφθαλμὸς ἔμελλεν αὑτόν ἰδεῖν; — Δῆλον. — Ἐννοῶμεν δή, εἰς τί βλέποντες τῶν ὄντων ἐκεῖνό τε ὁρῷμεν ἅμα ἂν καὶ ἡμᾶς αὐτούς; — Δῆλον δή, ὦ Σώκρατες, ὅτι εἰς κάτοπτρά τε καὶ τὰ τοιαῦτα. — Ὀρθῶς λέγεις. οὐκοῦν καὶ τῷ ὀφθαλμῷ, ᾧ ὁρῶμεν, ἔνεστι τῶν τοιούτων; — Πάνυ γε. — Ἐννενόηκας οὖν ὅτι τοῦ ἐμβλέποντος εἰς τὸν ὀφθαλμὸν τὸ πρόσωπον ἐμφαίνεται ἐν τῇ τοῦ καταντικρὺ ὄψει ὥσπερ ἐν κατόπτρῳ; ὃ δὴ καὶ κόρην

---

2 *γνοίημεν* S Platonis B T: *γνοῖμεν* Plat. | *αὐτὰ* S Platonis B T: *αὐτὸ* Schleiermacher ‖ **3** *ἔοικεν* S Platonis B, *ἔοικεν καὶ* Platonis T ‖ **4** *λέγοντος οὗ* tacite ex Plat. Gesn.¹, inde vulg.: *λέγοντός σου* S | *νῦν δὴ* (*δὲ* Tr.) S, *νυνδὴ* Plat.; *δὴ νῦν* ex Platonis Ald. Gesn.¹, inde vulg. ‖ **5** *οὐ* tacite ex Plat. Gesn.¹, inde vulg.: *οὗ* S | *ξυνίεμεν* S Platonis B *ξύνισμεν* Platonis T ‖ **8** *παράδειγμα* tacite ex Platonis Ald. Gesn.¹, inde vulg.: *παραδείγματα* S M^d A; *παράδειγμ᾽* Platonis B, *παράδειγμα* Platonis T ‖ **11** *συμβουλεύων* S M^d A Platonis B, *ξυμβουλεύων* Platonis T: *ξυμβουλεῦον* Apelt | *εἶπεν* corr. A² Platonis T: *εἰπεῖν* S M^d A¹ Platonis B; *εἶπεν* tacite ex Platonis Ald. Gesn.¹, inde vulg. | *ἑαυτὸν* S M^d A: *σαυτὸν* Plat. | *ὑπελάβομεν*] *ὑπέλαβεν* A ‖ **13** *ὁ ὀφθαλμὸς* scripsi ex A Platonis B C: *ὀφθαλμὸς* S M^d Platonis D T ‖ **14** *βλέποντες*] *βλέποντα* A | *ἐκεῖνο* tacite ex Plat. Gesn.¹, inde vulg.: *ἐκεῖνα* S M^d A ‖ **16** *ὅτι* ex Plat. Gaisford: *οἷα* S (Tr. p. 140, ubi *οἷα*; fallitur Gaisford) M^d A ‖ **17** *ἔνεστι* S M^d A et sic fere Plat.: *ἔνεστί τι* F. A. Wolf ‖ **19** *τὸ πρόσωπον* om. S ‖ **20** *ὃ δὴ* — 575, 1 *καλοῦμεν* delevit Schleiermacher | *κόρην* S M^d A Platonis B, *κορυφὴν* Platonis T; *κορήν* dormitanter Gesn.¹, inde vulg.

καλοῦμεν, εἴδωλον ὂν τοῦ ἐμβλέποντος. — Ἀληθῆ λέγεις. — Ὀφθαλμὸς ἄρ᾽ ὀφθαλμὸν θεώμενος, καὶ ἐμβλέπων εἰς τουτὶ ὅπερ βέλτιστον αὐτοῦ καὶ ᾧ ὁρᾷ, οὕτως ἂν αὐτὸν ἴδοι. — Φαίνεται. — Εἰ δέ γ᾽ εἰς ἄλλο τῶν τοῦ ἀνθρώπου βλέποι ἤ τι τῶν ὄντων, πλὴν εἰς ἐκεῖνο ὃ τυγχάνει ὅμοιον, οὐχὶ ὄψεται αὐτόν; — Ἀληθῆ λέγεις. — Ὀφθαλμὸς ἄρα εἰ μέλλει ἰδεῖν αὑτόν, εἰς ὀφθαλμὸν αὐτῷ βλεπτέον, καὶ τοῦ ὄμματος εἰς ἐκεῖνον τὸν τόπον, ἐν ᾧ τυγχάνει ἡ τοῦ ὀφθαλμοῦ ἀρετὴ ἐγγιγνομένη; ἔστι δὲ τοῦτό που ὄψις. — Οὕτως. — Ἆρ᾽ οὖν, ὦ Ἀλκιβιάδη, καὶ ψυχὴ εἰ μέλλει γνώσεσθαι αὑτήν, εἰς ψυχὴν αὐτῇ βλεπτέον, καὶ μάλιστα εἰς τοῦτον αὐτῆς τὸν τόπον, ἐν ᾧ ἐγγίγνεται ἡ ψυχῆς ἀρετή, σοφία, καὶ εἰς ἄλλο ᾧ τοῦτο τυγχάνει ὅμοιον ὄν; — Ἔμοιγε δοκεῖ, ὦ Σώκρατες. — Ἔχομεν οὖν εἰπεῖν, ὅ τι ἐστὶ τῆς ψυχῆς θειότερον ἢ τοῦτο, περὶ ὃ τὸ εἰδέναι καὶ φρονεῖν ἐστιν; — Οὐκ ἔχομεν. — Τῷ θείῳ ἄρα τοῦτ᾽ ἔοικεν αὐτῆς, καί τις εἰς τοῦτο βλέ-

---

1 *ὂν* S Md A Platonis T: *ὄντι* (i. e. *ὄν τι*) Platonis B ‖ **3** *τουτὶ* S Md A, *τοῦθ᾽* vel *τοῦτο* Plat. | *οὕτως* (*οὕτω* Tr.) S Plat.: *οὗτος* Md A | *αὐτὸν* Md ‖ **4** *φαίνεται* S Plat., *φαίνεται καὶ ὑποκατιὼν* Md, *φαίνεται ὁ ὑποκατιὼν* (sic) A, A *ὁ αὐτὸς* (*sc. Plato*) *ὑποκατιὼν voluit?* Buecheler; desunt v. *εἰ δέ γ᾽* — 10 *ὄψις. Οὕτως* in Md A | *γ᾽* tacite ex Plat. Gesn.[1], inde vulg.: *τ᾽* S ‖ **5** *ὃ τυγχάνει* S: *ᾧ τοῦτο τυγχάνει* Plat.; *ὃ τούτῳ τυγχάνει* Gesn.[1], inde vulg. ‖ **6** *οὐχὶ* S, *οὐκ* Plat. | *αὐτόν* scripsi: *αυτ̃* S, *αὐτῷ* Tr.; *ἑαυτὸν* tacite ex Plat. Gesn.[1], inde vulg. ‖ **7** *αρα* (sic) S | *αὑτὸν* S Platonis B, *ἑαυτὸν* Platonis T ‖ **9** *ἡ τοῦ ὀφθαλμοῦ* S *ἡ ὀφθαλμοῦ* Platonis B, *ὀφθαλμοῦ* Platonis T ‖ **10** *ὄψις* S Platonis T: *ἡ ὄψις* Platonis B | *ὦ ἀλκιβιάδη* S Md A; *ὦ φίλε Ἀλκιβιάδη* tacite ex Plat. Gesn.[1], vulg. ‖ **11** *μέλλει* S Plat., *μέλοι* Md *μέλλοι* A; aberravit Gaisford | *αὑτὴν* Md *αὐτοῦ* (sic) A | *αὐτῇ* tacite ex Plat. Gesn.[1], inde vulg.: *αὐτῷ* S *αὐτῶ* Md A ‖ **13** *ἐγγίγνεται* scripsi ex Md A Plat.: *ἐγγίγνετ᾽* S -*εθ᾽* Tr. | *σοφία* delendum esse vidit Heusde | *ᾧ τοῦτο* S Plat.: *ὧ τούτω* Md *ὃ τούτω* A ‖ **14** ante *Ἔχομεν* tamquam novum lemma *Ἐν ταυτῷ* praem. A | v. *ἔχομεν* — 576, 2 *μάλιστα* Theodoret. therap. p. 207 Gaisf. Euseb. praep. evang. XI 27, 5; de Eusebio vide quae dixi p. 576, 4 adn. ‖ **15** *θειότερον* S Md A Platonis T, *νοερώτερον* Platonis B C D: *κυριώτερον* Cobet; an *οἰκειότερον*? ‖ **16** *καὶ* S Md A, *τε καὶ* Plat. | *φρονεῖν ἐστιν* (vel *ἐστὶν*) S Md A Platonis B, *φρονεῖν* Platonis T | post *ἔχομεν* lacunam signat Schanz ‖ **17** *θείῳ*] *θεῷ* Platonis B

πων καὶ πᾶν τὸ θεῖον γνούς, θεόν τε καὶ φρόνησιν, οὕτω καὶ ἑαυτὸν ⟨ἂν⟩ γνοίη μάλιστα. — Φαίνεται. — Τὸ δὲ γιγνώσκειν αὑτὸν ὡμολογοῦμεν σωφροσύνην εἶναι; — Πάνυ γε. — Ἆρ᾽ ὥσπερ κάτοπτρα σαφέστερά ἐστι τοῦ ἐν τῷ ὀφθαλμῷ ἐνόπτρου καὶ καθαρώτερά τε καὶ λαμπρότερα, οὕτω καὶ ὁ θεὸς τοῦ ἐν τῇ ἡμετέρᾳ ψυχῇ βελτίστου καθαρώτερόν τε καὶ λαμπρότερον τυγχάνει ὄν. — Ἔοικέ γε, ὦ Σώκρατες. — Εἰς τὸν θεὸν ἄρα βλέποντες, ἐκείνῳ καλλίστῳ ἐνόπτρῳ χρῴμεθ᾽ ἂν καὶ τῶν ἀνθρωπίνων εἰς τὴν ψυχῆς ἀρετήν, καὶ οὕτως ἂν μάλιστα ὁρῷμεν καὶ γιγνώσκοιμεν ἡμᾶς αὐτούς; — Ναί. — Τὸ δὲ γιγνώσκειν αὑτὸν ὡμολογοῦμεν σωφροσύνην εἶναι; — Πάνυ γε. — Ἆρ᾽ οὖν μὴ γιγνώσκοντες ἡμᾶς αὐτοὺς μηδὲ σώφρονες ὄντες δυνάμεθα εἰδέναι τὰ ἡμέτερα αὐτῶν κακά τε καὶ ἀγαθά; — Καὶ πῶς ἂν τοῦτο γένοιτο, ὦ Σώκρατες; — Ἀδύνατον ἴσως σοι φαίνεται μὴ γιγνώσκοντα Ἀλκιβιάδην τὰ Ἀλκι-

1 *θεῖον, γνοὺς θεόν τε καὶ φρόνησιν, οὕτω* distinxit Madvig adv. I p. 402 | *θεόν τε καὶ φρόνησιν* om. Olympiodorus, Stallbaum: *σοφίαν τε καὶ φρόνησιν* Heusde, *νοῦν τε καὶ φρόνησιν* olim Ast ‖ **2** *ἂν* tacite ex Plat. addidit Gesn.¹, inde vulg. | *γνόῃ* S | v. *Τὸ δὲ* — 3 *πάνυ γε* desunt ap. Eusebium, vide 4 ‖ **3** *αὐτὸν* M^{d} | *ὡμολογοῦμεν* scripsi ex S Platonis T: *ὁμολογοῦμεν* M^{d} A Platonis B T²; *ὁμολογοῦμεν* tacite ex Platonis Ald. Gesn.¹, inde vulg. ‖ **4** v. *Ἆρ᾽ ὥσπερ* — 11 *αὐτούς. Ναί* om. Plat.; apud Eusebium eadem post *φαίνεται* (2) leguntur sic: *Ἆρ᾽ οὖν, ὅθ᾽ ὥσπερ κάτοπτρά ἐστι σαφέστερα τοῦ ἐν τῷ ὀφθαλμῷ ἐνόπτρου καὶ καθαρώτερα καὶ λαμπρότερα, οὕτω καὶ ὁ θεὸς τοῦ ἐν τῇ ἡμετέρᾳ ψυχῇ βελτίστου καθαρώτερόν τε καὶ λαμπρότερον τυγχάνει ὄν. — Ἔοικέ γε, ὦ Σώκρατες. — Εἰς τὸν θεὸν ἄρα βλέποντες ἐκείνῳ καλλίστῳ ἐνόπτρῳ χρῴμεθ᾽ ἂν καὶ τῶν ἀνθρωπίνων εἰς τὴν ψυχῆς ἀρετήν, καὶ οὕτως ἂν μάλιστα ὁρῷμεν καὶ γιγνώσκοιμεν ἡμᾶς αὐτούς; — Ναί.* — Stobaeus quae exhibet post *οὐκ ἔχομεν* (p. 575, 16) Platoni inseri vult sed verbis *τῷ θείῳ* (p. 575, 17) — *Φαίνεται* (2) deletis Wex ‖ **6** *ὁ* om. A | *καθαρότερον* M^{d} ‖ **7** *ἔοικέν γε* S M^{d} ‖ **10** *ψυχὴν* S M^{d} *ψυχικὴν* A: *ψυχῆς* (sicut tacite corr. Gesn.¹, inde vulg.) Euseb. | *γιγνώσκομεν* M^{d} ‖ **11** *αὐτόν* S M^{d} ‖ **12** *ὡμολογοῦμεν* scripsi, vide ad 3: *ὁμολογοῦμεν* S M^{d} A ‖ **13** *σώφρονες ὄντες* S M^{d}, Plat., *σωφρονοῦντες* A | *δυνάμεθα* S M^{d} A, *δυναίμεθ᾽ ἂν* Platonis B, *δυναίμεθα* Platonis T ‖ **16** *ἴσως σοι* S M^{d} A Platonis B, *γὰρ ἴσως* Platonis T; *γὰρ ἴσως σοι* temere Gesn.¹, inde vulg. | *γιγνώσκοντα* S Plat., *γιγνώ-*

βιάδου γιγνώσκειν ὅτι Ἀλκιβιάδου ἐστίν. — Ἀδύνατον μέντοι νὴ Δία. — Οὐδ᾽ ἄρα τὰ ἡμέτερα, ὅτι ἡμέτερα, εἰ μὴ δι᾽ ἡμᾶς αὐτούς; — Πῶς γάρ; — Εἰ ἄρα μηδὲ τὰ ἡμέτερα, οὐδὲ τὰ τῶν ἡμετέρων; — Οὐ φαίνεται. — Οὐκ ἄρα πάνυ τι ὀρθῶς ὡμολογοῦμεν ὁμολογοῦντες ἄρτι εἶναι τινάς, οἳ ἑαυτοὺς μὲν οὐ γιγνώσκουσι, τὰ δὲ αὑτῶν· ἄλλους δὲ τὰ τῶν ἑαυτῶν· ἔοικε γὰρ πάντα ταῦτ᾽ εἶναι κατιδεῖν ἑνός τε καὶ μιᾶς τέχνης, ἑαυτόν, τὰ αὑτοῦ, τὰ τῶν ἑαυτοῦ. — Κινδυνεύει. — Ὅστις δὲ τὰ αὑτοῦ ἀγνοεῖ. καὶ τὰ τῶν ἄλλων που ⟨ἂν⟩ ἀγνοοῖ κατὰ ταὐτά. — Τί μήν; — Οὐκοῦν εἰ τὰ τῶν ἄλλων, καὶ τὰ τῶν πόλεων ἀγνοήσει; — Ἀνάγκη. — Οὐκ ἄρα ἂν γένοιτο ὁ τοιοῦτος ἀνὴρ πολιτικός. — Οὐ δῆτα. — Οὐ μὴν οὐδὲ οἰκονομικός γε. — Οὐ δῆτα. — Οὐδέ γ᾽ εἴσεται ὅ τι πράττει. — Ου γὰρ οὖν. — Ὁ δὲ μὴ εἰδώς, τί πράττει, οὐχ ἁμαρτήσεται; — Πάνυ γε. — Ἐξαμαρτάνων δὲ οὐ κακῶς πράξει ἰδίᾳ τε καὶ δημοσίᾳ; — Πῶς δ᾽ οὔ; — Κακῶς δὲ πράττων οὐκ ἄθλιος; — Σφόδρα γε. — Τί δ᾽ οἷς οὗτος πράττει; — Καὶ οὗτοι. — Οὐκ ἄρα οἷόν τε, ἐὰν μή τις σώφρων καὶ ἀγαθὸς ᾖ, εὐδαίμονα εἶναι. — Οὐχ οἷόν τε. — Οἱ ἄρα κακοὶ τῶν ἀνθρώπων ἄθλιοι. — Σφόδρα γε. — Οὐκ ἄρα οὐδὲ ὁ πλουτήσας ἀθλιότητος ἀπαλλάττεταί γε, ἀλλ᾽ ὁ σωφρονήσας. — Φαίνεται.

σκοντες M[d] Tr. p. 141, γινώσκοντες A; γιγνώσκοντα tacite ex Plat. Gesn.[1], inde vulg.

1 γινώσκειν S ‖ **2** τα ἡμέτερα οτι ἡμέτερα S M[d] A Platonis T, τα ημέτερα Platonis B ‖ **3** verbis πῶς γὰρ tamquam novae eclogae initio lemma πλάτωνοσ ἐκ τοῦ χαρμίδου praemisit M, vide ad ecl. prox. | εἰ ἄρα S M[d] ἄρα A: εἰ δ᾽ ἄρα tacite ex Plat. addidit Gesn.[1], inde vulg. | μηδὲ (vel μὴ δὲ) τὰ S M[d] A: τὰ Plat.; μὴ τὰ Hermann ‖ **4** οὐδὲ S M[d] Plat., μηδὲ A ‖ **5** ὡμολογοῦμεν S Platonis T: ὁμολογοῦμεν M[d] A Platonis B ‖ **6** δὲ αὑτῶν scripsi: δὲ αὐτῶν S A δ᾽ ἑαυτῶν M[d], δ᾽ αὐτῶν Platonis B, δὲ ἑαυτῶν Platonis T ‖ **7** ἄλλους δὲ S M[d] A, ἀλλ᾽ οὐ Platonis B T | ἔοικε] ἔοιγε S ‖ **10** ἂν ἀγνοοῖ scripsi sic ut Platonis T: ἀγνοοῖ M Platonis B ἀγνοεῖ S A | ταῦτα S M[d] A Platonis B: ταὐτὰ Platonis T | τί μήν usque ad fin. om. M[d] A ‖ **14** οὐδέ γ᾽ S οὐδέ γε Platonis T: οὐδὲ Platonis B | τί πράττει om. Plat. ‖ **22** ἀθλιότητος S Platonis T, ματαιότητος Platonis B | γε om. Plat.

25 *Πλάτωνος ἐκ τοῦ Χαρμίδου* (p. 164 D — 165 A).

Καὶ οὐκ ἂν αἰσχυνθείην μὴ οὐχὶ ὀρθῶς φάναι ποτὲ ἢ τοῦτο συγχωρήσαιμ' ἂν ἀγνοοῦντα ἄνθρωπον αὐτὸν ἑαυτὸν σωφρονεῖν. σχεδὸν γάρ τι ἔγωγε αὐτὸ τοῦτό φημι εἶναι σωφροσύνην, τὸ γιγνώσκειν ἑαυτόν, καὶ συμφέρομαι τῷ ἐν Δελφοῖς ἀναθέντι τὸ τοιοῦτον γράμμα. καὶ γὰρ τοῦτο οὕτω μοι δοκεῖ τὸ γράμμα ἀνακεῖσθαι, ὡς δὴ πρόσρησις οὖσα τοῦ θεοῦ τῶν εἰσιόντων ἀντὶ τοῦ χαῖρε· ὡς τούτου μὲν οὐκ ὀρθοῦ ὄντος τοῦ προσρήματος, τοῦ χαίρειν, οὐδὲ δεῖν τοῦτο παρακελεύεσθαι ἀλλήλοις ἀλλὰ σωφρονεῖν. οὕτω μὲν δὴ ὁ θεὸς προσαγορεύει τοὺς εἰσιόντας εἰς τὸ ἱερὸν διαφέρον τι ἢ οἱ ἄνθρωποι, ὡς διανοούμενος ἀνέθηκεν ⟨ὁ⟩ ἀναθείς, ὡς ἐμοὶ δοκεῖ· καὶ λέγει πρὸς τὸν ἀεὶ εἰσιόντα οὐκ ἄλλο τι ἢ 'σωφρόνει', φησίν. αἰνιγματωδέστερον δὲ δή, ὡς μάντις, λέγει· τὸ γὰρ 'γνῶθι σαυτόν' καὶ τὸ 'σωφρόνει' ἔστι μὲν ταὐτόν, ὡς τὰ γράμματά φησι καὶ ἐγώ, τάχα δ' ἄν τις οἰηθείη ἄλλο εἶναι, ὃ δή μοι δοκοῦσι παθεῖν καὶ οἱ τὰ ὕστερον γράμματα ἀναθέντες,

---

1 ecl. cum lemm. hab. S M A, cum prioribus cohaer. in M lemmate male retracto ad p. 577, 3, ubi vide ‖ **2** *μὴ* S M^{d} A: *ὅτι μὴ* Plat., unde *τι μὴ* Madvig adv. I p. 404, *τότε μὴ* Schanz, alii alia; *ὅτι μὴ* tacite ex Plat. Gesn.[1] p. 172, inde vulg. | *φάναι* (*φᾶναι* M^{d}) *ποτὲ* (*πὸ* sscr. τ A) *ἢ τοῦτο* S M^{d} A: *φάναι εἰρηκέναι μᾶλλον ἢ ποτὲ* tacite ex Plat. Gesn.[1], inde vulg. ‖ **3** *ἄνθρωπον αὐτὸν* (*αὗτὸν* S) *ἑαυτὸν* S M^{d} A, *αὐτὸν ἑαυτὸν ἄνθρωπον* Plat. ‖ **4** *τι*] *τοι* A ‖ **5** *ξυμφέρομαι* Plat. ‖ **6** *τὸ ἐν* M^{d} ‖ **7** *πρόσρησις* S Plat. *πρόρρησις* (sscr. σ) M^{d} *πρόρρησις* A ‖ **9** *τοῦ χαίρειν* S M^{d} A Platonis B ex em.: *τὸ χαίρειν* Platonis B T, idem tacite ex Platonis Ald. Gesn.[1], inde vulg.; *τοῦ χαίρειν* delevit Cobet ‖ **10** *ἀλλήλοις* S M^{d} A Platonis B, *ἀλλήλους* Platonis T; *ἀλλήλους* tacite ex Platonis Ald. Gesn.[1], inde vulg. ‖ **11** *οὕτω μὲν δὴ* tacite ex Plat. Gesn.[1], inde vulg.: *τούτω* (-*ων* Tr.) *οὖν δὴ* S M^{d} *τούτῳ* (corr. ex *τοῦτο* A[1]) *δὴ οὖν* A | *ὁ* etiam A; neglegenter rem egit Gaisford ‖ **12** *διαφέροντι* sed *ι* longiore ut videtur vel compendio quod non -*αι* videtur esse S, *διαφέρονται* Tr. ‖ **13** *ὁ* tacite ex Plat. addidit Gesn.[1], inde vulg. | *ὥς μοι* Plat. ‖ **14** *σωφρόνει* tacite ex Plat. Gesn.[1], inde vulg.: *σωφρονεῖν* S M^{d} A ‖ **15** *λέγε* M^{d} ‖ **18** *ὕστερον* reposui ex S M^{d} Plat.: *ὕστερα* A Tr., inde vulg.

τό τε ʽμηδὲν ἄγαν᾽ καὶ τὸ ʽἐγγύα, πάρα δ᾽ ἄτα᾽. καὶ γὰρ οὗτοι συμβουλὴν ᾠήθησαν εἶναι τὸ ʽγνῶθι σαυτόν᾽, ἀλλ᾽ οὐ τῶν εἰσιόντων ἕνεκεν ὑπὸ τοῦ θεοῦ πρόσρησιν· ἵνα δὴ καὶ αὐτοὶ μηδὲν ἧττον χρησίμους συμβουλὰς ἀναθεῖεν, ταῦτα γράψαντες ἀνέθεσαν.

26 Πορφυρίου ἐκ τοῦ α΄ ⟨Περὶ τοῦ γνῶθι σαυτόν⟩.

Τί ποτε ἦν ἄρα καὶ τίνος τὸ ἱερὸν πρόσταγμα τὸ ἐν Πυθοῖ, ὃ γνῶναι ἑαυτὸν τοῖς τοῦ θεοῦ δεησομένοις προσαγορεύει; μήτε γὰρ τιμῆσαι θεὸν τὰ προσήκοντα μηδ᾽ αὖ τυχεῖν τοῦ θεοῦ δεηθέντα τὸν ἀγνοίᾳ τῇ ἑαυτοῦ ἐνισχόμενον παραγγέλλειν ἔοικεν. ἀλλ᾽ εἴτε Φημονόη ἐπὶ πάντα λυσιτελοῦν τὰ ἀνθρώπινα τοῦτο ἐθέσπισεν, δι᾽ ἧς πρώτης ὁ Πύθιος λέγεται τὰς εἰς ἀνθρώπους διαδοῦναι χάριτας, εἴτε Φανοθέα ἡ Δελφοῦ, εἴτε καὶ Βίαντος ἢ Θαλοῦ ἢ Χείλωνος ἦν ἀνάθημα, ὁρμηθὲν ἀπό τινος θείας ἐπιπνοίας· εἴτε Κλεάρχῳ προσεκτέον μᾶλλον τοῦ μὲν Πυθίου φράζοντι εἶναι παράγγελμα, χρησθῆναι δὲ Χείλωνι, τί ἄριστον ἀνθρώποις μαθεῖν πυνθανομένῳ· εἴτε καὶ πρὸ Χείλωνος ἦν ἔτι ἀνάγραπτον ἐν τῷ ἱδρυθέντι νεῷ μετὰ τὸν πτέρινόν τε καὶ χαλκοῦν, καθάπερ Ἀριστοτέλης ἐν τοῖς περὶ φιλοσοφίας εἴρηκεν· τὸ μὲν ὅτου ἂν εἴη, Ἰαμ-

---

1 ἐγγύα M[d] A: ἐγγύη S Plat. | δ᾽ ἄτα S M[d] δαῖτα A, δ᾽ ἄτη Plat. ‖ **2** ξυμ- Plat. B | εἶναι radendo corr. (ex γνῶθι videtur Meklero) S ‖ **3** ἕνεκεν recte addubitavit Heindorf | εἶθ᾽ ἵνα δὴ tacite ex Plat. Gesn.[1] p. 172, inde vulg. ‖ **4** αὐτοὶ S M[d] A: αὐτὸσ φῄς, sed σ partim erasum, Platonis B σφεῖς Platonis T | χρησίμους συμβουλὰς (συμβολὰς A) S M[d] A Platonis T: συμβουλὰς χρησίμους Platonis B ‖ **6** ecl. cum lemm. hab. S, om. M A; Περὶ τοῦ γνῶθι σαυτόν supplendum esse vidit Meineke v. IV p. LX. alia eiusdem libri particula si in archetypo praecessisset, S suo more hic dedisset ἐν ταὐτῷ ut ad ecl. 27 ‖ **9** μηδ᾽ (vel μὴ δ᾽) αὖ S quod nescio an servandum sit: μήτ᾽ αὖ Meineke ‖ **11** εἴτε S Tr. p. 142, ει ex η corr. S[1] ‖ **12** λυσιτελοῦν τὰ (sic fere) ἀνθρ. S λυσιτελοῦντα ἀνθρ. Tr. ‖ **14** εἴτε καὶ] ει ex η ut supra S ‖ **15** χείλωνος hic et infra S: χίλωνος Tr. | ἀπόφθεγμα Nauck *mél. gr.-rom.* V p. 165 adn. 33, confer p. 559, 1 ‖ **18** τί Nauck: τὸ libri ‖ **19** ἱδρυθέντι Tr., inde vulg.: ἱδρυνθέντι S fortasse recte ‖ **20** πτέρινον Casaubonus: πέτρινον S | Aristot. fr. 3 Rose[3] cf. Clemens Alex. strom. I 14, 60 p. 351 P.

βλιχε, ἀμφισβητήσιμον ἔστω· πάντως δ᾽ ὅτι ὑπὸ θεοῦ ἢ οὐκ ἄνευ θεοῦ ἐρρήθη, ἐξ αὐτοῦ φαίνοιτ᾽ ἂν τοῦ ἐν τοῖς Πυθίοις αὐτὸ κεῖσθαι ἀμφήριστον. τί ποτε δ᾽ ἐστὶν ὃ φράζει καὶ πρό γε τῶν περιρραντηρίων προτελεῖσθαι τῷ θεῷ ἐπιτάττει, ἀναγκαῖον ἂν εἴη γνῶναι.

27 *Πορφυρίου ἐκ τοῦ α′ Περὶ τοῦ Γνῶθι σαυτόν.*

·Ἀλλὰ μήποτε ‘σωφρόνει’ ἔνεστιν ἀκοῦσαι λέγοντος ἀντὶ τοῦ ‘σῷζε τὴν φρόνησιν’· καὶ γὰρ σωφροσύνη σαοφροσύνη τις ἦν· οὕτω δὲ πρὸς τὸ φρονοῦν καὶ τοῦ φρονεῖν αἴτιον διαλέγοιτ᾽ ἄν, σῴζειν ἑαυτὸ παρακελευόμενος· τοῦτο δ᾽ ἂν εἴη ὁ νοῦς. ἀλλ᾽ εἰ τοῦτο, δεῖ πάλιν γνῶναι τὴν οὐσίαν ἡμῶν ἥ τις ἐστίν. ἄλλοι γε μὴν μικρὸν διάκοσμον καλῶς εἰρῆσθαι φάμενοι τὸν ἄνθρωπον, παρακελεύεσθαι μέν φασι τὸ γράμμα γνῶναι τὸν ἄνθρωπον· ὄντος δὲ μικροῦ διακόσμου τοῦ ἀνθρώπου, οὐδὲν ἄλλο κελεύειν ἢ φιλοσοφεῖν· εἴπερ οὖν ἀπταίστως φιλοσοφεῖν σπουδάζομεν, προθυμώμεθα γνῶναι ἑαυτούς, καὶ ἔσται ἡμῖν τεῦξις ὀρθῆς φιλοσοφίας ἐκ τῆς ἡμετέρας κατανοήσεως ἀναβαίνουσιν ἐπὶ τὴν τοῦ παντὸς θεωρίαν. ἀλλ᾽ ὅτι μὲν ἀπὸ τῶν ἐν ἡμῖν συλλογιζόμεθα καὶ περὶ τῶν ἐν τῷ ὅλῳ καὶ ἡμᾶς ἐτάζοντες καὶ εὑρίσκοντες ῥᾷον μεταβαίνομεν ἐπὶ τὴν τοῦ παντὸς θεωρίαν, λέγεται ὀρθῶς· μήποτε δὲ τὴν ἑαυτοῦ θεωρίαν οὐ φιλοσοφίας ἕνεκα θεὸς ποιεῖσθαι παρακελεύεται, ἄλλου δέ τινος μείζονος ἕνεκα, δι᾽ ὃ καὶ φιλο-

---

1 *δ᾽* S: *δὲ* Tr. ‖ **3** *ἀμφήριστον* S quod potest defendi; *ἀναμφήριστον* Gesn.[1] p. 172 mrg ‖ **4** *περιρραντηρίων* tacite Gesn.[1], vulg.: *περὶ ῥαντηρίων* S ‖ **6** ecl. cum lemm. hab. S (post ecl. 21, 26) MA (post ecl. 21, 25) Br (post ecl. 21, 19); *ἐν ταυτῶ* pro lemmate S *ἐκ τοῦ* (sic Md Br) corr. ex *ἐν τῷ* A *σαυτόν* MdA Br *σεαυτόν* tacite Gaisford et Meineke ‖ **8** in articulo *τὴν* desinit A f. 47v a voce *φρόνησιν* inc. A f. 51r ‖ **9** *ἦν* om. Tr. | *οὕτως* Md Br | *το φρονοῦν* S Md Br: *τὸ φρονεῖν* A | *τοῦ φρ..* A ‖ **10** *ἑαυτο* (sine acc. S) S A *ἑαυτῶ* in *ἑαυτὸ* corr. M[1]: *ἑαυτὸν* Br Tr., inde vulg. ‖ **11** *παλιν* sine acc. S ‖ **14** *τὸ γράμμα* supra lin. S[1] | *ὄντος*] prius *ο* refinxit Br ‖ **18** *ἀναβαίνουσα* libri: corr. Buecheler coll. 21 ‖ **19** *τοῦ* om. Br | *ἀλλ᾽ ὅτι μὲν* (*μὲ* S) S Md Br Tr.: *ἀλλό γε μὲν* A ubi *ἀλλό γε μὲν* — 23 *θεωρίαν οὐ φι-* leguntur in margine, sed in contextu iam *οὐ φι-* ‖ **21** *ἐξετάζοντες* Br | *μεταβαίνομεν*, *ο* ex *ω* S[1] ‖ **23** *ἑαυτῶν* Md A ‖ **24** *ἄλλου δέ τινος* ex

Ἰώνων πόλιος ἐπιξένωσιν θέσθαι Κυδίῃ, χρυσοῦ δ' ἠλισμένην οὐκ ὀλίγην ἐμπολὴν ἔχοντα, ταύτην δὲ παραθέσθαι Κυδίῃ οὕτως ἔχοντα, 'ὡς οὐδὲν ἂν βίαιον ἐξ ἀνδρὸς πάθοι', δοκέοντός γε δὴ ὡς τὰ πρὸς ἑωυτὸν ἀρτίως ἐν φιλίῃ συγκεκρῆσθαι. ἔνθα Κυδίῃ κακὴν βουλὴν ἐς φρένας ἐμβάλλει φιλοκερδίη. ἀπαιτεύμενος γὰρ τὸν δοθέντα χρυσὸν ἐν παραθέσει, σκληρὴν ἄρνησιν ἐποιήσατο, τῶν δ' ἐς ἀμφιβολίην πιπτόντων τέλος ἔδοξεν ὅρκῳ κυρῶσαι. Κυδίης μὲν ὦν ἐς τρίτην ἡμέρην ἀναβαλλόμενος κυρώσειν πίστιν τοῖς θεοῖς ἐπιτρεφθεῖσαν, ἀπελθὼν ἐς οἶκον μηχανὴν τοιήνδε ἔθετο. νάρθηκα γὰρ κοιλήνας παντὸς χρυσοῦ φόρτον ἐς αὐτὸν ἤρεισε· πρὸς δὲ χερὸς ἀντίληψιν εἴλημα μίτρης ἐδέσμευσε πάντοθεν, ὡς ἂν κρύπτοιτο τὴν κατεσκευασμένην πρόφασιν· ἐπεὶ δ' ἡ τεταγμένη παρῆν

---

1 *πόλεως* libri: corr. Meineke | *ἐπιξένωσιν* L S M^d A (sic); *ἐπὶ ξένῳ* Tr., inde vulg. | *χρυσοῦ — Κυδίῃ* (3) om. L | an *χρυσοῦ συνηλισμένην* vel *συναλ* ? || **2** acc. super *ἐμπολὴν* add. M rubr. rec. | *δὲ* S M^d A: *δὴ* Meineke || **3** post *οὕτως* excidisse fortasse *νόου* vel *διανοίης* vel simile monet Meineke, potius ante *οὕτως* velut *διανοίης* ut vitatus sit hiatus Wachsmuth | *ἔχον*^{τ} L | *ὡς κτἑ.* an tragici senarius? || **4** *ὡς τὰ* L S M^d A: *λώιστα* Meineke non recte | *ἑωυτὸν* S A *ἑαυτὸν* L M^d | *φιλείῃ* in *φιλίῃ* inter scribendum corr. M^1 || **5** *συγκεκρῆσθαι*] *συγκεκρἶσθαι* L | *ἐμβάλλει* L M^d A *ἐμβάλῃ* S || **6** *ἀπαιτεύμενος* S M^d A *-ούμενος* L || **7** *ἂν ὄνησιν* A^1 *γρ. ἄρνησιν* mrg A^2 *ἀπάρνησιν* ci. Meineke || **8** *ἐς* libri; *εἰς* Gesn.^{2} p. 197, vulg. | *ἀμφιλογίην* ci. Meineke v. IV p. LXII; an *ἀμφισβασίην*? cf. Cono p. 21, 4 H. | *ὅρκω* libri sed *ἔργω* M^d || **9** *μὲν οὖν* L S M^d *μέν*^{ων} (sic videtur prius fuisse, tum correctum esse, certe *ων* transfixum) *οὖν* A, inde *μὲν ὦν* Meineke | *ἡμέραν* A | *ἀναβαλλόμενος* scripsi coll. Herodot. V 49: *βαλλόμενος* L M^d *βουλόμενος* S *βαλόμενος*^{ου} A, corr. A^2 || **10** *τοῖς*] *τὴν* M^d | *ἐπιτρεφθεῖσαν* S M^d A^2 *ἐπιτερφθεῖσαν* A^1 *ἐπιστρεφθεῖσαν* L, *ἐπιτραφθεῖσαν* mavult Meineke v. IV p. LXII | *ἐς* L S M^d A; *εἰς* oscitanter Gesn.^{2} l. s., inde vulg. || **11** *κοιλήνας* L M^d; *κοιλήνασα* (sed *κοιλήνας* Tr.) S *κοιλήνα*^{σα} A, corr. A^2, unde *ἅπαντος* pro *παντὸς* ci. Mekler || **12** *ἐς* tacite Meineke: *εἰς* libri || **13** *εἴλημα* M^d A | *ἐδέσμευσε* L S A *ἐδέσμευε* nisi error subest M^d | *κρύπτοιτο* L S M^d A; *κρύπτοι* Tr., inde vulg. || **14** *ἐπεὶ δ' ἡ* (sic) S A *ἐπειδὴ* L M^d; *ἐπειδὴ ἡ* Tr., *ἐπειδὴ δὲ ἡ* Gesn.^{2} p. 197, inde vulg. vulgata deceptus est Haupt | *παρέην* mavult Meineke

ἡμέρῃ, ‛νωθρὴν πορείης ἔκλυσιν ποιεύμενος᾽, διήρειδε τὸν νάρθηκα † νοσευτίην ἐπιφέρων σώματι· καταστὰς δὲ ἐναντίον τοῦ νεώ, ὅνπερ ἔμελλε συνίστορα ποιέεσθαι, δίδωσι Κυδίης Ἀρχετίμῳ νάρθηκα, τὸν ἐντὸς ἀδικίην πᾶσαν κεύθοντα, μέχρι περ τελευτήσῃ τὸν τεταγμένον ὅρκον· ἀνατείνας δὲ τῶν ἑῶν χερῶν φορὴν εἶπεν, ὡς λάβοι μὲν παρ᾽ Ἀρχετίμου παραθήκην, ἀποδοίη δὲ ταύτην· ὅπερ ἦν ἐκ τέχνης πεπλασμένον ψεῦδος. βαρυνθεὶς δ᾽ ἐπὶ τοῖς λελεγμένοις Ἀρχέτιμος, ῥήσσει πρὸς ἔδαφος νάρθηκα πληγῇ βαρείῃ· τοῦ δὲ ἀραχθέντος ἐκτὸς ἐρρύη παραθήκης ὄγκος. Ἀρχέτιμος μὲν ὦν ἐκ θεῶν προνοίης τοιῆσδε ἔτυχε, Κυδίῃ δὲ λέγεται κακὴν βίου καταστροφὴν γενέσθαι. ἐς ἃ δεῖ βλέποντας μὴ καταφρόνησιν ποιέεσθαι πρὸς πίστιν ὅρκων ἰόντας ἀνθρώ-

---

1 *νωθρείην* A sed *ει* delevit ut videtur | *δὲ παρείης* pro *πορείης* L | *ἤλυσιν* Meineke | *διήρειδε* (*διήρει δὲ* SA) *τὸν νάρθηκα νοσευτίην ἐπιφέρων σώματι* S L M^d A: *διήρειδε τὸν νάρθηκα αἰτίην ἐπιφέρων σώματι* ci. Valckenaer, *διηρείδετο νάρθηκι νοσηλείην ἐπιφέρων σώματι* Iacobs lect. Stob. p. 69, *διηρείδετο τῷ νάρθηκι νοσεύματι τὴν αἰτίην ἐπιφέρων* (deleto *σώματι*) Meineke v. IV p. LXII. an *διηρείδετο τῷ νάρθηκι νοσηλείης αἰτίην ἐπιφ. σώματι*? cf. Cono p. 21, 8 H. Eur. Hec. 65 s. || **2** *δὲ ἐν.* SA *δ᾽ ἐν.* L M^d || **3** malim *νηοῦ*, nisi altius latet vitium, *θεοῦ* Meineke *λεώ* Buecheler | *τόνπερ* mavult Meineke | *ἔμελλεν* M^d | *ποιεῖσθαι* libri: corr. Meineke || **5** *περ* om. L | *τελευτήσῃ* dubitanter ci. Meineke: *-σει* libri || **6** *δ᾽ ἐν τῶ νεὼ* L *δὲ των εων* S *δὲ τῶν ἐῶν* (*ἑῶν* A) M^d A Tr. | *χερῶν*, sed *ε* in ras. M^2 | *φορεῖν* A^1 corr. A^2 | *λάβοι μὲν*] *λάβοιμεν* L || **7** *παραρχετίμου* L M^d | *παραθήκην*] hunc ipsum locum respici a Phrynicho 312 Lob. *παραθήκην Ἱππίαν καὶ Ἴωνα τινὰ συγγραφέα φασὶν εἰρηκέναι* putat Bergk p. l.^{4} III p. 741 adn., rectius Herodotum alii, velut Rutherford p. 366 sq. || **8** *τόπερ* mavult Meineke verbis *ὅπερ — ψεῦδος* sine causa, ut ipse monet, seclusis || **9** *δ᾽* post *βαρ.* L *δὲ* ut voluit Meineke A, om. S M^d | *τῶν λελεγμένων* Tr. p. 158 | *ῥήσσει* libri nisi quod *ῥύσσει* L: *ἀράσσει* Cobet mnemos. IX p. 119 || **10** *ἀραχθέντος* (*ἀρρ-* L) libri; *ῥαγέντος* an *ῥαχθέντος* scribendum sit dubitat Meineke *ῥηχθέντος* Cobet l. c. || **11** *ἐρρύη* Meineke: *ἔρριε* L *ἔρευ* S A *ἔριε* M^1 *ἔρευ* M rubr. rec. | *ὦν* Meineke: *ὢν* L *οὖν* S M^d A | *θῦ* h. e. *θεοῦ* L *θεῶν* S M^d A || **12** *ἔτυχεν* S M^d || **13** *ἐς* scripsi: *εἰς* libri | *δεῖ* M^d A *δὴ* L S || **14** *ποίεσθαι* L *ποιέεσθαι* S M^d A | *ἰόντας* Buecheler: *ἐόντας* L M^d *νέοντας* S *νεόντας* A cf. Cono p. 21, 7 H.

πους, οἷς ἐπισφαλὴς ὀπηδέει τύχη παντοίῃ φορῇ πνεύματος αἰωρευμένη.

CAPVT XXIX.

ΠΕΡΙ ΦΙΛΟΠΟΝΙΑΣ [ΚΑΙ ΜΕΛΕΤΗΣ ΚΑΙ ΟΤΙ ΑΣΥΜΦΟΡΟΝ ΤΟ ΟΚΝΕΙΝ].

1 *Σοφοκλέους Θυέστῃ* (fr. 236 N.[2]).

Ὡς νῦν τάχος στείχωμεν· οὐ γὰρ ἔσθ' ὅπως
σπουδῆς δικαίας μῶμος ἅψεταί ποτε.

2 *Ἡσιόδου Ἔργων* (21—24).

Εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων
πλούσιον ὃς σπεύδει μὲν ἀρώμεναι ἠδὲ φυτεύειν
οἶκόν τ' εὖ θέσθαι· ζηλοῖ δέ τε γείτονα γείτων
εἰς ἄφενον σπεύδων. ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσιν.

---

1 *ὅπη δὴ* L S (ubi *ὁ* sup. lin. inser. S[1]) M[d] *ὅπη δ' ἡ* A: *ὀπηδεῖ* (debuit *ὀπηδέει*) Gaisford; *ὅπη δὴ ἀπαντοίη ἡ τύχη* ci. Iacobs lect. Stob. p. 70, quo adiutus fortasse *ὁποίη δὴ ἀπαντοίη* praeferendum esse coniecit Meineke | *τύχη παντοίῃ* scripsi: *τύχη παντοίη* L M[d] A *παντοίη τύχη* S | *φορῇ* L *φορὴ* S M[d] A ‖ **2** *αἰωρουμένη* libri: corr. Meineke; *ἀνωρουμένη* olim falso adnotabant ex L: 'saepissime in hoc codice littera *ι* ita scripta est ut proclivi errore legas *ν*; hoc tamen loco spiritus indicat librarium voluisse *αἰωρ-*' Vitelli

Caput undetricesimum offerunt S M A, eclogas haud paucas etiam Br Mac. Chrys. *περὶ φιλοπονίας* nihil amplius Photius *περὶ φιλοπονίασ καὶ μελέτησ* in capitulorum indice quem toti libro praemisit M *περὶ φιλοπονίας καὶ μελέτης καὶ ὅτι ἀσύμφορον το ὀκνεῖν* M f. 104[v] Br Mac. sed ut *καὶ* ante *μελ.* omiserit Br totum titulum om. A. obsecutus sum Photio, cf. p. 408. numerum addunt S M A Mac., sed *κδ'* S ‖ **6** ecl. cum lemm. hab. S M A; *σοφοκλῆσ* M ‖ **7** *ὡς νυν τάχος* Dindorf ‖ **8** *ἅψεται* Valckenaer ad Eur. Hipp. 604: *ἅπτεται* S M A ‖ **9** ecl. cum lemm. hab. S M A; *ἡσιο* (*δ* sup. lin.) nec plura S ‖ **10** *ἔργοισι* ci. Usener, *βιότοιο* Peppmueller | *χατίζων* S Hes.: *χατίζοντα* M *χατίζει* A ‖ **11** *ὁ* pro *ὃς* Lehrs, *ὡς* Schoemann | *ἀρόμεναι* S M A: *ἀρώμεναι* vel *ἀρόμεναι* vel *ἀρόμμεναι* libri Hes.; *ἀρόμμεναι* tacite ex Hes. Gesn.[1] p. 192, inde vulg. ‖ **12** *τε* om. M ‖ **13** *ἄφενον* M Hes.: *ἄφενος* S A | *σπεύδων* S M A: *σπεύδοντ'* Hes.; *σπεύδονθ'* Tr. p. 158

3 *Τοῦ αὐτοῦ* (308—313).

Ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε.
καί τ' ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν.
ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.
εἰ δέ κεν ἐργάζῃ, τάχα σὲ ζηλώσει ἀεργὸς
πλουτεῦντα· πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.

4 *Ἐν ταὐτῷ* (317—320).

Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
αἰδώς, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν.
αἰδώς τοι πρὸς ἀνολβίῃ, θάρσος δὲ πρὸς ὄλβῳ.
χρήματα δ' οὐχ ἁρπακτά, θεόσδοτα, πολλὸν ἀμείνω.

5 *Εὐριπίδου Ἡρακλειδῶν* (625).

Ἁ δ' ἀρετὰ βαίνει διὰ μόχθων.

---

1 ecl. cum lemm. hab. S M A (post ecl. 29, 2) Mac. Chrys. (tamquam capitis primam); *τ̃ αυ^τ* S *ἡσιόδου ἔργων* M Mac. *ἔργων αὐτοῦ* in textu A quo deleto *ἐν ταυτῷ* A² mrg ‖ **2—3** om. Mac. ‖ **2** *ἔργων δ'* M A Hes.: *ἔργων τ'* S ‖ **3** *καί τ' ἐργαζόμενος* S Hesiodi libri: *καὶ τῶν ἐργαζόμενος* M A; *καὶ* [*τ'*] *ἐργάζομενος* Paley recte | *ἀθανάτοισι* M. quem post *ἀθαν.* addunt versum libri Hesiodei *ἔσσεαι ἠδὲ βροτοῖς· μάλα γὰρ στυγέουσιν ἀεργούς* praeter Stobaeum ignorat etiam Hesiodi cod. Laurent. XXXI 39 et Proculus ‖ **4** cf. Boiss. an. I p. 115 | *ἔργον* S Hes.: *ἔργων* M A Mac. ‖ **5** *κε ἐργ.* Hes. ‖ **6** *πλουτοῦντα* ceteris omissis Mac. | *κύδος ὀπηδεῖ* S ‖ **7** ecl. cum lemm. hab. S M A (post ecl. 29, 3) Br (post ecl. 29, 34 Mein.); *ἡσιόδου* pro lemm. Br. v. 9 legitur III 31, 4 ‖ **8** sq.] 'Procul.: *καὶ τοῦτον καὶ τὸν ἑξῆς στίχον παρεμβεβλῆσθαι ληφθέντας ἀπὸ τοῦ Ὁμήρου* (ρ 347 Ω 45) *καὶ Πλούταρχος εἶπε;* ex recentioribus Guieto duce delevit Brunckius, utrumque cum v. 319 obelo confodit Spohnius; rectius autem mihi quidem tulisse videtur iudicium Peppmueller, qui (Phil. XXXVIIII 317) inverso ordine (317, 319, 318) versus collocandos esse arguta disquisitione probavit' Aloisius Rzach ‖ **8** *κομίζει* S M Br Hes.: *κομίζειν* sicut voluit Hermann A¹ ‖ **9** *αἰδὼς — ὀνίνησιν* om. Br. respiciens, ut videtur, III 31, 4 ‖ **10** cf. Boiss. an. I p. 115 | *ἀνολβίῃ* et *ὄλβῳ* S M A (sed ex accus. corr. S¹) Hes.: *ἀνολβίην* et *ὄλβον* Br et pars codd. Hes.; *ἀνολβίην* et *ὄλβον* Tr. p. 159, inde Gesn.¹ p. 192, vulg. ‖ **11** non recte a voce *χρήματα* novam quasi incohant eclogam Tr. p. 159 et Gesnerus: versus ut ferri potest prioribus adnexus, ita si solus esset repugnaret titulo | *ἁρπακτὰ* ex *ἁρπαστὰ* aut invicem corr. A | *πολλὸν* A Tr. Hes.: *πολλῶν* S M ‖ **12** ecl. sine lemm. hab. S, addito lemmate M A

6 *Εὐριπίδου Ἰφιγενείας* (Taur. 114—115).
Τοὺς πόνους γὰρ ἀγαθοὶ
τολμῶσι, δειλοὶ δ' εἰσὶν οὐδὲν οὐδαμοῦ.

7 *Εὐριπίδης Λικυμνίῳ* (fr. 474 N.^{2}).
Πόνος γάρ, ὡς λέγουσιν, εὐκλείας πατήρ.

8 *Ἐπιχάρμου* (fr. 15 Lor.).
Τῶν πόνων πωλοῦσιν ἁμὶν πάντα τἀγάθ' οἱ θεοί.

9 (29, 11 Mein.) *Εὐριπίδου Ἐρεχθέως* (fr. 264 N.^{2}).
Ἐκ τῶν πόνων τοι τἀγάθ' αὔξεται βροτοῖς.

10 (29, 9 Mein.) *Εὐριπίδου Τηλέφῳ* (fr. 701 N.^{2}).

---

1 ecl. cum lemm. hab. S M A; *τοῦ αὐτοῦ* pro *εὐρ.* A || **2** *ἀγαθοὶ* S M^{d} A libri Eur. || **4** ecl. cum lemm. hab. S M A (post ecl. 29, 6) Mac. Chrys. (post ecl. 29, 3): *τ̆ αυ*^{τ} sine fab. nom. S, fallitur Gaisford, *λυκιμνίω* Mac. Sophocli versum tribuit Maximus Planudes rhet. v. V p. 441 Walz. || **5** *μόνος* (*μ* rubr.) Mac. || **6** ecl. cum lemm. hab. SMA Mac. Chrys. (post ecl. 29, 7). recurrit infra post ecl. 48 in S M (non in A), quae collocatio fortasse testis habenda est alius ordinis hodie ignoti, nam semel legitur ecloga in Br post ecl. 46 omissis 47 et 48. affert versum poetae nomine addito Xenopho apomn. II 1, 20, sine poetae nom. ex Xenophonte Hermogenes progymn. c. 3 extr. Platoni adscripsit Planudes l. c. || **7** *τῶν* SM (loco priore), A Br, Xen.: *ῥεπόντων* S M loco alt. quod quomodo explicem haereo. *πρέπον* interpretatur Grotius, tamquam ex margine illatum. 'facilius credam adhaesisse aliquando versum exeuntem in *ῥέπον*' Buecheler | *ἁμὶν* loco alt. M, ubi *ἁμῖν* S: *ἡμῖν* S M loco priore, A Br, Xen. | *οἱ* om. M loco priore, Br, nescio an etiam A. totum versum sic refingi iubet Ahrens dial. II p. 349: *τῶν π. πωλοῦντι πάντα τἀγάθ' ἁμὶν τοὶ θεοί* || **8** ecl. cum lemm. hab. S M A post ecl. 29, 8: post ecl. 29, 10 Mein. traiecit Tr., inde vulg. iteratur versus infra cum duobus aliis ecl. 22 (*Εὐρ. Ἐρεχθεῖ*) sicut Orionis anth. VII 2 p. 51 (*ἐκ τοῦ Ἐρεχθέως*). om. p. et f. nom. legitur versus schol. Aristot. eth. in anecd. Paris. I p. 192 et inter Men. mon. 149 || **9** *γὰρ* pro *τοι* Or. et mon. || **10** ecl. hab. S M A ponuntque post ecl. 29, 11 Mein.: post ecl. 29, 8 exhibet Tr., inde vulg. lemma adscribitur in S M A, sed in S perperam eclogae 29, 10 Mein. ubi vide. *τ̆ αυ*^{τ} *τηλεφ̃* id est *τηλέφω* S *εὐρ. τηλέφου* M *εὐρ. τήλεφος* A^{1} *τηλέφω* A^{2}. iteratur versus cum fragmento Sophocleo coniunctus ecl. 29, 25 Mein., sine poetae et fab. nomine legitur in anecd. Boiss. I p. 115 et flor. Mon. 127 (flor. Leid. 120 Philol. VI p. 578), etiam inter Men. monost. relatus 338

Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.

11 (29, 10 Mein.) Κριτίου (p. l.⁴ II p. 282 fr. 6).

Ἐκ μελέτης πλείους ἢ φύσεως ἀγαθοί.

12 Ἀναξανδρίδου (fr. 12 com. III p. 199).

Τὸ συνεχὲς ἔργον παντὸς εὑρίσκει τέλος.

13 Εὐριπίδου Ἀρχελάῳ (fr. 233 N.²).

Σοὶ δ' εἶπον, ὦ παῖ, τὰς τύχας ἐκ τῶν πόνων
θηρᾶν· ὁρᾷς γὰρ πατέρα σὸν τιμώμενον.

14 Εὐριπίδου Ἀρχελάου (fr. 238 N.²).

Οὐκ ἔστιν ὅστις ἡδέως ζητῶν βιοῦν
εὔκλειαν εἰτ' ἐκτήσατ', ἀλλὰ χρὴ πονεῖν.

15 Τοῦ αὐτοῦ Φιλοκτήτῃ (fr. 788 N.²).

Τοὺς γὰρ περισσοὺς καί τι πράττοντας πλέον
τιμῶμεν ἄνδρας τ' ἐν πόλει νομίζομεν.

16 (eiusdem fr. 789 N.²).

---

1 v. μοχθεῖν ἀνάγκη recurrunt Stob. flor. 108, 19 (Eur. fr. 37 N.²) epigr. gr. 1039, 12. 1040, 17 Kaib. cf. Eur. Hipp. 207 μοχθεῖν δὲ βροτοῖσιν ἀνάγκη ‖ **2** ecl. cum lemm. hab. S M A (post ecl. 29, 9 Mein.) Br (post ecl. 29, 8), sed S et Tr. κριτίου per errorem adscribunt eclogae priori ‖ **3** cf. infra ecl. 54 | ἢ 'κ φύσεως ci. Bergk ‖ **4** ecl. cum lemm. hab. S M A sed post ecl. 29, 10 Mein., non ut Tr. et vulg. post ecl. 29, 11 Mein. ‖ **5** ἔργον SM sic ut coniecit Meineke: ἔργον ut videtur A et Tr. ‖ **6** ecl. cum lemm. hab. S, om. M A ‖ **8** πατέρα σὸν Bothe: σὸν πατέρα S ‖ **9** ecl. hab. S M A; τ̃ αυ^τ nec plura S εὐρ. ἀρχελάου M εὐρ. ἀρχελάῳ A ‖ **10** syllabae υκ ἔστιν in ras. M² ut mox σ extr. in voce ὅστισ | ἡδέως ζητῶν βιοῦν in Stob. videntur ferenda: Euripidem scripsisse ἡδέος ζήλῳ βίον ci. Nauck Philol. XII p. 643 ἡδονῆς ζηλῶν βίον Gomperz *sitzungsb. der Wien. akad.* 79 p. 248 ἥσυχον ζηλῶν βίον Cobet coll. cr. p. 216, rectius ἡδονὰς ζητῶν βίον Vitelli *app. crit. sulla Elettra di Eur.* p. 11, sed v. βιοῦν et εἰσκτᾶσθαι expendens vereor ne non immunis sit locus gnomologorum licentia ‖ **11** εἰσεκτήσατ' S A fallitur de S Gaisford, εἰσ ἐκτήσατ' M: v. εἰσκτᾶσθαι explosit Cobet n. l. p. 295 εἶτ' ἐκτήσατ' olim Nauck; εὐδοξίαν ἐκτήσατ' Cobet et Meineke flor. IV p. LXIII quod refutabat Herwerden exerc. cr. p. 38. εὔκλειαν ἐξηνέγκατ' nuper Nauck ‖ **12** ecl. et lemma hab. S, om. M A. versum priorem adfert Aristoteles eth. Nicom. 6, 9. utrumque respicit Dio Chrysost. or. 59, 1. de eo qui praecessit apud Euripidem videatur Nauck p. 617 ‖ **13** πράσσοντας Eur. ‖ **15** ecl. sine lemmate cum praegressa coniungit S, om. M A. neque igitur iteratum fuisse lemma in archetypo

Ὀκνῶ δὲ μόχθων τῶν πρὶν ἐκχέαι χάριν.

17 *Μενάνδρου* (fab. inc. fr. 93 com. IV p. 258).

Δεῖ τούς ⟨γε⟩ πενομένους, μέχρι ἂν ζῶσιν, πονεῖν.
ἀπραξία γὰρ λιτὸν οὐ τρέφει βίον.

18 *Ἡσιόδου Ἔργων* (361—362).

Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο,
καὶ θαμὰ τοῦτ᾽ ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο.

19 *Μενάνδρου* (fab. inc. fr. 191 com. IV p. 276).

Πάντα γὰρ
ταῖς ἐνδελεχείαις καταπονεῖται πράγματα.

20 *Εὐριπίδου Ἀνδρομέδας* (fr. 134 N.²).

Εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων.

21 *Αἰσχύλου* (fr. 395 N.²).

Φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός.

---

veri est simile. separavit eclogam a priore Gesn.¹ p. 192, inde vulg. adfert eclogam altero versu auctam sine poetae et fab. nomine Plutarchus de se ipsum citra invidiam laudando p. 544 C *καὶ τὸ ʽὀκνῶ — χάριν καὶ τοὺς παρόντας οὐκ ἀπωθοῦμαι πόνους᾽*, quem alterum erunt fortasse qui a Stobaeo non alienum fuisse existiment utpote titulo apprime convenientem

1 *ὀκνῶν* dedisse Euripidem vidit Cobet coll. cr. p. 228, quam suspicionem confirmare videtur paraphrasis Dionis Chrys. 59, 2 ‖ **2** ecl. cum lemm. hab. SMA ‖ **3** *γε* addidit L. Dindorf | *πενομένους* Bentley: *γινομένους*, sed *ι* ex *ει* corr. S¹ *γινομένους* MA | *μέχρι ἂν* SM: *μέχρις ἂν* A; *μέχρι ἂν οὗ* Meineke ‖ **5** ecl. cum lemm. hab. SMA (post ecl. 29, 17), lemmate non iterato Br (post ecl. 29, 4) Mac. Chrys. (post ecl. 29, 8); *ἡσιο* (δ superscr.) nec plura S. gnomologum vide Hesiodea excerpentem servato versuum ordine (21—24. 308—313. 317—320. 361—362). quattuor haec tmemata se excipiebant in Br ‖ **6** *καὶ* om. MBr | *καταθεῖο* SA Br Mac. Hes.: *καταθείησ* M ‖ **7** *ἔρδεις* Br ‖ **8** ecl. cum lemm. hab. SMA; ex priore iteravit *ἡσιόδου ἔργων* quo deleto recte *μενάνδρου* in margine sinistro M ‖ **9** *πάντα* sed *α* extr. in ras. rubr. rec. M ‖ **10** *ἐνδελεχείαις* SMA: *ἐντελεχείαις* Tr. p. 169, inde vulg. | *πρᾶγμα* M¹ *πράγματα* corr. M rubr. rec. ‖ **11** ecl. cum lemm. hab. SMA ‖ **13** ecl. cum lemm. hab. SMA. hic ordo 20. 21 est etiam in A, fallitur Gaisford in tabula; *αισχυ* (λ superscr.) ut solet S. *Εὐριπίδου* ex priore huc retrahitur Tr. p. 169, unde error Apostolii cent. XVII 86ᶜ ‖ **14** *φιλεῖ δὲ τῷ* SA: *φιλεῖ* (*φιλοῖ* pr. m. teste Duebnero) *δέ τοι δαιμόνιε τῷ* M ubi mox

22 *Εὐριπίδου Ἐρεχθεῖ* (fr. 364 N.²).

Ἐκ τῶν πόνων τοι τἀγάθ' αὔξεται βροτοῖς.
ὁ δ' ἡδὺς αἰὼν ἡ κακή τ' ἀτολμία
οὔτ' οἶκον οὔτε βίοτον οὐδὲν ὠφελεῖ.

23 *Εὐριπίδου Κρήσσαις* (fr. 461 N.²).

Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν,
αἰσχρόν τε μοχθεῖν μὴ θέλειν νεανίαν.

24 *Αἰσχύλου* (fr. 396 N.²).

θεοῖσ pro *θεός*. quibus usus proposuit Nauck Philol. XI p. 282 *φίλον δέ τοι, Δαιμόνιε, τῷ κάμνοντι συσπεύδειν θεοῖς.* adsentitur Meineke flor. IV p. LXIII qui comici poetae esse haec verba suspicatur, Aeschyli autem intercidisse. sed displicent duo dativi. fortasse in *δαιμόνιε* latitat variae lectionis vel interpretamenti vestigium velut *δαίμων ἢ θ.* collato Eur. fr. 432 N.² quod si quis versui adaptet (*δαίμων δὲ τ. κ. σ. φιλεῖ*) vereor ne operam perdat. longius a tradita scriptura recedit F. G. Schmidt *krit. stud.* I p. 111

1 ecl. cum lemm. hab. S M A, sed *τ̆ αυ^τ ἐρεχθεῖ* S. aut igitur librarius erroris arguendus est aut intercidit ecloga Euripidea. illud veri similius duco. eosdem tres versus cum lemm. *Ἐκ τοῦ Ἐρεχθέως* habet Orio anthol. VII 2 p. 51; primum versum supra Stobaeus 29, 9 (29, 11 Mein.) cum lemm. *Εὐρ. Ἐρεχθέως*, om. poetae et fab. nom. Alexander in Aristot. analyt. priorum lib. I comm. p. 303, 21 schol. Aristot. eth. in anecd. Paris. v. I. p. 192, 27 (cf. quae adnotavi ad ecl. 8) Men. mon. 149. versus duo extremi supra leguntur cum lemmate *Εὐρ. Ἀρχελάῳ* III 8, 13. atque cum parum veri simile sit Erechthei duos versus continuos a poeta iteratos esse in Archelao, supra (III 8, 13) erratum esse coniecit Dindorf. sed probabilius puto in communi Orionis et Stobaei fonte duos versus Archelai cum Erechthei iambo malam societatem iniisse. mecum facit Nauck² p. 472 ‖ **2** *γὰρ* pro *τοι* Orio et Men. mon. | *τ' ἀγαθ'* sine acc. M ‖ **3** *αἰὼν* libri nisi quod *εῶν* M *ἀγὼν* Or. ubi mox *ἢ κακίστ'* | *ἀτολμία* S M A Or.: *ἀνανδρία* supra flor. 8, 13 ‖ **4** *οὐ τὸ ἴκον* sed corr. *οὔτ' οἶκον* M¹ | *οὔτε βίοτον* (*βίωτον* S M) *οὐδὲν ὠφελεῖ* (*ὠφελεῖν* S) libri, quae clausula ut parum apta (cf. Cobet n. l. p. 294) ab ipso gnomologo interpolata videtur fortasse ut aliqua tenus discreparet ab eo versu quem supra dederat Archelao: *οὔτε γαῖαν ὀρθώσειεν ἂν* Or. et Br in flor. 8 ubi *οὔτε πόλιν ὀρθώσειεν ἂν* reliqui. cf. quae dixi ad flor. 8 ‖ **5** ecl. cum lemm. hab. S M A (post ecl. 29, 22) Mac. Chrys. (post ecl. 29, 18); *τ̆ αυ^τ κρήσαις* (σ supra) S ‖ **8** ecl. cum lemm. hab. S M A Mac. Chrys. legitur inter Men. mon. 297. alia testimonia collegit Nauck² p. 115

Καλὸν δὲ καὶ γέροντα μανθάνειν σοφά.

25 *Σοφοκλέους Μάντεων* (fr. 365 N.[2]).

Οὔτοι ποθ' ἥξει τῶν ἄκρων ἄνευ πόνου.

25ª (Eur. fr. 701 N.[2]).

Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.

26 (fr. 343a com. IV p. 689)

Ἅπαντα τὰ καλὰ τοῦ πονοῦντος γίνεται.

27 (fr. 343b com. IV p. 689)

Ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόνος.

28 *Φιλήμονος Καταψευδομένου* (com. IV p. 13).

Πάντ' ἐστὶν ἐξευρεῖν, ἐὰν μὴ τὸν πόνον
φεύγῃ τις, ὃς πρόσεστι τοῖς ζητουμένοις.

29 (Philem. fab. inc. fr. 102 com. IV p. 62)

Ἐκ τοῦ φιλοπονεῖν γίνεθ' ὧν θέλεις κρατεῖν.

30 *Φιλήμονος* (fab. inc. fr. 61 com. IV p. 55).

Ὡς ἡδέως μοι γέγονε τὰ πρότερον κακά.
εἰ μὴ τότ' ἐπόνουν, νῦν ἂν οὐκ εὐφραινόμην.

31 *Καρκίνου.*

* * *

1 *γέροντι* Men. mon. rectius || 2 ecl. cum lemm. hab. SMA || 3 *ἥξει* SMA: *ἅψει* ci. O. Schneider, *οὔτοι γ' ἐφίξει* Valckenaer in Eur. Phoen. p. 217, *οὐδέποτ' ἐφίξει* Cobet n. l. p. 295, *οὔτοι τεθίξει* Nauck Philol. XII p. 193, alii alia || 4 ecloga sine lemmate cum praegressa cohaeret in SMA: separavit Meineke. cum lemmate *Εὐρ. Τηλέφῳ* legitur supra 29, 10. versus intra tantillum spatium a Stobaeo vix iteratus fortasse testis relictus est ordinis eclogarum nobis hodie ignoti. posteriore loco deletur a Grotio dict. poet. p. 127. ceterum vide supra ad 29, 10 (29, 9 Mein.) || 6 ecl. sine lemm. cum praegressis cohaeret in SMA: separavit Gesn.[1] p. 194, unde vulg. || 7 *τὰ* om. M || 8 ecl. sine lemm. cohaeret cum praegr. in SMA: separavit Gesn.[1] p. 194, unde vulg. inter tragicorum adespota recepit Nauck p. 943 || 9 'Menandri: vertit Ter. haut. 675' Buecheler. vel in maiore consensu potest tamen Euripidis esse, cf. Meineke Men. et Phil. rel. p. 22 et ecl. 33 adn. | *πόνος* Valckenaer: *πόθος* SMA || 10 ecl. cum lemm. hab. SMA || 13 ecl. hab. lemmate non iterato SMA, cum prioribus coniunctam S (Tr. p. 160; Apostol. cent. XIII 93 b) M, nescio an etiam A: separavit Gesn.[1] p. 194, inde vulg. Philemonis esse versum paene certum est || 14 *γίνεθ'* SA: *γίνεσθ'* M || 15 ecl. cum lemm. hab. SMA; *τ̆ αυ^τ* pro *φιλ.* S || 16 *πρότερον* (ut Porson adv. p. 159) MA: *πρότερα* S Tr. p. 160, inde vulg. || 17 *ἂν* S: *αὖ* MA || 18 ecl. hab. SMA (post ecl. 30) Br (post

31^a (Eur. fr. inc. fab. 1043 N.^{2})
Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο.
32 *Εὐριπίδου Ἀρχελάου* (fr. 237 N.^{2}).
Οὐδεὶς γὰρ ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ,
ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐανδρίαν.
33 (29, 34 Mein.) *Εὐριπίδου Ἱππολύτου* (fr. 432 N.^{2}).
Τῷ γὰρ πονοῦντι καὶ θεὸς συλλαμβάνει.

---

ecl. 32); lemma *εὐρι*^{πδ} S *καρκίνου* M A sed superscr. *γρ. Εὐριπίδου* A^2, om. Br. iteratur versus corp. Par. 668 Elt. (*Καρκίνου*). firmatur autem lemma *Εὐριπίδου* eo quod proximam eclogam idem S inscribit *τοῦ αὐτοῦ ἀρχ.*, non *Εὐρ. ἀρχ.* nec nullius est momenti quod versus *οὐδεὶς κτἑ.* inter duas eclogas Euripidis (32 et 34 Mein.) legitur in Br, denique *ἐκτήσατο* clausula saepius legitur apud Euripidem. huic igitur reddidi Carcini locum intercidisse suspicatus apud Nauckium. an Antiopae est versus (coll. fr. 187 N.^{2})?

2 *οὐδεν*^{οι} A sed *γρ. ἡδοναῖς* A^2 mrg *ἡδονῆς* Br | *ἐκτήσατο* etiam S, fallitur Gaisford ‖ **3** ecl. cum lemm. hab. S M A (tamquam capitis primam), sine lemm. Br (post ecl. 29, 31^a); *ἔ αυ*^{τ} *αρχελ*^{α} (compendium infra *α*) S. recurrit ecloga sine lemmate cum priore versu coniuncta corp. Par. 668 Elt. uno trimetro adaucta legitur infra flor. 51, 4 (*Εὐρ. Ἀρχελάῳ*) eosdemque tres versus sine fab. n. habet Orio anthol. IX 22 p. 58 ‖ **4** *γὰρ ὢν* om. corp. Par. | *ἄθυμος* Or. | *εὐκλεὴς*] *γρ εὐγενὴς* superscr. A^2 intellegens nimirum v. *εὐκλεὴς ἀνὴρ* et *εὐανδρίαν* hoc loco non satis apte coniungi, tu vide ad v. proximum ‖ **5** cf. flor. 51, 14 v. 7 | *εὐανδρίαν* S M A Br corp. Par. Or.: *εὐδοξίαν* flor. 51, 4 per se rectius. *εὐανδρίαν* in cap. 29 retinui propter Stobaei cum Orione consensum. *εὐδοξίαν* verum esse etiam flor. 51, 14 intellexit Iacobs ‖ **6** ecl. hab. S M A Br Mac. Chrys. et post ecl. 29, 32 Mein. collocat S (Tr. p. 160, inde vulg.), cui ordini favet etiam Br ubi haec est dispositio: ecl. 29, 32. 31. 34, dein sex aliis interiectis 33 Mein. contra eclogae 32. 33. 34 Mein. sese excipiunt in M A quem ordinem non recte praetulit Gaisford. post ecl. 29, 24 hab. Mac. lemma est in M A Mac., *ἔ αυ*^{τ} nec plura in S, deest in Br. contra Clemens Alexandr. strom. VI p. 741 P.: *Εὐριπίδου μὲν ἐν Τημένῳ* (*κτιμένῳ* L) '*τῷ γὰρ — συλλαμβάνει*'. eundem versum adsignant Euripidi om. fab. nom. anecd. Ox. IV p. 255, 11 et Theodoretus therap. 1 p. 15, 47, poetae et fab. nom. omisso habet Clemens Alexandr. strom. V p. 654 P. respicit Zenobius cent. V 93. de versu quem nostro praemittunt schol. T Il. IV 249 videatur Nauck l. c. p. 493 ‖ **7** *τόλμῃ δικαίᾳ καὶ θεὸς συλλαμβάνει* supra Menander III 7, 3 memor fortasse

34 (29,33 Mein.) *Ἀλέξιδος Ἀχαιίδος* (fr. 1 com. III p. 397).

Ὅτι πάντα τὰ ζητοῦμεν᾽ ἐξευρίσκεται,
ἂν μὴ προαποστῇς μηδὲ τὸν πόνον φύγῃς.
ὅπου γὰρ εὑρήκασιν ἄνθρωποί τινες
μέρος τι τῶν θείων, τοσούτῳ τῷ τόπῳ
ἀπέχοντες, ἄστρων ἐπιτολάς, δύσεις, τροπάς,
ἔκλειψιν ἡλίου· τί τῶν κοινῶν . . .
καὶ συγγενικῶν δύναιτ᾽ ἂν ἄνθρωπον φυγεῖν;

35 *Θεοδέκτου* (fr. 11 p. 805 N.²).

Πολλὰ δεῖ
μοχθεῖν τὸν ἥξοντ᾽ εἰς ἔπαινον εὐκλεῶς·
ῥᾳθυμία δὲ τὴν παραυτίχ᾽ ἡδονὴν
λαβοῦσα λύπας τῷ χρόνῳ τίκτειν φιλεῖ.

36 *Εὐριπίδου Σθενεβοίας* (fr. 668 N.²).

Ἄνευ τύχης γάρ, ὥσπερ ἡ παροιμία,
πόνος μονωθεὶς οὐκέτ᾽ ἀλγύνει βροτούς.

Euripidis cf. etiam ecl. 21 | *τῷ δ᾽ αὖ* pro *τῷ γὰρ* Clemens Alex. p. 654 Theodoret. anecd. Ox. | *χὠ θεὸς* schol. Il. | *ξυλλαμβάνει* Mac. Theodoret. anecd. Ox.

1 ecl. cum lemm. hab. S (post ecl. 29, 34 Mein.) M A (post ecl. 29, 32 Mein.), sine lemm. Br (post ecl. 29, 10 Mein.). *Ἀλέξιδος Ἀχαιίδος* scripsi: *ἀλέξι* (superscr. *δ*) *ἀχαιϊδ* S *ἀλεξίδου ἀχλΐϊδ˜* M *Ἀλέξιδος ἀχλίδου* A superscr. (*γρ. ἀχαιΐδι*) A²; *Ἀλέξιδος Ἀχαιΐδι* Gaisford et Meineke ‖ **2** *ἅπαντα* pro *ὅτι π.* ci. Meineke | *ζητούμενα* M Br | *ἐξευρίσκεται* libri nisi quod *εὑρίσκεται* Br ‖ **5** *μερός τι* S | *τοσοῦτον* (-*το* Kock) Hirschig | *τῶ* add. A² ‖ **6** *ἀπέχοντες* libri sed *ἀπέχονται* A¹ | *ἄστρων* S Tr. p. 160, inde vulg.: *ἄστρων τ᾽* M A¹ Br ‖ **7** *ἐκλειψιν* sine acc. S | nihil nisi *τῶν κοινῶν* S M A¹ Br *κάτω* supra lin. add. A²; *τῶν κοινῶν ⟨τε⟩ καὶ ⟨τῶν⟩ συγγ.* Grotius dict. poet. p. 129 *τῶν κοινῶν ποτε* (vel *ἔτι*) Buecheler *τῶν κοινῶν ἅμα* vel *βροτοῖς* (cf. 5) ego, ut iam appareat cur addatur *καὶ συγγ.* ceterum *τῶν κοινῶν κάτω* accipit Kock com. II p. 309 cui corruptum videtur *συγγενικῶν* iniuria ‖ **8** *συγγενῶν* ci. Grotius | *δύναιτ᾽ ἂν* S: *δύναιτ᾽* M A Br sed *ἂν* superscr. A ‖ **9** ecl. cum lemm. hab. S M A ‖ **11** *εὐκλεῶς* libri, non recte: *ἢ κλέος* ci. F. G. Schmidt *krit. stud.* III p. 20 *εὐκλεᾶ* Wecklein ‖ **12** litt. *υ* in v. *παραυτίχ᾽* add. rubr. rec. M ‖ **14** ecl. cum lemm. hab. S M A (post ecl. 29, 35) Mac. Chrys. (post ecl. 29, 34); *Τοῦ αὐτοῦ σθενεβοίας* Mac., *σθενεβοίας* etiam S A, fallitur Gaisford, *σθενοβ.* M ‖ **15** *ἢν εὐτυχῇ* et mox *πόνος πονηθεὶς* ci. Vitelli **16** *οὐκέτ᾽ ἀλδαίνει*

37 *Σοφοκλέους Λαοκόωντος* (fr. 346 N.²).

Μόχθου γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος.

38 *Σοφοκλέους Λαοκόωντος* (fr. 345 N.²).

Πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς.

39 *Ἀγάθωνος* (fr. 21 p. 767 N.²).

Ἰδίας ὁδοὺς ζητοῦσι φιλόπονοι φύσεις.

40 *Φιλίσκου* (p. 819 N.²).

Οὐκ ἔστιν, ὦ μάταιε, σὺν ῥᾳθυμίᾳ
τὰ τῶν πονούντων μὴ πονήσαντας λαβεῖν.

41 *Ξενοφάνους* (fr. XII Brandis. p. 60).

Οὔ τοι ἀπ' ἀρχῆς πάντα θεοὶ θνητοῖς ὑπέδειξαν,
ἀλλὰ χρόνῳ ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον.

42 *Ἱππώνακτος* (fr. 28 p. l.⁴ II p. 472 B.).

Χρόνος δὲ φευγέτω σε μηδὲ εἷς ἀργός.

43 *Ἀπολλοδώρου* (fr. 7 com. IV p. 457).

(*ἀλδανεῖ* Munro) *βροτούς* Musgrave *οὐδὲν ἀλφάνει βροτοῖς* post Const. Matthiaeum alii

1 ecl. hab. S, om. MA. *σοφο^ς λαοκόων^τ* S: Brunckio igitur credendum Soph. trag. t. III p. 426, non Gaisfordo ad Stob. Ecl. p. 868 || **2** *πόνου* pro *μόχθου* ci. Meineke v. IV p. LXIII || **3** ecl. cum lemm. hab. S (post ecl. 29, 37 Mein.) MA (post ecl. 29, 36); *τ̃ αν^τ* nec plura S quod perperam interpretatur Brunck Soph. trag. t. III p. 426, tu vide ad flor. 20, 26 p. 544 || **4** *μεταλλαχθέντος* SM: *μεταλλαγχθέντος* A. *κόπου μεταλλαχθέντος* ci. Ellendt lex. Soph. II p. 89 *μόχθου δ' ἀπαλλαχθέντος* Meineke v. IV p. LXIII *πότμου μεταβληθέντος* Nauck. sed *μεταλλ.* non est nisi 'mutatis vicibus', minime 'fine facto' | *οἱ λόγοι γλυκεῖς* (vel *ἡ μνήμη γλυκύ*) ci. Dobree adv. II p. 358 *οἱ γόοι γλυκεῖς* Gomperz *nachl.* p. 7 || **5** ecl. cum lemm. hab. SMA || **7** ecl. cum lemm. hab. SMA. iterat eclogam et lemma corp. Par. 669 Elt. *Φιλίσκου* nomen confirmare videtur etiam codex Photii, cf. Elter p. 58. nescio an Philiscus Aegineta intellegendus sit cui nonnulli Diogenis tragoedias tribuerunt. Cynico certe digna sententia || **9** *πονήσαντα* A || **10** ecl. cum lemm. hab. SMA (post ecl. 29, 40), sine lemm. Br (post ecl. 29, 33 Mein.). Stob. I 8, 2 p. 94, 1 W. || **11** *ὑπέδειξαν* libri: *ἐπέδειξαν* Tr., inde vulg. *παρέδειξαν* Stob. I || **13** ecl. cum lemm. hab. S, om. MA. lemma legit Photius, etsi ordinem paululum turbaverit pinacographus. ad Herondam versum referri voluit Meineke chol. p. 106 opinione incerta || **15** ecl. cum lemm. hab. S, om. MA: *Ἀπολλοδώρου* Tr.: *ἀπολλοδο^τ* S

Χρόνον γὰρ εἰς τὰ πράγματ' ἂν λάβῃς βραχύν,
ἅπαντα λήξει καὶ καταστελήσεται.

44 *Εὐριπίδου Ἀρχελάῳ* (fr. 236 N.[2]).

Σὺν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις.

45 *Μενάνδρου Δυσκόλου* (fr. 5 com. IV p. 109).

Οὐδενὸς χρὴ πράγματος
τὸν εὖ ποιοῦνθ' ὅλως ἀπογνῶναί ποτε.

46 (ibid.)

Ἁλωτὰ γίνετ' ἐπιμελείᾳ καὶ πόνῳ
ἅπαντα.

47 *Μενάνδρου Εὐνούχου* (fr. 4 com. IV p. 124).

Πάντα τὰ ζητούμενα
δεῖσθαι μερίμνης φασὶν οἱ σοφώτεροι.

48 *Σοφοκλέους Οἰδίποδος* (tyr. 110—111).

Τὸ ζητούμενον
ἁλωτόν, ἐκφεύγει δὲ τἀμελούμενον.

48[a] *Ἐπιχάρμου* (fr. 15 Lor.).

---

1 *πράγματ' ἂν* Meineke: *πράγματα ἐὰν* S | *λάβῃς βραχὺν* S: *λάβῃς* Tr. p. 160, inde vulg. || **3** ecl. cum lemm. *εὐριπι*[δ] *ἀρχελ*[α] (infra α lineola) S, om. MA || **4** *σὺν μυρίοισι* S: *ἐν μυρίοισι* Men. mon. 176; *σὺν μυρίοις* Frob. p. 169, inde Gesn.[1] vulg. | *γίγνεται* Tr. p. 160, inde vulg.: *γίνεται* S mon. || **5** ecl. cum lemm. hab. S (post ecl. 29, 44) MA (post ecl. 29, 41), sine lemm. Br (post ecl. 29, 18) || **7** *ποιοῦνθ'* libri: *πονοῦνθ'* Grotius dict. poet. p. 528, recte, puto | *ἀπογνῶναι* etiam S, fallitur Gaisford || **8** ecl. sine lemm. hab. SMABr; cohaeret ecloga cum priore in MA, sui iuris est in S, certe Tr. p. 161 || **9** *γὰρ* (*δὲ* Br) post *ἁλωτὰ* add. A, unde non recte *ἁλωτὰ γὰρ Ἅπαντα γίγνετ' κτἑ.* olim Meineke | *γίνετ'* S: *γίνεται* MA Br; *γίγνετ'* Tr., inde vulg. || **11** ecl. cum lemm. hab. SMA. hanc et proximam eclogam sine fab. nom. vicinas etsi inverso ordine positas habet etiam Clemens Alex. strom. V p. 650 P. eodem scilicet gnomologio usus atque Ioannes ut recte iudicavit Hiller in Fleckeiseni annali 1888 p. 456. vide ad ecl. 33 || **13** *σοφώτατοι* Clem. || **14** ecl. cum lemm. hab. SMA; vide ad ecl. priorem || **15** *τὸ δὲ ζητ.* Soph. Clem. || **16** *δὲ τἀμ.* Soph. Clem.: *δ' ἀμελούμενον* SMA. de eis quae post h. l. leguntur in SM rettuli supra ad ecl. 8 || **17** ecl. cum lemm. hab. SM (post ecl. 29, 48) Br (post ecl. 29, 46 sed 47 et 48 omissis). legitur supra 29, 8. num ab ipso Ioanne bis posita sit mihi dubium, dubitavit iam codicis A librarius. fortasse supra adscripta est propter 7 et 11 similitudinem

Τῶν πόνων πωλοῦσιν ἁμὶν πάντα τἀγάϑ' οἱ ϑεοί.

49. 50 (Eur. Suppl. 323—325)

Σὴ πατρὶς ἐν γὰρ τοῖς πόνοισιν αὔξεται·
αἱ δ' ἥσυχοι σκοτεινὰ πράσσουσιν πόλεις,
σκοτεινὰ καὶ βλέπουσιν εὐλαβούμεναι.

51 *Ἀντιφάνους* (fab. inc. fr. 45 com. III p. 149).

Τῆς ἐπιμελείας δοῦλα πάντα γίνεται.

52 *Ἐκ τῶν Βίωνος Σμυρναίου βουκολικῶν* (fr. XV Mein.).

Ἐκ ϑαμινᾶς ῥαϑάμιγγος, ὅκως λόγος, αἰσσοίσας
χἀ λίϑος ἐς ῥωχμὸν κοιλαίνεται.

53 *Τοῦ αὐτοῦ* (fr. XIII Mein.).

Οὐ καλόν, ὦ φίλε, πάντα λόγον ποτὶ τέκτονα φοιτῆν,
μηδ' ἐπὶ πάντ' ἄλλω χρέος ἰσχέμεν· ἀλλὰ καὶ αὐτὸς
τεχνᾶσϑαι σύριγγα, πέλει δέ τοι εὔμαρὲς ἔργον.

---

1 *τῶν* Br et supra SM: *ῥεπόντων* SM hoc loco, vide supra p. 628 ‖ **2** ecl. sine lemm. hab. S, om. MA; *Εὐριπίδου* add. Meineke ‖ **3** ut v. *σὴ πατρὶς* suum haberent praedicatum, duos trimetros ex Eur. supplevit Grotius *ὁρᾷς, ἄβουλος ὡς κεκερτομημένη Τοῖς κερτομοῦσι γοργὸν ὡς ἀναβλέπει Σὴ πατρίς· ἐν γὰρ κτέ.* sed de gnomologorum excerpendi licentia hodie rectius iudicamus. non dubitavi coniungere apud Stobaeum *σὴ πατρὶς ἐν γὰρ κτέ.* nulla post *πατρὶς* distinctione ‖ **4** *πράσσουσι* S, *πράσσουσιν* Tr. p. 161 *πράσσουσαι* Eur. libri a pr. m.; fortasse etiam Stobaeus *αἱ* (sic ni fallor S) — *πράσσουσαι* ‖ **6** ecl. cum lemm. hab. SM, om. A. recurrit versus inter Men. monost. 494 ‖ **7** *πάντα δοῦλα* monost. ‖ **8** ecl. hab. S, om. MA; *ἐκ τῶν Βίωνος σμυρναίου βουκολικῶν* non sine scripturae compendiis S *Σμιρνέου βουκολικοῦ* nec plura Tr. p. 161 *Βίωνος* nec plura Frob. p. 168 *Βίωνος Σμυρναίου Βουκολικοῦ* temere Gaisford *Βίωνος Σμυρναίου βουκολικῶν* Meineke ‖ **9** *ϑαμινᾶς* Ahrens *-ῆς* S | *ὅκως* Frob., inde Gesn.[1] vulg.: *ωκως* S *ὦ κ'ὡς* Tr. | *αἰσσοίσας* Ahrens: *αιες* (sine acc.) *ἰοίσας* S *αἰὲς ἰοίσας* Frob. p. 168 *αἰὲν ἰοίσας* Gesn.[1] p. 196, inde vulg. *αἰεναοίσας* Meineke ‖ **11** ecl. et lemma hab. S, om. MA; lemma non iterat Tr. p. 161, *Βίωνος* habet Frob. p. 168 ‖ **12** *λόγον* libri; *χρόνον* Hermann et Hirschig quos ne properantius secutus sit veretur iure Meineke Theocr.[3] p. 424 ‖ **13** *μηδ' ἐπὶ* Grotius: *μηδέτοι* S Frob.; *μηδέτι* Tr., inde vulg. | *ἄλλω* Salmasius: *ἄλλο* S (Tr. Frob.); *ἄλλον* corrector codicis Par. 1985 teste Gaisfordo | *ἰσχέμεν* ut Tr. etiam S, fallitur Gaisford; *ἰσχνέμεν* Frob.

54 *Ἐπιχάρμου* (fr. *24 p. 261 Lorenz.).

Ἁ δὲ μελέτα φύσιος ἀγαθᾶς πλέονα δωρεῖται φίλοις.

55 *Εὐριπίδου Τηλέφῳ* (fr. 715 N.²).

Οὐ τἄρ' Ὀδυσσεύς ἐστιν αἱμύλος μόνος.
χρεία διδάσκει, κἂν βραδύς τις ᾖ, σοφόν.

56 *Τοῦ αὐτοῦ* (fr. 757, 9 N.²).

Οὐκ αἰσχρὸν οὐδὲν τῶν ἀναγκαίων βροτοῖς.

57 *Ἀνδρομέδᾳ* (fr. 133 N.²).

Ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων.

58 *Αἰλιανοῦ* (fr. 187 ed. Teubn.).

Σόλων ὁ Ἀθηναῖος ὁ Ἐξηκεστίδου παρὰ πότον τοῦ

---

1 ecl. cum lemm. hab. S (post ecl. 29, 53) M A (post ecl. 29, 55) ‖ 2 ἁ ex ἀ corr. M rubr. | πλέονα S M A: πλεῦνα Tr. p. 161, inde vulg. cf. Ahrens dial. II p. 215 | φίλοις S M A: φίλοι praetulit Grotius ap. Gaisfordum, φίλος Ahrens II p. 458 ‖ 3 ecl. cum lemm. hab. S (post ecl. 29, 54) M (post ecl. 29, 51) A (post ecl. 29, 48). priorem versum om. poetae et fab. nom. adfert Plutarchus vit. Lysandri c. 20. de altero cf. Suid. v. χρεία: καὶ παροιμία 'χρεία διδάσκει, κἂν ἄμουσος ᾖ, σοφον Καρχηδόνιον'. Eur. El. 375 ‖ 4 οὐ τἄρ' Porson: οὐ γὰρ S M A οὐκ ἄρα Plut.; οὐ γάρ τ' tacite Gesn.¹ p. 196, inde vulg. | μόνον Plut. ‖ 6 ecl. hab. S, om. M A. τοῦ αὐτοῦ dedi ex S. quamquam certo ibi distingui nequit τ̃ αυ^τ ad ecl. 56 an ad ecl. 57 pertineat. illi adposui quod ad ecl. proximam solum fabulae nomen commemorant etiam M A poetae nomine non iterato. fieri igitur potest ut rectius de Telepho interpretemur illud τοῦ αὐτοῦ quam de Hypsipylae versu δεινὸν γὰρ οὐδὲν τῶν ἀναγκαίων βροτοῖς cuius testimonia collegit Nauck² p. 596 ‖ 8 ecl. hab. nomine poetae non iterato S (post ecl. 29, 56) M A (post ecl. 29, 54). Euripidi tribuunt versum Plut. quaest. conviv. II 1, 3 p. 630 E et Macrob. sat. VII 2, 9, om. poetae et fab. nom. affert Aristot. rhet. 1, 11 p. 1370 b 4. respiciunt alii quorum testimonia congessit Nauck² p. 399. de personato Epicteto (fr. 121 Schweigh.) videatur R. Asmus quaest. Epictet. p. 19 sq. latine interpretatus est Cicero de fin. II 32, 105 ‖ 9 ἀλλ' Stob. Aristot.: ὡς Plut. Macrob. anecd. Boiss. | τοι S: τι M σοι A; τοι Aristot. Macrob. Ps.-Epict. τῷ anecd. Boiss. τι τὸν Plut. | σωθέντι pro σωθέντα Ps.-Epict. anecd. Boiss. ‖ 10 ecl. cum lemm. hab. S M A ‖ 11 ὁ Ἀθηναῖος secluserim | ὁ ἐξηκεστίδου S M A ὁ ἐξηκέστου Tr. p. 161; ἐξηκέστου oscitanter Gesn.² p. 200, inde vulg.

ἀδελφιδοῦ αὐτοῦ μέλος τι Σαπφοῦς ᾄσαντος, ἥσθη τῷ μέλει καὶ προσέταξε τῷ μειρακίῳ διδάξαι αὐτόν. ἐρωτήσαντος δέ τινος διὰ ποίαν αἰτίαν τοῦτο ἐσπούδασεν, ὃ δὲ ἔφη ʻἵνα μαθὼν αὐτὸ ἀποθάνωʼ.

59 *Εὐσεβίου* (fr. 32 phil. graec. III p. 12 Mullach).

Πόνοι οἱ ἑκούσιοι πόνοισι τοῖσι μετὰ ταῦτα ἀναγκαίοις, ὥστε αὐτοὺς εὐπετεστέρους παρασκευασθῆναι, προπονέονται.

60 *Αἰλιανοῦ* (var. hist. VII 7).

Δημοσθένης ὁ Δημοσθένους, εἰ ἔμελλε τῆς ὑστεραίας ἔσεσθαι ἐκκλησία, ἀλλὰ ἐκεῖνός γε διὰ τῆς νυκτὸς ἠγρύπνει πάσης, διαφροντίζων δηλονότι καὶ ἐκμανθάνων ταῦτα, ἃ ἔμελλεν ἐρεῖν. ὁ τοίνυν Πυθέας ἐκ τούτων ἐμοὶ δοκεῖν ἐπέσκωπτεν εἰς αὐτὸν ἐπιλέγων αὐτοῦ τὰ ἐνθυμήματα ἐλλυχνίων ὄζειν.

61 *Δημοσθένους κατὰ Φιλίππου* (IV § 5 p. 41).

Φύσει δʼ ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων, καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν τὰ τῶν ἀμελούντων.

62 *Θουκυδίδου* (V 69).

Ἔργων ἐκ πολλοῦ μελέτη πλεῖον σῴζει ἢ λόγων διʼ ὀλίγου καλῶς ῥηθέντων παραίνεσις.

63 *Δημοκρίτου* (fr. mor. 86 Mullach.).

---

1 *ἀδελφιδοῦ* S M: *ἀδελφοῦ* A | *ἥσθη*] *ἥσθει* A[1] ‖ **3** *ἐσπούδασεν* S M A; *σπουδάσειεν* Hercher *ἐσπούδακεν* Meineke ‖ **5** ecl. cum lemm. hab. S M A (post ecl. 29, 58) Mac. Chrys. (post ecl. 29, 36). fortasse usus est Eusebius gnoma infra (63) Democrito adscripta ‖ **6** *τοῖσι* Meineke: *τοῖς* S M A Mac. | *ἀναγκαίοις* S M Mac. e corr. A[2], *ἀναγκαῖοι* Tr. p. 161; *ἀναγκαίοισι* Meineke ‖ **9** ecl. cum lemm. hab. S, om. M A. Aeliani librorum discrepantiam missam facio: ʻvulgatam deberi epitomatori, in Stobaeanis ipsum Aelianum studiose propagatum esseʼ evicit Hercher ed. Didot. praef. p. V sq. ‖ **10** *ἔμελλεν* S, *ἔμελε* Tr., unde *ἔμελλε* Gesn.[3] p. 201, vulg. ‖ **11** *ἐκκλησία* Hirschig misc. philol. p. 190: *ἐκκλησίας* S ‖ **14** *ἐπέσκωπτεν* Ael.: *ἀπέσκωπτεν* S | *εἰς* S: *ἐς* tacite Hercher ed. Teubn. ‖ **16** ecl. cum lemm. hab. S (post ecl. 29, 60) M A Mac. Chrys. (post ecl. 29, 59) ‖ **20** ecl. cum lemm. hab. S M A ‖ **21** *πλείων* M ‖ **23** ecl. hab. S M A post ecl. 29, 62. alterius recensionis

Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέρην παρασκευάζουσι.

64 *Τοῦ αὐτοῦ* (fr. mor. 84 Mullach.).

Πόνος συνεχὴς ἐλαφρότερος ἑωυτοῦ συνηθίῃ γίνεται.

65 *Ἀντισθένους.*

Ἡδονὰς τὰς μετὰ τοὺς πόνους διωκτέον, ἀλλ' οὐχὶ τὰς πρὸ τῶν πόνων.

66 *Δημοκρίτου* (fr. mor. 115 Mullach.).

Πλέονες ἐξ ἀσκήσιος ἀγαθοὶ γίνονται ἢ ἀπὸ φύσιος.

67 *Τοῦ αὐτοῦ* (fr. mor. 88 Mullach.).

Τὸ αἰεὶ μέλλειν ἀτελέας ποιέει τὰς πρήξιας.

68 *Σωκράτους.*

⟨Σωκράτης⟩ ἐν γήρᾳ κιθαρίζων παρὰ Κόννῳ τῷ κι-

---

vestigium servarunt M A iterata ecloga post ecl. 29, 83, nam ante ecl. 29, 84 eadem collocatur in Br. a vulgata non recessi, neque enim unius alteriusve eclogae traiectione pristinus ordo poterit recuperari. eandem autem sententiam intra tam exiguum spatium bis posuisse gnomologum aegre credideris. lemmatis loco *δημο*ˢ suo more S (*Δημοσθ.* Tr. p. 161), *δημοκρίτου* utroque loco M A, *δῆμα* (supra Γ') Br. eadem sententia legitur sine lemm. Anton. II c. 45 p. 118, cum lemm. *Δημοκρίτ.* Maxim. c. 32 p. 621 Combef. cf. supra ecl. 59

1 *ἀεκουσίων* scr. Meineke | *ἐλαφροτέρην* (ut scripsit Meineke) S, MA loco priore; *-τέραν* MA post ecl. 83, Br Ant. Max. ‖ **3** ecl. cum lemm. hab. S M A (post ecl. 29, 63) Mac. Chrys. (post ecl. 29, 61) ‖ **4** *ἑαυτοῦ* S M A | *συνηθίῃ* (sic) S *συνηθείῃ* (-*ῃ* A) M A; *τῇ συνηθείᾳ* Tr. p. 162, inde vulg. ‖ **5** ecl. cum lemm. hab. S M A ‖ **8** ecl. cum lemm. hab. S M A cf. ecl. 11. 54 ‖ **9** *γίνονται* A: *γίγνονται* SM ‖ **10** ecl. cum lemm. hab. S M A (post ecl. 29, 65) Br (post ecl. 29, 41); *τοῦ αὐτοῦ* S A *δημοκρίτ* M *σωσθε* (compendium supra ε) Br. recurrit Democrat. 46 ‖ **11** *μέλλον* Democratis cod. Pal. | *ποιέει* M A Democrat.: *ποιεῖ* S | *πράξιας* Democratis cod. Pal. ‖ **12** ecl. et lemma hab. M A Br, om. S. *σωκράτους* M, compend. Br, *σωκράτης* ut videtur A. cf. Suidas s. v. *Σωκράτης* p. 844, 23 Bernh.; Sextus Empiricus adv. mathem. p. 750, 26 Bekk.; Laert. II 32; Valerius Maximus VIII 7. respicit Cicero de senect. 26, al. ‖ **13** *Σωκράτης* — 641, 1 *τηλικοῦτος ὤν* om. Br | *Σωκράτης* addidit Gaisford duce Gesnero (ed. sec. p. 201) qui suo more lemma omisit in contextu verborum: om. M A | *γήρα* ex *γῆρα* corr. M¹ | *κιθαρίζων παρὰ Κόννῳ τῷ κιθαρῳδῷ καὶ* scripsi:

θαρῳδῷ καί τινος εἰπόντος ʽκιθαρίζεις τηλικοῦτος ὤν;' ʽκρεῖττον' εἶπεν ʽὀψιμαθῆ εἶναι ἢ ἀμαθῆ'.

69 *Φαβωρίνου* (fr. 107 Marres.).

Γραῦν τινά φασι μόσχον μικρὸν ἀραμένην καὶ τοῦτο καθ' ἡμέραν ποιοῦσαν λαθεῖν βοῦν φέρουσαν.

70 *Ἐκ τῶν Ἀριστοτέλους Χρειῶν.*

Λᾶσος ⟨ὁ⟩ Ἑρμιονεὺς ἐρωτηθεὶς τί εἴη σοφώτατον, ʽπεῖρα' ἔφη.

71 *Ξενοφῶντος ἐξ Ἀγησιλάου* (XI 9).

Δόξης δ' οὐδεμιᾶς ἦρα, ἧς οὐκ ἐξεπονεῖτο.

72 *Ξενοφῶντος ἐκ τοῦ πρώτου τῆς Παιδείας* (I 4, 5).

Οὐκ ἀπεδίδρασκεν ἐκ τοῦ ἡττᾶσθαι εἰς τὸ μὴ ποιεῖν ἃ ἡττῷτο· ἀλλ' ἐκαλινδεῖτο ἐν τῷ πειρᾶσθαι αὖθις ἄμεινον ποιεῖν.

κιθαρίζων καὶ nec plura M *κιθαρίζων παρακοωτι* (ἦν supra scr.) (sic) *τῶ κιθαρωδῶν καὶ* A; *κιθαρίζων καὶ παρακρούων ἐτύγχανε καὶ* temere Gesn.[2] p. 201, inde vulg. *κιθαρίζων παρὰ Κόννῳ τῷ κιθαρῳδῷ ἐτύγχανε* (ubi *Κόννῳ τῷ κιθαρῳδῷ* Grotius) Gaisford et Meineke. cf. Krueger *gr. sprachl.*[5] 56, 14, 2. de Mac. Chrys. vide Addenda

2 sententiam Soloni adsignat Suidas l. c., alii, Cleobulo sunt qui restitui velint supra p. 112, 4 | *εἶπεν* om. Br ‖ **3** ecl. cum lemm. hab. S (post ecl. 29, 67) M A (post ecl. 29, 70); *φαβουρίνου* S M A ‖ **4** *τινὰ φασὶν* M ‖ **6** ecl. cum lemm. hab. S (post ecl. 29, 69) M A Mac. Chrys. (post ecl. 29, 68), sine lemm. Br (post ecl. 29, 68 sed om. 69). fortasse igitur rectior haec dispositio: 68. 70. 69. recurrit ecloga sine lemm. corp. Par. 992 Elt., item in cod. Par. 1310 Boisson. anecd. gr. IV p. 197 ‖ **7** *Λᾶσος* cod. Par. Boiss.: *τάσσος* S M A Br Mac. *Λασσὸς* corp. Par. | *ὁ* addidi ex cod. Boiss. corp. Par. | *ἑρμϊορεὺς* Mac. *ἑρμηνεὺς* corp. Par. | *ἐρωτηθεὶς* S Br: *ἐρωτηθεὶς ὑπό τινος* M A Mac. corp. Par. cod. Boiss. | *σοφώτατον* aperte etiam S, fallitur Gaisford; *σοφώτερον* Tr. p. 162 ‖ **8** *πεῖρα* A Mac. corp. Par.: *πειραν* sine acc. S *πεῖραν* M Br *ἡ πεῖρα* cod. Par. Boiss. articulum recepit Meineke ‖ **9** ecl. cum lemm. hab. S (post ecl. 29, 70) M A (post ecl. 29, 69); *ἐξ* ante *ἀγ.* accessit ex M, *ἀγησιλάου* om. S ‖ **10** *ἐξεπονεῖτο* S M A: *ἐξεπόνει τὰ ἴδια* Xen. ‖ **11** ecl. cum lemm. hab. S M A; *ξενοφῶντος* (compend.) *ἐκ* ^τ *α' παιδείας* S *ξενοφῶντος* (*τοῦ αὐτοῦ* A) *ἐκ τοῦ πρώτου τῆς παιδείας* M A; malim *τῆς ⟨Κύρου⟩ παιδείας*, sed cf. III 16, 26 ‖ **12** *οὐκ* S M A: *ὡς δ' οὐκ* Xen. ‖ **13** *ἃ* S M A ut Xenophontis Erlangensis: *ὃ* Xenophontis plurimi | *ἐκαλινδεῖτο* Xenophontis plurimi: *ἐκυλινδεῖτο* S M A | *βέλτιον* Xen.

73 *Ξενοφῶντος.*

Κῦρος ἐστὶ βασιλέως καὶ ἀδελφὸς καὶ υἱὸς καὶ ἄρχει πολλῆς χώρας, κἀκεῖνος οὔτ' ἂν ἀριστήσειεν οὔτε δειπνήσειεν, πρὶν ἱδρῶσαι.

74 *Ξενοφῶντος ἐκ τοῦ α' τῆς Κύρου παιδείας* (I 5, 9—10).

Καίτοι ἔγωγε οἶμαι οὐδεμίαν ἀρετὴν ἀσκεῖσθαι ὑπ' ἀνθρώπων, ὡς μηδὲν πλέον ἔχωσιν οἱ ἀγαθοὶ γενόμενοι τῶν πονηρῶν· ἀλλ' οἵ τε τῶν παραυτίκα ἡδονῶν ἀπεχόμενοι οὐχ ἵνα μηδέποτ' εὐφρανθῶσι, τοῦτο πράττουσιν, ἀλλ' ὅπως διὰ ταύτην τὴν ἐγκράτειαν πολλαπλάσια εἰς τὸν ἔπειτα χρόνον εὐφραίνωνται, οὕτω παρασκευάζονται· οἵ τε λέγειν προθυμούμενοι δεινοὶ γενέσθαι οὐχ ἵνα εὖ λέγοντες μηδέποτε παύσωνται, τοῦτο μελετῶσιν, ἀλλ' ἐλπίζοντες τῷ λέγειν εὖ πείθοντες πολλοὺς ἀνθρώπους μεγάλα ἀγαθὰ διαπράξασθαι· οἵ τ' αὖ τὰ πολεμικὰ ἀσκοῦντες οὐχ ὡς μαχόμενοι μηδέποτε παύσωνται, τοῦτ' ἐκπονοῦνται, ἀλλὰ νομίζουσι καὶ οὗτοι τὰ πολεμικὰ ἀγαθοὶ γενόμενοι πολὺν μὲν ὄλβον, πολλὴν δὲ εὐδαιμονίαν, μεγάλας δὲ τιμὰς καὶ τῇ πόλει καὶ αὑτοῖς περιάψειν.

---

1 ecl. cum lemm. hab. SMA (post ecl. 29, 72) Mac. Chrys. (post ecl. 29, 70), sine lemm. Br (post ecl. 29, 70); *ξ̃ αυτ* S, fallitur Gaisford, *ξενοφῶντος* M Mac. *τοῦ αὐτοῦ* A. liberius haec suaque Minerva composuit gnomologus respiciens Cyrop. VIII 1, 38 *καὶ οὔτ' αὐτός ποτε πρὶν ἱδρῶσαι δεῖπνον ᾑρεῖτο οὔτε ἵπποις ἀγυμνάστοις σῖτον ἐνέβαλλε.* cf. oecon. 4, 24 *ὄμνυμί σοι τὸν Μίθρην, ὅταν περ ὑγιαίνω, μηπώποτε δειπνῆσαι πρὶν ἱδρῶσαι κτἑ.* ‖ **2** *ἀδελφὸς* SMA (compend. S): *ἀδελφιδοῦς* Tr. p. 162, inde vulg. ‖ **5** ecl. cum lemm. hab. SMA; pro lemm. *ἐν ταυτ̃* nec plura S ‖ **6** *ἔγωγε* SMA ut Xenophontis Erlangensis: *ἐγὼ* Xen. ‖ **7** *πλεῖον* Xenophontis plurimi | *ἀγαθοὶ* SMA cum nonnullis Xenophontis: *ἐσθλοὶ* Xen. ‖ **9** *μηδέποτε* M ‖ **10** *ὅπως* et mox (11) *εὐφραίνωνται* SMA: *ὡς — εὐφρανούμενοι* Xen. ‖ **11** *παρασκευάζονται* SM Xen.: *παρασκευάζωνται* A ‖ **14** *πολλοὺς ἀνθρώπους μεγάλα* SMA sicut Xenophontis Erlangensis: *ἀνθρώπους πολλὰ καὶ μεγάλα* Xen. ‖ **15** *οἵ τ' αὖτὰ* vel *οἵ* (*οἱ* in *οἵ* corr. M[1]) *τ' αὐτὰ* SMA: *καὶ οἱ ταῦτα τὰ* Xen. ‖ **17** *ἐκπονοῦνται* SMA Xenophontis Erlangensis: *ἐκπονοῦσιν* Xen. | *νομίζοντες* Xen. ‖ **18** *πολλὴν* SM Xen.: *πολὺν* A ‖ **19** *καὶ τῇ πόλει καὶ αὐτοῖς* (*αὑτοῖς* tacite Meineke) SMA: *καὶ ἑαυτοῖς καὶ πόλει* Xenophontis plurimi *καὶ αὑτοῖς καὶ τῇ πόλει* Xenophontis Erlangensis

εἰ δέ τινες ταῦτα ἐκπονήσαντες, πρίν τινα ἀπ' αὐτῶν καρπὸν κομίσασθαι περιεῖδον αὑτοὺς γήρᾳ ἀδυνάτους γενομένους, ὅμοιον ἔμοιγε δοκοῦσι πεπονθέναι, οἷον εἴ τις γεωργὸς ἀγαθὸς προθυμηθεὶς γενέσθαι καὶ εὖ σπείρων καὶ εὖ φυτεύων, ὅτε ἀποκαρποῦσθαι ταῦτα δέοι, ἐῴη τὸν καρπὸν ἀσυγκόμιστον εἰς τὴν γῆν πάλιν καταρρεῖν· καὶ εἴ τις ἀθλητὴς πολλὰ πονήσας καὶ ἀξιόνικος γενόμενος ἀναγώνιστος διατελέσειεν, οὐδ' ἂν οὗτος ἔμοιγε δοκεῖ δικαίως ἀναίτιος εἶναι ἀφροσύνης.

75 *Μουσωνίου ἐκ τοῦ Ὅτι πόνου καταφρονητέον* (rel. p. 182 Peerlk.).

Πρὸς δὲ τὸ ῥᾷον καὶ προθυμότερον ὑφίστασθαι τῶν πόνων ἐκείνους, οὓς ἂν ὑπὲρ ἀρετῆς καὶ καλοκαγαθίας μέλλωμεν πονεῖν, ταῦτα λελογίσθαι χρήσιμα· πόσα μὲν πονοῦσιν ἔνιοι δι' ἐπιθυμίας κακάς, ὥσπερ οἱ ἐρῶντες ἀκολάστως, πόσα δ' ὑπομένουσιν ἄλλοι τοῦ κερδαίνειν χάριν, πόσα δ' αὖ κακοπαθοῦσιν ἔνιοι θηρώμενοι δόξαν· καὶ ὅτι οὗτοι πάντες ὑπομένουσιν αὐθαίρετοι πᾶσαν ταλαιπωρίαν. ἆρ' οὖν οὐχὶ δεινὸν ἐκείνους μὲν ὑπὲρ οὐδενὸς τῶν καλῶν ἀνέχεσθαι ταῦτα πάσχοντας, ἡμᾶς δ' ὑπὲρ καλοκαγαθίας καὶ τοῦ κακίαν μὲν ἐκφυγεῖν τὴν λυμαινομένην ἡμῶν τὸν βίον, κτήσασθαι δὲ ἀρετήν, ἥ τις

---

1 *τινα καρπὸν ἀπ' αὐτῶν* Xen. ‖ **2** *περιεῖδον αὑτοὺς* (vel *αὐτ-*) SMA Xen.: *αὐτοὺς* (om. *περιεῖδον*) Tr.; *περιεῖδον* male supplevit post *γινομένους* (3) Gesn.[1] p. 198, inde vulg. | *γῆρα* M ‖ **3** *γενομένους* Xen.: *γινομένους* SMA | *οἷον* om. A[1] ‖ **5** *ὅτε ἀποκαρποῦσθαι* SMA: *ὁπότε* (vel *ὁπότε αὐτὸν*) *καρποῦσθαι* libri Xen. ‖ **7** *εἴ τίς γε ἀσκητὴς* Xen. ‖ **8** *οὗτος ἔμοιγε* SMA Xenophontis Erlangensis: *οὗτός μοι* Xen. ‖ **10** ecl. cum lemm. hab. SMA (post ecl. 29, 74) Br (post ecl. 29, 95); pro lemm. *μουσωνίου* nec plura Br ‖ **12** initium eclogae usque ad p. 644, 11 *φίλους ἀληθινούς* om. Br | *Πρὸς* in ras. M rubr. ‖ **14** *μέλλομεν* A | *λελογεῖσθαι* M ‖ **15** *ὥσπερ* — 16 *ἀκολάστως* secludi vult Meineke ‖ **16** *πόσοι* S, ubi *δ' ὑπομένουσιν* ut in reliquis, fallitur Gaisford Ecl. II p. 868 | *οἱ* ante *ἄλλοι* add. Tr., inde vulg. ‖ **18** *καὶ ὅτι* libri; praestat fortasse *καίτοι* vel *καὶ* [*ὅτι*] *οὗτοι* ‖ **20** *ἡμᾶς* etiam A, errat Gaisford ‖ **22** *ἡμ$\overset{ω}{ι}$ν* A[2] | post *ἥτις* rasura S

ἁπάντων τῶν ἀγαθῶν ἐστι χορηγός, μὴ πάντα πόνον ἑτοίμως ὑφίστασθαι; καίτοι οὐδ᾽ ἂν εἴποι τις ὅσῳ κρεῖττον, ἀντὶ μὲν τοῦ πονεῖν ἵνα τύχῃ τις γυναικὸς ἀλλοτρίας, τὸ πονεῖν ἵνα παιδαγωγήσῃ τὰς ἐπιθυμίας τὰς ἑαυτοῦ· ἀντὶ δὲ τοῦ περὶ χρημάτων ταλαιπωρεῖν τὸ ἀσκεῖν ὥστε ὀλίγων δεῖσθαι· πρὸ δὲ τοῦ πράγματα ἔχειν ὑπὲρ δόξης τὸ πραγματεύεσθαι ὅπως μὴ δοξοκόπος ᾖ· πρὸ δέ γε τοῦ ζητεῖν ὅπως ᾧ φθονεῖ τις κακοποιήσῃ τοῦτον, τὸ σκοπεῖν ὅπως μηδὲν φθονήσῃ μηδενί· καὶ πρό γε τοῦ δουλεύειν τισὶ καλουμένοις φίλοις, ὥσπερ οἱ κόλακες, τὸ κακοπαθεῖν ἵνα κτήσηται φίλους ἀληθινούς· καθόλου δὲ τοῦ πονεῖν πᾶσιν ἀνθρώποις ἀναγκαίου ὄντος, τοῖς τε τῶν κρειττόνων ὀρεγομένοις καὶ τοῖς τῶν χειρόνων, τὸ μὴ πολλῷ εἶναι προθυμοτέρους πονεῖν τοὺς τὰ κρείττω μετιόντας ⟨ἢ⟩ οἷς ἐλπίδες μικραὶ τῶν πόνων εἰσίν, ἀτοπώτατον. ἀλλ᾽ οἱ μὲν ἄρα θαυματοποιοὶ δύσκολα οὕτως ὑφίστανται πράγματα καὶ τὴν ζωὴν παραβάλλονται τὴν ἑαυτῶν, οἱ μὲν εἰς μαχαίρας κυβιστῶντες, οἱ δ᾽ ἐπὶ κά-

---

1 *δὲ* libri nisi quod *γὰρ* A | *τοῖς ἀργοῖσιν* mon. 242 ‖ **2** ecl. cum lemm. hab. SMA, sine lemmate Br. vertit Pseudausonius epigr. 117. respicit Theophylactus Simoc. ep. 61 p. 781 Herch.: *ἀργὸς γὰρ ὢν ἀθλιώτερος εἶ τοῦ πυρέσσοντος, ἐσθίων μάτην διπλάσια* ‖ **4** versus nondum sanatus: *ἔστ' ἀθλιώτερος διπλᾶ οἷα γ' οὖν* S *ἔστ' ἀθλιώτερος διπλάσια γ' οὖν* M et sic fere Br *ἔστ' ἀθλιώτερος δίπλαοι ἄγουν* A. *ἀχρειότερος, διπλάσια δ' ἐσθίει μάτην* Dobree adv. II p. 274 et *ἀχρειότερος* iam Bentley. *ἔστ' ἀθλιώτερος, διπλάσι' ἔσθει μάτην* Buecheler. numeris trochaicis proposuit Meineke —◡— *ἀργὸς ὑγιαίνων τοῦ π. π. Ἀθλιώτερος· διπλάσια γοῦν κατεσθίει μάτην* ‖ **5** ecl. cum lemm. hab. S, om. MA ‖ **7** *δεῖ* Porson adv. p. 303: *ἀεὶ* S ‖ **8** *ἐπάξιόν τι* Tr.: *ἐπάξιόν τοι* S; *ἐπάξιον* operarius Gesn.¹ p. 208, inde vulg. | *μηδὲ περινοστεῖν* Porson: *μηδὲν περινοστεῖν δὲ* S ‖ **10** ecl. cum lemm. hab. SMA ‖ **11** *πάσχουσι* SM ‖ **12** *ῥώμῃ φρονοῦντες* ci. Vnger Theb. parad. p. 373, *αὐτοὶ φρονοῦντες* ego exerc. cr. p. 48 sq. ‖ **13** *ψυχῇ* in -*ὴ* corr. M¹. *τύχῃ* coniecit Meineke in Stob., postea *πρὸς κακῶν* Fleckeiseni annal. v. LXXXVII p. 384, *ψυχῇ τὰ πολλὰ προσφιλῶν νικώμενοι* H. Weil ‖ **14** ecl. cum lemm. hab. SMA (post ecl. 30, 9) Br (post ecl. 30, 7); *ἔργων* in lemm. om. SBr ‖ **15. 16** om. Br | post *ἀεργὸς ἀνὴρ* magnus hiatus in A, proximum fol. 58ʳ incipit a verbis *ἢ βρωμάτων* id est a capitis 34 ecloga 14 media

ἥμενον ἐν λέσχῃ, τῷ μὴ βίος ἄρκιος εἴη.

11 *Εὐριπίδου Μελανίππῃ* (fr. 512 N.²).

Ἀργὸς πολίτης κεῖνος, ὡς κακός γ' ἀνήρ.

12 (Eur. El. 80—81)

Ἀργὸς γὰρ οὐδεὶς θεοὺς ἔχων ἀνὰ στόμα
βίον δύναιτ' ἂν συλλέγειν ἄνευ πόνων.

13 *Ἀναξάρχου.*

Ἀνάξαρχος ἔλεγεν, εἰ μέν τινί τις καταράσαιτο ἀχρήστους αὐτῷ γενέσθαι τὰς χεῖρας καὶ τοὺς πόδας, ὀργίζεσθαι ἂν αὐτῷ, τοὺς δὲ πλουσίους ἔργῳ ἀχρήστους τοὺς πόδας καὶ τὰς χεῖρας ποιοῦντας αὐτῶν μακαρίζειν σφᾶς ἐπὶ τούτῳ.

14 *Δημοσθένους Ὀλυνθιακῶν α'* (I § 15 p. 13).

Πρὸς θεῶν, τίς οὕτως εὐήθης ὑμῶν, ὅστις ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον δεῦρ' ἥξοντα, ἂν ἀμελήσωμεν; ἀλλὰ μὴν εἰ τοῦτο γενήσεται, δέδοικα, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τὸν αὐτὸν τρόπον ὥσπερ οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τοῖς με-

---

1 versum om. Br || **2** ecl. hab. S M; ευρι$^{\pi\delta}$ μελανι$^{\pi}$ S εὐρ. μελανίππῃ M || **3** ὡς ἀνὴρ κακός mavult Nauck || **4** ecl. sine lemmate cohaeret cum praegressa in S M: separavit Gaisford. *Τοῦ αὐτοῦ* praefigunt Gaisford et Meineke. melius inseruissent *Ἠλέκτρᾳ*, poetae nomen non iteratur solito more || **6** ξυλλέγειν ἄνευ πόνου Eur. || **7** ecl. sine lemmate hab. S, lemma addidit M. num genuinum, dubito. fortasse desumpta est ecloga ex apomnemoneumatis Sereni qui Abderitae dialectum hic non magis curaverit quam supra Stob. II 31, 116 p. 229 Wachsm. de Anaxarcho Stobaei videatur III 34, 19 p. 686, 14 || **9** ὀργίζεσθαι S: ὀργίζεσθε M || **10** αὐτῷ M: αὐτὸν S || **11** ποιοῦντας ex ποιούντων corr. accentu non mutato S¹ || **12** τούτωι S: τούτων M Tr. p. 172 || **13** ecl. cum lemm. hab. S M; Δημοσθένους (Δημοσθ$^{\varepsilon}$ S) ὀλυνθιακῶν (compend. S) α' S M, Δημοσθένης nec pl. Tr. p. 172 || **14** οὕτως S Demosth.: οὐτοσ M | εὐήθης (quod Demostheni nuper reddidit Blass) S: ἐστὶν εὐήθης M; εὐήθης ἐστὶν Demosth., ubi ἐστιν εὐήθης A et Y | τὸν, sed litt. τὸ in ras. M² || **15** ἥξοντ', ἐὰν Blass || **16** ω^{ΘΘ} (i. e. ὦ ἄνδρες Ἀθηναῖοι, ut Demosth.) S τῶ (quod ortum puto ex comp. ω^{Θ}) M: ὦ ἀθηναῖοι Tr., inde vulg.

γάλοις τόκοις, μικρὸν εὐπορήσαντες χρόνον ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστησαν, οὕτω καὶ ἡμεῖς ἂν ἐπὶ πολὺ φανῶμεν ἐρρᾳθυμηκότες, καὶ ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες, πολλὰ καὶ χαλεπὰ ὧν ἐβουλόμεθα ὕστερον εἰς ἀνάγκην ἔλθωμεν ποιεῖν, καὶ κινδυνεύσωμεν περὶ τῶν ἐν αὐτῇ τῇ χώρᾳ.

15 *Εὐσεβίου* (fr. 33 phil. gr. III p. 12 Mull.).

Σῶμα ἀργίη τήκει, ψυχὴν δὲ ἀμελετησίη ἀσκήσιος τῶν αὐτὴν ἀειρόντων πρὸς τὸ θεοειδέστατον.

16 *Ξενοφῶντος ἐν γ' Ἀπομνημονευμάτων* (III 9, 9).

Σχολὴν δὲ σκοπῶν τί εἴη, ποιοῦντας μέν τι τοὺς πλείστους εὑρίσκειν ἔφη· καὶ γὰρ τοὺς πεττεύοντας καὶ τοὺς γελωτοποιοῦντας ποιεῖν τι, πάντας δὲ τούτους ἔφη σχολάζειν ἰέναι πράξοντας τὰ βελτίω τούτων· ἀπὸ μέντοι τῶν βελτιόνων ἐπὶ τὰ χείρω ἰέναι οὐδένα σχολάζειν· εἰ δέ τις ἴοι, τοῦτον ἀσχολίας αὐτῷ οὔσης τοῦτο πράττειν.

17 *Πλάτωνος* (de leg. VII p. 807 E — 808 C).

---

1 '*τόκοις* om. Priscian. XVIII § 295. ita explicatur articulus *τοῖς ante μεγάλοις*' Blass ‖ **2** *οὕτω* SM, Demosth. vulg.: *οὕτως* Demosthenis SB, Voemel, Blass | *καὶ ἡμεῖς ἂν* secludit Blass, *ἂν* delet Dobree | *ἐπὶ πολλῷ* Demosth. ‖ **4** *ἐβουλόμεθα* SM: *οὐκ ἠβουλόμεθα* Demosthenis libri, unde *οὐκ* recepit Meineke, sed vid. Blass comm. crit. p. XXIX ‖ **7** ecl. cum lemm. hab. SM (post ecl. 30, 14) Br (post ecl. 30, 17) ‖ **8** *ἀμελετησίη* libri; *ἀμελησίη* Meineke v. IV p. LXIV. *ἀμελετησίη ἀσκήσιος* scripsit et adiectivorum structurae memor velut horum *ἄπαιδα ἄρσενος καὶ θήλεος γόνου* (Herodot. III 66) *ἀπαθέες πόνων τοιούτων* (ibid. VI 12) sim. ‖ **9** *ἀειρόντων* S *αἰρόντων* M *ἐγειρόντων* Br sed *ἐγ* in ras. Br[1] ‖ **10** eclogam et lemma hab. S, om. M; *ξε ἐν ᾱ αμν* (π η superscr.) S, numerum correxit Meineke ‖ **11** *μέν τι* tacite ex Xen. Gesn.[1] p. 208, inde vulg.: *μέντοι* S ut Xenophontis B al. ‖ **14** *σχολάζειν· ἐξεῖναι γὰρ αὐτοῖς ἰέναι* tacite ex Xen. Gesn.[1], inde vulg., potius secundum Stobaeum mala codicum Xenoph. emblemata resecanda esse hic et 16 perspexit Buecheler ‖ **16** *οὔσης κακῶς ἔφη τοῦτο* tacite ex Xen. scripsit Gesn.[1], inde vulg. ‖ **18** ecl. cum lemm. hab. S (post ecl. 30, 16) M (post ecl. 30, 15) Br (post ecl. 30, 4). tmema *ὕπνος δὲ* (p. 668, 13) usque ad fin. legitur supra III 1, 203 p. 159, 4 (*Τοῦ αὐτοῦ Νόμων ζ'*), ubi nostri capitis eclogam debui respicere

Τὸ γὰρ ὅλην διατελεῖν ἥντινοῦν νύκτα καθεύδοντα, καὶ ὅντινοῦν τῶν πολιτῶν, καὶ μὴ φανερὸν εἶναι πᾶσι τοῖς οἰκέταις ἐγειρόμενόν τε καὶ ἐξανιστάμενον αἰεὶ πρῶτον, τοῦτ' αἰσχρὸν δεῖ δεδόχθαι πᾶσι, καὶ οὐκ ἐλευθέρου, εἴτ' οὖν νόμον εἴτ' ἐπιτήδευμα τὸ τοιοῦτον καλεῖν ἐστι χρεών. καὶ δέσποιναν ἐν οἰκίᾳ ὑπὸ θεραπαινίδων ἐγείρεσθαί τινων, καὶ μὴ πρώτην αὐτὴν ἐγείρειν τὰς ἄλλας, αἰσχρὸν λέγειν χρὴ πρὸς αὑτοὺς δούλην τε καὶ δοῦλον καὶ παῖδα καὶ εἴ πως οἷόν τε ὅλην καὶ πᾶσαν τὴν οἰκίαν. ἐξεγειρομένους δὲ νύκτωρ δεῖ πάντας πράττειν τῶν τε πολιτικῶν μέρη πολλὰ καὶ τῶν οἰκονομικῶν, ἄρχοντας μὲν κατὰ πόλιν, δεσποίνας δὲ καὶ δεσπότας ἐν ἰδίαις οἰκίαις. ὕπνος γὰρ δὴ πολὺς οὔτε τοῖς σώμασιν οὔτε ταῖς ψυχαῖς ἡμῶν οὐδ' αὖ ταῖς πράξεσι ταῖς περὶ ταῦτα πάντα ἁρμόττων ἐστὶ κατὰ φύσιν. καθεύδων γὰρ οὐδεὶς οὐδενὸς ἄξιος, οὐδὲν μᾶλλον τοῦ μὴ ζῶντος· ἀλλ' ὅστις τοῦ ζῆν ἡμῶν καὶ τοῦ φρονεῖν μάλιστά ἐστι κηδεμών, ἐγρήγορε χρόνον ὡς πλεῖστον, τὸ πρὸς ὑγίειαν αὐτοῦ φυλάττων μόνον χρήσιμον· ἔστι δὲ τοῦτο οὐ πολὺ καλῶς εἰς ἔθος ἰόν. ἐγρηγορότες δὲ ἄρχοντες ἐν πόλεσι

---

1 *Τὸ γὰρ — ἐν οἰκίαις ἰδίαις* (12) om. Br | *νύκτα εὕδοντα* Plat. || **3** *ἀεὶ* Plat. || **5** *τοιοῦτον* M Tr. Plat.: *τοιοῦτο* S | *ἐστιν* M || **6** *καὶ δέσποιναν* SM: *καὶ δὴ καὶ δέσπ.* Plat. Stobaeo fortasse reddendum; *καὶ δὴ δέσπ.* non recte Gesn.[1] p. 210, vulg. || **7** *ἐγείρειν* sed *εί* ex corr. M[1] || **8** *αὑτοὺς* Ast: *αὐτοὺς* SM et fere libri Platonis | *δούλην τε* (vel *τὲ*) *καὶ δοῦλον* (*δούλων* compend. M) SM: *δοῦλόν τε καὶ δούλην* Plat. || **9** *εἴ πως ἦν οἷόν τε* Plat., inde tacite Gesn.[1], vulg. || **10** *πάντας* SM Plat.: *πάντως* Tr., vulg. || **11** *μέρη* tacite ex Platone Gesn.[1], inde vulg.: *ἡμέρα* SM || **12** *ἐν ἰδίαις οἰκίαις* reposui ex M Plat.: *ἐν οἰκίαις ἰδίαις* S Tr., inde vulg.; *ἰδίαις* suspectum Buechelero || **13** *ὕπνος δὲ πολὺς* Stob. III 1 || **14** *αὖ ταῖς* libri nisi quod *αὐταῖς* S ut supra M[d] | *πράξεσιν* SM *-σι* Tr. Br || **15** *καθεύδων κτέ.*] cf. p. 159, 7 adn. || **18** *ὑγίειαν* M Plat.: *ὑγείαν* S Br | *αὑτοῦ* Ast || **19** *φυλάττων μόνον* SM: *μόνον φυλάττων* Br, Stob. III 1, Plat. | *τοῦτο* (*τοῦτ'* Gesn.[1], vulg.) om. Br, Stob. III 1, Plat. || **20** v. *καλῶς — πόλεσι* om. S | *καλὸν* pro *καλῶς* M, fuerit igitur *καλὸς* in libro primitivo ut in compluribus Platonis

νύκτωρ φοβεροὶ μὲν κακοῖς, πολεμίοις ἅμα καὶ πολίταις, ἀγαστοὶ δὲ καὶ τίμιοι τοῖς δικαίοις τε καὶ σώφροσιν, ὠφέλιμοι δὲ αὐτοῖς τε καὶ ξυμπάσῃ τῇ πόλει.

CAPVT XXXI.

ΠΕΡΙ ΑΙΔΟΥΣ.

1 *Εὐριπίδου Τημένῳ* (fr. 746 N.[2]).
Αἰδὼς γὰρ ὀργῆς πλείον' ὠφελεῖ βροτούς.

2 *Εὐριπίδου Ἰφιγενείας* (Aul. 378—380).
Βούλομαί σ' εἰπεῖν κακῶς εὖ, βραχέα, μὴ λίαν ἄνω
βλέφαρα πρὸς τἀναιδὲς ἀγαγών, ἀλλὰ σωφρονεστέρως,
ὡς ἀδελφὸν ὄντ'. ἀνὴρ γὰρ χρηστὸς αἰδεῖσθαι φιλεῖ.

3 *Εὐριπίδου Ἱππολύτου* (fr. 436 N.[2]).
Ὦ πότνι' αἰδώς, εἴθε τοῖς πᾶσιν βροτοῖς

---

1 *πολεμίοις ἅμα* M: *πολεμίοις τε ἅμα* Br, Stob. III 1, Plat.; malim *πολεμίοις θ' ἅμα* ‖ **3** *αὑτοῖς* Plat.: *αὐτοῖς* libri

Caput XXXI habent S L M, paucas eclogas Br. inscriptio legitur sic ut apud Photium in S M Br, numerus in S M, sed *κϛ'* in S. genuinus eclogarum ordo nec in S M servatus videtur nec in L, secutus sum illos ‖ **6** ecl. sine lemm. hab. S (in capitis principio), addito lemm. *εὐρ. τιμαίω* M (eodem quo S loco), poetae nomine non iterato, fabulae omisso L (post ecl. 31, 2). legitur ecloga et lemma *Εὐριπίδου* corp. Par. 674 Elt. *Τημένῳ* revocavit Nauck. de codice S fallitur Gaisford. nullum ibi legitur lemmatis vestigium frustraque olim cogitabant de *Τέννῃ* pseudeuripidea. deceptum esse Gaisfordum lineamentis quibusdam quae in tituli praecedentis calce posuit more solito S[1] suspicatur Mekler ‖ **7** *Αἰ* in *Αἰδὼς* om. rubro addendum L | *πλείον'* Nauck: *πλεῖον* libri ‖ **8** ecl. cum lemm. hab. S M (post ecl. 31, 1) L (tamquam primam); *ἐξ ἰφ.* L fortasse recte ‖ **9** *σ'* om. M | *αὖ* pro *εὖ* Markland ‖ **10** *φρονεστέρως* (supra scr. *σω*) S[1] ‖ **11** *ἀνὴρ γὰρ χρηστὸς αἰδεῖσθαι φιλεῖ* M et sic suspicatus erat Grotius: *ἀνὴρ γὰρ χρηστος χρηστὸν αἰδεῖσθαι φιλεῖ* L S *ἀνὴρ γὰρ αἰσχρὸς* (vel *αἰσχρῶς*) *οὐκ αἰδεῖσθαι φιλεῖ* Euripidis libri ‖ **12** ecl. cum lemm. hab. S M (post ecl. 31, 2), poetae nomine non iterato, fabulae omisso L (post ecl. 31, 1), sine lemm. Br (tamquam primam capitis); *τοῦ αὐτοῦ* pro *εὐρ.* S ‖ **13** *Ὦ* om. rubr. addendum L | *πότνια* L S M | *εἴτε* S | *πᾶσιν* tacite Grotius dict. poet. p. 137: *πᾶσι* S M L Br | *βροτοῖς* ex *βροτῶν* corr. S[1]

συνοῦσα τἀναίσχυντον ἐξήρου φρενῶν.

4 *Ἡσιόδου Ἔργων* (318).

Αἰδώς, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν.

5 *Μενάνδρου Ὁμοπάτριοι* (fr. 1 com. IV p. 178).

Πᾶς ἐρυθριῶν χρηστὸς εἶναί μοι δοκεῖ.

6 *Μουσωνίου* (p. 256 Peerlk.).

Αἰδοῦς παρὰ πᾶσιν ἄξιος ἔσῃ, ἐὰν πρῶτον ἄρξῃ σαυτὸν αἰδεῖσθαι.

7 *Δημοκρίτου* (cf. fr. mor. 98 Mullach.).

Φαῦλον, κἂν μόνος ᾖς, μήτε λέξῃς μήτ' ἐργάσῃ· μάθε δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι.

8 *Πυθιάδος.*

Πυθιὰς ἡ Ἀριστοτέλους τοῦ φιλοσόφου θυγάτηρ ἐρωτηθεῖσα ποῖον κάλλιστον χρῶμα, ἔφη 'τὸ διὰ τὴν αἰδῶ τοῖς ἐλευθέροις ἐπιγιγνόμενον'.

---

2 ecl. hab. SM (post ecl. 31, 3) L (post ecl. 31, 15); *Ἡσιόδου ἔργων* reposui ex M, *Ἡσιόδου* nec plura SL. cf. III 29, 4 ‖ **4** ecl. hab. SML: *Μενάνδρου ὁμοπάτριοι* M *Μενάνδρου* (*μ*$^{\varepsilon}$ S) fabulae nom. omisso SL. cf. lemma III 37, 10. *Ὁμοπατριῶν* (voluit *-ίων*) Gaisford ‖ **5** *πᾶς* libri: *ἅπας* Grotius dict. poet. p. 137. malui mancum edere, possunt plura cogitari ‖ **6** ecl. cum lemm. hab. SM (post ecl. 31, 5) L (post ecl. 31, 17) Br (post ecl. 31, 3). iterat eclogam et lemma corp. Par. 675 Elt. recurrit in florilegio Schenkelii (*Wien. stud.* XI p. 10) 3 ‖ **7** *ἄρξηι* S *ἄρξη* L Br *ἄρξῃ* flor. Schenk.: *ἄρξῃς* M, inde vulg. | *σεαυτὸν* flor. Schenk. ‖ **9** ecl. hab. SMLBr; *Δημο*$^{\kappa\tau\iota}$ L (sic, non ut adnotavit Meineke v. IV p. LXIV) M *δημο*$^{\kappa\rho}$ Br *δημο*$^{\varsigma}$ suo more S. sed cum eclogae lemmati subiectae nullum insit dialecti vestigium (cf. Meineke l. c.), paene in eo fuit, ut lacunam signarem. intercidit autem ni fallor gnoma quam tradidit Democrates qui dicitur n. 50 Orell.: *Ἑωυτὸν πρῶτον αἰσχύνεσθαι χρεὼν τὸν αἰσχρὸν ἔρδοντα,* nisi males conicere eam sententiam quae legitur flor. 46, 46 hoc loco a Stobaeo praeceptam esse. certe ionicas formas rescribere dubitavi. ceterum Musonii dicto sententia Democritea subicitur saepius velut III 5, 22. 7, 25 ‖ **10** *μήτ'* S: *μὴ δ'* ML *μηδ'* Br ‖ **11** *ἄλλων* libri nisi quod *ἄθλεων* L | *σεαυτὸν* (*σαυ-* Br) S Br: *ἑαυτὸν* LM ‖ **12** ecl. cum lemm. hab. SM, sine lemm. L. recurrit apophth. Vind. 187 ‖ **13** *τοῦ φιλοσόφου* secluserim, om. L apophth. Vind. | *ἐρωτηθεῖσα* SL apophth. Vind.: *ἐρωτηθεῖσα ὑπό τινοσ* M ‖ **14** *ποῖόν*

9 *Ἰαμβλίχου Σωπάτρῳ περὶ ἀρετῆς.*

Τοιαῦτα δ' ἂν εἴη καὶ τὰ τῆς αἰδοῦς ἀντεχόμενα, τιμῶντα δὲ τὰ χρηστὰ ἤθη, δι' ἣν τῶν αἰσχρῶν πάντων ἀπεχόμεθα· τὴν δὲ ἀναίδειαν ἐξορίζοντα τῆς ψυχῆς, δι' ἣν ὑπὸ τῶν αἰσχρῶν οἱ πολλοὶ ἁλίσκονται.

10 *Θεοφράστου* (fr. CLV Wimmer.).

Αἰδοῦ σαυτόν, καὶ ἄλλον οὐκ αἰσχυνθήσῃ.

11 *Κάτωνος.*

Μάλιστα δ' ἐνόμιζε δεῖν ἕκαστον αἰδεῖσθαι ἑαυτόν· μηδένα γὰρ ἑαυτοῦ μηδέποτε χωρὶς εἶναι.

12 *Στασίνου ἐκ τῶν Κυπρίων* (fr. 20 Kinkel.).

Ζῆνα δὲ τὸν ῥέξαντα καὶ ὃς τάδε πάντ' ἐφύτευσεν,
οὐκ ἐθέλεις εἰπεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

13 *Ὁμήρου* (Il. III 172).

Αἰδοῖός τέ μοι ἐσσί, φίλε ἑκυρέ, δεινός τε.

14 *Τοῦ αὐτοῦ* (Od. XVII 188).

Ἀλλὰ τὸν αἰδέομαι καὶ δείδια.

ἔστι κάλλιον apophth. Vind. | *εἶπε* pro *ἔφη* apophth. Vind. ‖ **15** *ἐπιγιγνόμενον* S M *ἐπιγινόμενον* L apophth. Vind.

1 ecl. et lemma hab. S M L, sed pro lemmate nil nisi *Ἰαμβλί^{ων}* (*Ἰ* om. rubr. addend.) L ‖ **3** *δὲ* S M L; *μὲν* tacite Gesn.² p. 212, vulg. *εἴη ⟨τὰ⟩ τιμῶντα μὲν τὰ χρηστὰ ἤθη καὶ τὰ τῆς αἰδοῦς ἀντεχόμενα* ci. Meineke parum probabiliter, v. *τιμῶντα δὲ τὰ χρηστὰ* secludi vult Wachsmuth ‖ **6** ecl. cum lemm. hab. S M L. iterat lemma et eclogam corp. Par. 676 Elt. ‖ **8** ecl. cum lemm. hab. S M L (post ecl. 31, 10) Br (post ecl. 31, 7); *Πλάτωνος* (*Π* rubr.) L. iterat eclogam et lemma *Κάτωνος* corp. Par. 677 Elt. ‖ **9** *δ' ἐνόμιζε* S L: *δὲ νόμιζε* M Br Tr. p. 173 *νόμιζε* corp. Par. ‖ **10** *μηδένα* L idque suspicatus erat Meineke: *μηδὲν* S M corp. Par. ‖ **11** ecl. cum lemm. hab. S M L; *Στασίνου ἐκ τῶν κυπρίων* M: *στασίμου ἐκ τ̃ κυπρῖ* S nil nisi (*Στ*)*ασίνου* sed *Στ* om. rubr. addend. L. conferatur ecloga 18 ‖ **12** *Μῆνα* (*M* rubr.) L | *δὲ* etiam S, moneo propter Gaisfordum | *τὸν ῥέξαντα* L S M flor. 31, 18: *τόν θ' ἕρξαντα* Plat. Euthyphr. p. 12 A ‖ **13** *Ἵνα γὰρ κτέ.* (*Ἵ* om. rubr. addend.) tamquam nova ecloga a prioribus separatur lemmate non iterato in L ‖ **14** ecl. cum lemm. hab. S M (post ecl. 31, 12) L (post ecl. 31, 5) ‖ **15** *δέ μοι* Apoll. Soph. p. 57, 22 | *ἐσσὶ* S L Hom. al.: *ἐπὶ* M | *ἑκυρέ, δεινός τε* om. L ‖ **16** ecl. hab. lemmate non iterato L, addito lemmate M: om. eclogam ut tamen sub articuli insequentis lemmate facile litterae *αλλ* agnoscantur S, plane om. Tr. ‖ **17** *Ἀλλὰ τὸν* M L Hom.: *Ἀλλ'* temere Gesn.² p. 212, vulg. | *αἰδέομαι* M Hom.: *αιδρόμαι* (sic, teste Schoellio) L

15 *Εὐριπίδου ἐκ Κρεσφόντου* (fr. 457 N.²).

Αἰδὼς ἐν ὀφθαλμοῖσι γίγνεται, τέκνον.

16 *Θεόγνιδος* (1161—1162).

Οὐδένα θησαυρὸν καταθήσεαι ἔνδον ἀμείνω
αἰδοῦς, ἣν ἀγαθοῖς ἀνδράσι, Κύρνε, διδῷς.

17 *Ἀγάθωνος* (fr. 22 p. 767 N.²).

Ἀδικεῖν νομίζων ὄψιν αἰδοῦμαι φίλων.

18 *Πλάτωνος ἐκ τοῦ Εὐθύφρονος* (p. 12 A—C).

Λέγω γὰρ δὴ τὸ ἐναντίον ἢ ὁ ποιητὴς ἐποίησεν ὁ ποιήσας

Ζῆνα δὲ τὸν ῥέξαντα καὶ ὃς τάδε πάντ' ἐφύτευσεν,
οὐκ ἐθέλεις εἰπεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

ἐγὼ οὖν τούτῳ διαφέρομαι τῷ ποιητῇ. εἴπω σοι ὅπῃ;

---

1 ecl. hab. addito lemmate S M (post ecl. 31, 14), sine lemm. cum ecl. 31, 3 coniunctam L; *χρησφον*^τ (*η* ex corr., sine acc.) S *χρησφόντου* M ‖ **2** *δ' ἐν* Tr. | *φαίνεται* mavult Nauck. cf. Ar. Vesp. 447 ‖ **3** ecl. cum lemm. hab. S M (post ecl. 31, 15) L (post ecl. 31, 14) ‖ **4** *καταθήσεται* M. libri Theognidei v. 409—410 exhibent *Οὐδένα θησαυρὸν παισὶν* (*παισὶ* A O) *καταθήσει* (sic A O, *καταθήσῃ* rel.; *καταθήσεαι* suasit Osc. Crueger diss. de Theogn. p. 24) *ἀμείνω Αἰδοῦς ἥ τ' ἀγαθοῖς ἀνδράσι, Κύρν', ἕπεται,* cum versus 1161—1162 ibidem legantur sic *Οὐδένα θησαυρὸν παισὶν καταθήσειν* (sic A; ceteri metro consulentes *καταθήσειν παισὶν*) *ἄμεινον, Αἰτοῦσιν δ' ἀγαθοῖς ἀνδράσι, Κύρνε, δίδου.* atque illud quidem distichon genuinum aestimant, hoc quod gravibus vitiis laborat putant male interpolatum esse sive per parodiam ex illo detortum. immo *αἰτοῦσιν δ' — δίδως* corruptum videtur ex *αἰδοῦς, ἣν — διδῷς* (*δίδῳς* Bergk), quod vidit Bergk p. l.⁴ II p. 219 reddendum esse Stobaeo, ubi libri *αἰδοῦς ἣν — δίδως.* Stobaei lectionem etiam Theognidi vindicat Buecheler ‖ **6** ecl. cum lemm. hab. S M L; *Ἀγα*^θ/ L ‖ **7** *ἀδικεῖν* S: *ἀδικεῖ* M *Δοκεῖν* (*Δ* rubr.) L ‖ **8** ecl. cum lemm. hab. S M (post ecl. 31, 17) L (post ecl. 31, 12) ‖ **9** *ὁ ποιητὴς* L Plat.: *ὁ ποι*^η (*ὅπη* Tr. p. 173) S *ὁ ποι . τὴς* priore *η* eraso M ‖ **11** videatur ecloga 12 | *τόν θ' ἕρξαντα* Plat. | *πάντα* M ‖ **12** *ἵνα — αἰδώς*] cf. quae collegit Kinkel ep. gr. fr. I p. 31 | *ἔνθα* L S Plat.: *ἐνθάδε* M ‖ **13** *ἐγὼ οὖν τούτω* in ras. L¹ | *ὅπου* L

— *Πάνυ γε.* — *Οὐ δοκεῖ μοι εἶναι ἵνα δέος, ἔνθα καὶ αἰδώς· πολλοὶ γάρ μοι δοκοῦσι καὶ νόσους καὶ πενίας καὶ ἄλλα πολλὰ τοιαῦτα δεδιότες δεδιέναι μέν, αἰδεῖσθαι δὲ μηδὲν ταῦτα ἃ δεδίασιν. οὐ καὶ σοὶ δοκεῖ;* — *Πάνυ γε.* — *Ἀλλ' ἵνα γε αἰδώς, ἔνθα καὶ δέος εἶναι· ἐπεὶ ἔστιν ὅστις αἰδούμενός τι πρᾶγμα καὶ αἰσχυνόμενος οὐ πεφόβηταί τε καὶ δέδοικεν ἅμα δόξαν πονηρίας;* — *Δέδοικε μὲν οὖν.* — *Οὐκ ἄρα ὀρθῶς ἔχει λέγειν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς· ἀλλ' ἵνα μὲν αἰδώς, ἔνθα καὶ δέος, οὐ μέντοι γε ἵνα γε δέος, πανταχοῦ αἰδώς· ἐπὶ πλέον γὰρ οἶμαι δέος αἰδοῦς· μόριον γὰρ αἰδὼς δέους, ὥσπερ ἀριθμοῦ περιττόν, ὥστε οὐχ ἵνα περ ἀριθμός, ἔνθα καὶ περιττόν, ἵνα δὲ περιττόν, ἔνθα καὶ ἀριθμός.*

CAPVT XXXII.

ΠΕΡΙ ΑΝΑΙΔΕΙΑΣ.

1 (32, 5 Mein.) *Εὐριπίδου Μηδείᾳ* (469—472).

Οὔ τοι θράσος τόδ' ἐστίν, οὐδ' εὐτολμία,
φίλους κακῶς δράσαντ' ἐναντίον βλέπειν·
ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
πασῶν, ἀναίδει'. εὖ δ' ἐποίησας μολών.

---

1 *ἔνθα* L S Plat.: *ἐνθάδε* M ‖ **3** *δεδιότες* L, om. ceteri fortasse recte; tacite ex Platone addidit Gesn.[1] p. 210, inde vulg. ‖ **4** *μὲν* pro *δὲ* L ‖ **7** *πονηρίας*] *ν* vel *σ* ex *ν* L ‖ **9** *ἔνθα* S Plat.: *ἐνθάδε* M ‖ **9** et **10** *αἰδὼς* sed *ὼ* ex *ῶ* corr. M[1] ‖ **10** *γε ἵνα γε* S Platonis E: *ἵνα γε* M L Platonis B D e *γε ἵνα* Platonis C

Caput XXXII offerunt S M L, duas eclogas etiam Br, titulum sic ut Photius S M Br: numerum *λβ'* addit M, *κζ'* S. dispositionem repraesentavi codicis L propter eclogas nonnullas ab hoc solo asservatas ‖ **16** ecl. hab. L (in initio capitis) S M (post ecl. 32, 4 Mein.); *ευρι* $^{\pi\delta}$*μη* S *εὐρ. μηδεία* M *Εὐριπίδου* (*Ἐ* rubr.) compendiose nec plura L. versus duos priores afferunt Herodian. *περὶ ἀκυρολ.* in Boiss. an. gr. III p. 268, Etym. Gud. p. 255 ‖ **18** *φίλοις* M ‖ **20** *ἀναίδεια* S M | *μολών* Eur.: *μολων* sine acc. S *μολῶν* M Eur. non nulli *μόλων* compend. L

2 (deest Mein.: trag. fr. adesp. 556 N.[2])

Αἰδὼς ἀπώλεσ᾽ αὐτόν, ἐρρέτω κακή·
πολλὴν γὰρ αὐτὴν δειλὸς ὢν ἐκτήσατο.

3 (deest Mein.: Eur. fr. 285 N.[2])

* * *

κἀγὼ μετ᾽ ἀνδρῶν ἡνίκ᾽ εὐτύχουν βίῳ.

4 (deest Mein.: trag. fr. adesp. 557 N.[2])

Τοῖς γὰρ κακῶς πράσσουσιν οἱ σεμνοὶ λόγοι
κόσμον μὲν ἂν δοίησαν· ἡ δ᾽ εὐπραξία
ξὺν τοῖς ἀναισχύντοισιν ὥρισται βροτῶν.

5 (deest Mein.: trag. fr. adesp. 558 N.[2])

Ὦ παῖ, τὸ δεῖσθαι τῶν πέλας θνητοῖς μέγα
διδασκαλεῖον τῆς ἀναιδείας ἔφυ.

---

1 ecl. sine lemm. hab. L (post ecl. 32, 5 Mein.), om. S M. Euripidis ecloga cum non solum antecedat sed etiam insequatur, secundum Laurentiani consuetudinem Euripidi vindicavi etiam mediam probante Nauckio. et *ἐρρέτω* sic saepius Euripides (Phoen. 625 Androm. 1194), de *ἐκτήσατο* clausula monui supra 29, 31 ‖ **4** ecl. sine lemm. (vel potius poetae nomine non iterato, fabulae non addito) L, om. S M. ante versum *κἀγὼ κτέ.* indicavi lacunam. rectius esset, si versus ex Bellerophonte petitos quos admodum in deliciis habuit gnomologus (vide quae de Stobaeo communicavi cum Nauckio), in contextum reciperemus. sic demum intellegitur quo pacto locum habere potuerit versus *κἀγὼ κτέ.* in capite *περὶ ἀναιδείας*. sunt enim versus hi *Ὅστις δὲ γαῦρον σπέρμα γενναιόν τ᾽ ἔχων Βίου σπανίζει, τῷ γένει μὲν εὐτυχεῖ, Πενίᾳ δ᾽ ἐλάσσων ἐστίν, ἐν δ᾽ ἀλγύνεται Φρονῶν, ὑπ᾽ αἰδοῦς δ᾽ ἔργ᾽ ἀπωθεῖται χερῶν· Ὁ δ᾽ οὐδὲν οὐδείς, διὰ τέλους δὲ δυστυχῶν Τοσῷδε νικᾷ· τοῦ γὰρ εὖ τητώμενος Οὐκ οἶδεν, ἀεὶ δυστυχῶν κακῶς τ᾽ ἔχων. Οὕτως ἄμεινον μὴ πεπειρᾶσθαι καλῶν. Ἐκεῖνο γὰρ μεμνήμεθ᾽· οἷος ἦν ποτε Κἀγὼ μετ᾽ ἀνδρῶν ἡνίκ᾽ εὐτύχουν βίῳ* ‖ **6** recurrit cum compluribus aliis (*ὁ δ᾽ οὐδὲν οὐδείς κτέ.*) post flor. 97, 9 Mein. (*Εὐρ. Βελλεροφόντῃ*) ubi *ποτέ* ex versu praegresso pro *βίῳ* ‖ **7** ecl. sine lemmate cum versu priore coniunctam hab. L, om. S M, separavit Nauck ‖ **9** *ἂν δοίησαν* ut tamen malit *ἂν διδοῖεν* Nauck: *ἐνδοίησαν* L ‖ **10** *ᾤκισται* ci. Nauck | *βροτῶν* L, testantur Vitelli et R. Schoell, monitum volo propter Nauckium qui *βίου* codici tribuere videtur et nuperrime coniecit *ᾠκίσθαι φιλεῖ* ‖ **11** ecl. sine lemm. hab. L, om. S M ‖ **13** *διδασκαλία* (superscr. *εῖον*) (sic) L

6 (deest Mein.) *Ὁμήρου* (Il. XXIV 44—45).

Ὣς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδὼς
γίνεται, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν.

7 (deest Mein.)* *ωκειῶν.*

Αἰδώς τοι ξυνετοῖσιν ἐπὶ βλεφάροισι κάθηται,
ὕβρις δ' ἀξυνέτοισι· σοφὸς δέ κε τοῦτο δαείη.

8 (32, 4 Mein.) *Θεόγνιδος* (647—648).

Ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν,
αὐτὰρ ἀναιδείη γαῖαν ἐπέρχεθ' ὁμῶς.

9 (32, 1 Mein.) *Μενάνδρου* (fab. inc. fr. 287 com. IV p. 294).

Ἀπερυθριᾷ πᾶς, ἐρυθριᾷ δ' οὐδεὶς ἔτι.

10 (32, 2 Mein.: Menandri fab. inc. fr. 173 com. IV p. 273).

Ὃς
οὔτ' ἐρυθριᾶν ἐπίσταται' οὔτε δεδιέναι,

1 ecl. hab. L, om. S M; lemma post alterum versum (ante *ωκειῶν*) offert L, traiecit Sarti ‖ 2 *Ὣς* Hom.: *Ὡς* (*Ὡ* rubr.) L | *Ἀχιλεὺς* Hom.: *Ἀχιλλεὺς* L ‖ 3 versus ex Hes. Opp. 318 in Homerum venisse visus est iam veteribus criticis, vide schol. | *γίνεται* L Hom. plerique: *γίγνεται* Hom. A L Lips. ‖ 4 ecl. cum lemm. hab. L, om. S M; ante *ωκειῶν* spatium relictum rubricatori. *ἐκ τῶν Φωκυλιδείων* ci. Bergk p. l.[4] II p. 72 ‖ 6 *καὶ* L: corr. Sarti ‖ 7 ecl. cum lemm. hab. L (post ecl. 32, 7 H.) S M (post ecl. 32, 3 Mein.) ‖ 8 *ἦ δὴ νῦν* mavult Bergk ‖ 9 *ἀτὰρ* ut videtur S | *ἐπέρχεθ' ὁμῶς* S: *ἐπιστρέφεται ἐπέρχεσθ ὅμως* M *ἐπιστρέφεται* Theogn. *ἐπιστρέφεται ὁμῶς* L. fuit tamen cum *ὁμῶς* vel *ὅμως* ortum putarem ex vocabulo *ὤμοις*, quod huc irrepere poterat ex syllogae Theognideae versibus proximis (649—652), sive quia hi olim in ipso Stobaei *περὶ ἀναιδείας* capite locum habebant sive quia legebantur in gnomologio vetustiore *Ἆ δειλὴ πενίη, τί ἐμοῖς ἐπικειμένη ὤμοις Σῶμα καταισχύνεις—κάλ' ἐπιστάμενον.* eidem versus leguntur infra flor. 96, 14 Mein. ‖ 10 ecl. cum lemm. hab. L (post ecl. 32, 4 Mein.) S M (in initio capitis) ‖ 11 *Ἀπερϋιθριᾶ* sed *ϋι* ex corr. L | *πᾶς* S L: *πῶσ* M ‖ 12 ecl. sine lemm. cum versu priore coniunctam hab. L S M: separavit Gesn.[2] p. 212 *Diphili* lemmate eclogae proximae (3 Mein.) temere huc retracto, quod fraudi fuit Meinekio com. IV p. 422 et in Stob. ed., Kockio com. II p. 579. Menandri esse locum firmatur dispositione codicis L. ad Adelphos rettulit Clericus propter Terent. Adelph. IV 5, 9 ‖ 13 *ὃς οὔτ'* L M: *ὃς δ' οὔτ'* S | *ἐπίσταται* S M *ἐπίστατ'* L: *οἶδεν* tacite scripsit Gesn.[1] p. 212 (inde vulg.), temere. exempli gratia proposuit Meineke: *ὃς δ' ⟨ὦ Πάμφιλε⟩ Οὔτ' ἐρυθριᾶν ἐπίστατ'* vel *ὃς οὖν* (aut *ὅστις οὖν*) *Οὔτ' ἐρ. ἐπ.* ci. Meineke. sed *ὃς* vel *ὃς δ'*

τὰ πρῶτα πάσης τῆς ἀναιδείας ἔχει.

11 (32, 7 Mein.) *Μενάνδρου Καρίνῃ* (fr. 2 com. IV p. 144).

Ὦ μεγίστη τῶν θεῶν
νῦν οὖσ᾽ ἀναίδει᾽, εἰ θεὸν καλεῖν σε δεῖ.
δεῖ δέ· τὸ κρατοῦν γὰρ νῦν νομίζεται θεός.
ἐφ᾽ ὅσον βαδίζεις, ἐφ᾽ ὅσον ἥξειν μοι δοκεῖς.

12 (32, 3 Mein.) *Διφίλου* (fr. 29 com. IV p. 425).

Οὐκ ἔστ᾽ ἀναιδοῦς ζῷον εὐθαρσέστερον.

13 (32, 3ª Mein.: trag. fr. adesp. 528 N.²)

Κακὴ γὰρ αἰδὼς ἔνθα τἀναιδὲς κρατεῖ.

14 (32, 6 Mein.) *Θεοδέκτου* (fr. 12 p. 805 N.²).

Ἅπαντ᾽ ἐν ἀνθρώποισι γηράσκειν ἔφυ
καὶ πρὸς τελευτὴν ἔρχεται τακτοῦ χρόνου,
πλήν, ὡς ἔοικε, τῆς ἀναιδείας μόνον.
αὕτη δ᾽ ὅσῳπερ αὔξεται θνητῶν γένος,
τοσῷδε μείζων γίγνεται καθ᾽ ἡμέραν.

15 (32, 8 Mein.) *Ἡροδότου ἱστορίας α′* (I 8).

---

a poeta alienum esse vidit Buecheler. gnomologi si est, sufficiet in extremo versu collocasse | *οὔτε* S M: *εὔτε* L

1 *ἀναιδείας* L M: *ἀναιδείης* S ‖ **2** ecl. hab. lemmate non iterato L (post ecl. 32, 2 Mein.), addito lemmate S M (post ecl. 32, 6 Mein.); *Καρίνῃ* Meineke: *καρίνη* S M ‖ **3** *Ἡ μεγίστη* (*Ἡ* rubr.) L ‖ **4** *οὖσα ἀναίδεια* fere libri ‖ **5** *κρατοῦν* S M: *κρατεῖν* L. respicit Artemid. onirocr. II 36 *ὀρθῶς τοῦτο τὸ παλαιὸν ἔχει ʽτὸ κρατοῦν δύναμιν ἔχει θεοῦ᾽* et 69 *εἶτα βασιλεῖς καὶ ἄρχονται· τὸ κρατοῦν γὰρ πᾶν δ. ἔχει θεοῦ.* hoc immerito praeoptari ab Hirschigio et Cobeto bene exposuit Meineke v. II p. V ‖ **6** *δοκεῖ* L ‖ **7** ecl. cum lemm. hab. L (post ecl. 32, 7 Mein.) S M (post ecl. 32, 2 Mein.); *Διφύλου* M ‖ **8** *ἔστ᾽* (sic ut correxit Meineke) L *ἔστιν* S M | *ζῷον* ex *ζώων* corr. L ‖ **9** ecl. sine lemmate cum praegresso versu iunctam hab. L S M, separavit Meineke ‖ **10** *κακὸν* Herwerden | *γ᾽ ἀναιδὲς* libri: corr. Valckenaer ad Eur. Hipp. 385 ‖ **11** ecl. cum lemm. hab. L (post ecl. 32, 3 Mein.) S M (post ecl. 32, 5 Mein.), sine lemm. Br (tamquam capitis primam) ‖ **13** versum inter lineas habet S, seclusit Nauck | *τακτοῦ* Buecheler: *τὰ τοῦ* S M L Br *τὴν τοῦ* Tr., vulg. ‖ **14** *μόνης* Meineke apud Nauckium ‖ **15** *αὕτη* S *αὐτὴ* M L Br ‖ **16** *γίγνεται* libri, etiam Tr., *γίνεται* S ‖ **17** ecl. cum lemm. hab. L (post ecl. 32, 6 Mein.) S M (post ecl. 32, 7 Mein.). *ηρο*[δ] *ἱστ*[ο] *α′* (unde *ἱστοριῶν α′* non recte Meineke) S, *ἡροδότου ἱστορίας α′* M: *Ἡροδότου* (corr. rubr. ex *ῥόδοτ*[ο]) *ᾱ* nec plura L.

Ἅμα δὲ κιθῶνι ἐκδυομένῳ ἐκδύεται καὶ τὴν αἰδῶ γυνή.

16 (32, 9 Mein.) *Ξενοφῶντος ἐκ τῆς Κύρου παιδείας* (I 2, 7).

Ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἀναισχυντία· καὶ γὰρ αὕτη δοκεῖ εἶναι μεγίστη ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών.

17 (deest Mein.) *Δημοσθένους* (I § 27 p. 17).

Καὶ ἔτι ἡ τῶν πραγμάτων αἰσχύνη οὐδεμιᾶς ἐλάττων ζημίας τοῖς γε σώφροσιν.

18 (deest Mein.: Demosth. IV § 10 p. 43)

Ἐγὼ μὲν οἶμαι τοῖς ἐλευθέροις μεγίστην ἀνάγκην τὴν ὑπὸ τῶν πραγμάτων αἰσχύνην εἶναι.

19 (deest Mein.) *Θουκυδίδου* (I 84).

Πολεμικοί τε καὶ εὔβουλοι διὰ τὸ εὔκοσμον γινόμεθα, τὸ μὲν ὅτι αἰδὼς σωφροσύνης πλεῖστον μετέχει, αἰσχύνης δὲ εὐψυχία.

---

iteratur flor. 74, 36 Mein. (*Ἡροδότου*). cf. Plut. rat. aud. p. 37 D coniug. praec. p. 139 C. Clemens Alex. paed. II 10, 100 p. 230 P. (schol. ad h. l. p. 444 Dind.)

1 *κιθῶνι* L Her.: *χιτῶνι* sed tres priores litt. in ras., ut adpareat veram formam deletam esse S *κιθόνη* M; *χιτῶνι* flor. 74 | *ἐκδύεται* L S M: *συνεκδύεται* flor. 74, Her. || **2** ecl. cum lemm. hab. L S M (post ecl. 32, 8 Mein.), sine lemm. Br (post ecl. 32, 6 Mein.); pro lemmate nihil nisi *Ξενοφῶντος παι*[δ] L, Xenophontis nom. om. S. leguntur verba in ampliore tmemate II 46, 22 p. 264, 2 Wachsm. (*Ξενοφῶντος Κύρου παιδείᾳ*), item infra flor. 44, 23 Mein. (*Ξενοφῶντος ἐκ τῆς Κύρου παιδείας*) || **4** *ἀχρηστίᾳ* L | *ἀναισχυντία* sine articulo L S M Br et sic libri ecl. II p. 264 Wachsm. et flor. 44, 23: *ἡ ἀναισχυντία* Xen. || **5** *αυτη δοκεῖ εἶναι μεγίστη* S M, ecl. II p. 264 flor. 44, 23 *αὕτη δοκεῖ εἶναι* (om. *μεγίστη*) L Br: *αὕτη μεγίστη δοκεῖ εἶναι* Xen. | *πάντα* om. L || **7** ecl. cum lemm. hab. L (post ecl. 32, 9 Mein.), om. S M || **8** *καὶ πρόσεσθ' ἡ ὕβρις καὶ ἔθ' ἡ τῶν πρ.* Demosth. | *οὐδὲ μιᾶς* L | *ἐλάττων* Demosth.: *ἐλάττω* L || **9** *ζημίας* L Demosthenis S: *ζημία* Demosth. || **10** ecl. hab. lemmate non iterato L, om. S M || **11** *ἐγὼ μὲν γὰρ οἶμαι* Demosth. | *τὴν ὑπὸ τῶν πρ.* L: *τὴν ὑπὲρ τῶν πρ.* Demosth.; *τὴν τῶν πραγμάτων* ex schol. p. 150, 7 Blass comment. crit. p. XLII || **13** ecl. cum lemm. hab. L, om. S M || **14** *πολεμικοί τε* Thuc.: *πολέμιοί* (*π* rubr.) *τε* L. *τὲ* particulam cum superioribus cohaerere voluit Thucydides, cum insequenti *καὶ* gnomologus | *γιγνόμεθα* Thuc. || **15** *τομὲν* L

CAPVT XXXIII.

ΠΕΡΙ ΣΙΓΗΣ.

1 *Καρκίνου* (fr. 7 p. 800 N.²).
Πολλοῖς γὰρ ἀνθρώποισι φάρμακον κακῶν
σιγή, μάλιστα δ' ἐστὶ σώφρονος τρόπου.
1ª (deest Mein.: Soph. Ai. 293)
Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
2 *Μενάνδρου* (fab. inc. fr. 288 com. IV p. 294).
Οὐθὲν σιωπῆς ἔστι χρησιμώτερον.
3 *Σοφοκλέους Ἀλεάδαις* (fr. 78 N.²).
Ὦ παῖ, σιώπα· πόλλ' ἔχει σιγὴ καλά.
4 *Χάρητος* (fr. 2 p. 826 N.²).
Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν,

Caput XXXIII exstat in S M, eclogae non nullae in Br Mac. Chrys. titulum *περὶ σιγῆς* quem reposui offerunt Photius M Br Mac. (sed *σιωπῆς* superscr. Mac. m. rec. Br²), *περὶ σιωπῆς* S Tr. p. 175, inde vulg. numerum addunt S M Mac., sed *κη'* S ‖ **3** ecl. cum lemm. hab. S M tamquam primam capitis, sine lemm. Br post ecl. 33, 3 ‖ **4** *Πολλῶν* recte Nauck | *κακῶν* S Br: *κακὸν* M ‖ **6** ecl. hab. Br post ecl. 33, 1 Mein., om. S M. iteratur cum versu qui apud Sophoclem praecedit infra flor. 85, 1 Mein. (*Σοφ. Αἴαντι*). nostrum habet Apostol. cent. V 78 a. aliorum testimonia, inter quos est Aristoteles polit. I 13, vide apud Lobeckium. cf. etiam Wachsmuth ad apophth. Vind. 173 ‖ **7** *γυναικὶ* Arist. ‖ **8** ecl. cum lemm. hab. S M (post ecl. 33, 1) Mac. Chrys. (tamquam capitis primam). legitur versus inter monostichos, vide Meyer *Vrbin. samml.* p. 442. v. *σιωπῆς εὐκαίρου χρησιμώτερον οὐδὲν* reperiuntur floril. Schenkel. (*Wien. stud.* XI p. 32) 112 ‖ **9** *οὐδὲν* Mac. ‖ **10** ecl. cum lemm. hab. S M (post ecl. 33, 2 Mein.) Br (tamquam capitis primam); *Ἀλεάδαις* Meineke: *αἰλέασι* M quod omittunt S Br. *Μενάνδρου ἢ παραίνεσις* Apostolius cent. XVIII 62 a, sed pendet a Tr. p. 175 ubi lemmate omisso adfertur tamquam altera Menandrea post ecl. 33, 2. hinc deceptus est Meineke com. IV p. 280. omisso poetae nom. legitur apud Plutarchum de garrulitate p. 502 E ‖ **11** *σιγὴ* M Br Plut.: *σιωπὴ* S ‖ **12** ecl. cum lemm. hab. S M. de Charete dubitans Crateti versus adsignat Bergk p. l.⁴ II p. 372. recepta ecloga est in corp. Par. 478 Elt. (*Χάρητος*). versus primus inter Menandri monosticha relatus est 80, cf. Meyer *Vrbin. samml.* p. 423 ‖ **13** *πανταχῇ* Men. mon.

ὃ καὶ γέροντι καὶ νέῳ τιμὴν φέρει,
ἡ γλῶσσα σιγὴν καιρίαν κεκτημένη.

5 *Ἀθηνοδώρου* (Ps.-Plut. apophth. reg. et duc. p. 207 C).

Ἔστι καὶ τὸ σιγᾶν ἀκίνδυνον γέρας.

6 *Ἄμφιδος* (fab. inc. fr. 9 com. III p. 319).

Οὐκ ἔστι κρεῖττον τοῦ σιωπᾶν οὐδὲ ἕν.

7 *Φιλωνίδου* (com. II 1 p. 425).

Κρεῖττον σιωπᾶν ἐστιν ἢ λαλεῖν μάτην.

8 *Κλεάνθους.*

Σιωπῶντος τοῦ Κλεάνθους, ἐπεί τις ἔφη ‛τί σιγᾷς; καὶ μὴν ἡδὺ τοῖς φίλοις ὁμιλεῖν᾿, ‛ἡδύ᾿ ἔφη ‛ἀλλ᾿ ὅσῳ ἥδιον, τοσῷδε μᾶλλον αὐτοῦ τοῖς φίλοις παραχωρητέον᾿.

9 *Πλουτάρχου ἐκ τοῦ Πῶς ἔστιν ἀπὸ ἐχθρῶν ὠφεληθῆναι* (p. 90 B).

Ἄνευ δὲ τούτου τὴν περὶ τὴν γλῶτταν ἐγκράτειαν, οὐ

---

1 *ὃ καὶ* SM: *ὃ δὲ* corp. Par. *ὡς καὶ* ci. Nauck, *καὶ γὰρ* ego dubitanter ‖ **2** versum interpolatori tribuit F. G. Schmidt *krit. stud.* III p. 27. probabilior est sententia Buecheleri, qui plenius post *φέρει* distinguens proximae eclogae initium putat interceptum esse ‖ **3** ecl. cum lemm. hab. SM; de cod. Phot. vide Elteri diss. p. 50. poetae Cei esse versum testatur Aristides II p. 192, ubi schol. III p. 501: *τὸ δὲ σιωπῆς ἀκ. γ. ἐκ Σιμωνίδους ἐστὶ τοῦ Κίου* (Simonid. fr. 66 B.). lemma *Ἀθηνοδώρου* temeritatis eclogariae est exemplum memorabile. fontem erroris aperit Ps.-Plut. l. c. p. 207 C, ubi hoc versu usus Augustus dicitur Athenodorum apud se retinuisse: *καὶ κατέσχεν αὐτον ὅλον ἐνιαυτὸν εἰπὼν ὅτι ἐστὶ καὶ σιγῆς ἀκίνδυνον γέρας.* fere in proverbium abiit versus, respiciunt multi, quorum locos indicarunt Leutsch in Apostol. cent. VII 97 Bergk p. l.[4] III p. 418 ‖ **4** *τὸ* quo metrum destruitur rectius om. Plut. alii | *σιγῆς* S *σιγᾶν* M (et sic epigr. *1137 Kaib.), et fortasse indicio articulus est *σιγᾶν* scripsisse gnomologum. *σιγᾶς* dederat poeta ‖ **5** ecl. cum lemm. hab. S M ‖ **6** *οὐδὲ ἕν* S: *οὐδέν* M ‖ **7** ecl. cum lemm. hab. S M. recurrit versus corp. Par. 678 Elt. (*Φιλονίδου* sic); Men. monost. 290. cf. monost. 484 ‖ **8** *κρεῖττον* S M monost. 290: *κρεῖσσον* corp. Par. ‖ **9** ecl. cum lemm. hab. S M ‖ **11** *ὅσῳ* S M: *ὅσον* Tr. p. 175, inde vulg. ‖ **12** *αὐτοῦ* M Tr.: *αὑτοῦ* S ‖ **13** ecl. lemmate compend. addito hab. M, om. S ‖ **15** *τούτου* tacite ex Plut. Gesn.[2], inde vulg.: *τοῦ* M | *τὴν περὶ τὴν* tacite Gesn.[2]: *τὴν περιττὴν* M; *τὴν περὶ* libri Plut. | *γλῶτταν* M Plut.; *γλῶσσαν* Gesn.[2], inde vulg.

μικρὸν ἀρετῆς μέρος οὖσαν, ὑπήκοον ἀεὶ τῷ λογισμῷ καὶ πειθήνιον ἔχειν ***

10 *Ζήνωνος.*

Ζήνων Ἀντιγόνου πρέσβεις Ἀθήναζε πέμψαντος, κληθεὶς ὑπ' αὐτῶν σὺν ἄλλοις φιλοσόφοις ἐπὶ δεῖπνον, κἀκείνων παρὰ πότον σπευδόντων ἐπιδείκνυσθαι τὴν αὑτῶν ἕξιν, αὐτὸς ἐσίγα. τῶν δὲ πρέσβεων ζητούντων τί ἀπαγγείλωσι περὶ αὐτοῦ πρὸς Ἀντίγονον ʽτοῦτ' αὐτό' ἔφη ʽὃ βλέπετε' δυσκρατέστατον γὰρ πάντων ὁ λόγος.

11 *Ξενοκράτους.*

Ξενοκράτης διαιρῶν ἕκαστον μέρος τῆς ἡμέρας εἰς πρᾶξίν τινα καὶ τῇ σιωπῇ μέρος ἀπένεμεν.

12 *Σιμωνίδου* (Plut. de tuenda sanit. p. 125 D).

Σιμωνίδης ἔλεγε μηδέποτε αὐτῷ μεταμελῆσαι σιγήσαντι, φθεγξαμένῳ δὲ πολλάκις.

---

1 *ἀεὶ* tacite ex Plut. Gesn.², inde vulg.: *δὴ* M ‖ **2** post *ἔχειν* lacunam signavi: *οὐκ ἔστιν* (*οὐκ ἔνεστιν* Hercher), *ἂν μή τις ἀσκήσει καὶ μελέτῃ καὶ φιλοπονίᾳ τὰ κάκιστα τῶν παθῶν, οἷόν ἐστιν ἡ ὀργή, κατεργάσηται* tacite ex Plut. supplevit Gesn.², inde vulg. ‖ **3** ecl. sine lemm. hab. S Br, addito lemm. M, sed post 1ᵃ Br. cf. Plut. de garrul. p. 504 A Diog. Laert. VII 24 ‖ **4** *πέμψαντος*, sed *ψ* ex *π* ut videtur corr. M¹ ‖ **8** *τοῦτο* M Br | eclogae 10 solus Br subicit haec sine lemmate: *ξένοι βασιλέως ἐν συμποσίῳ φιλοφρονούμενοι Ζήνωνα προπιόντες αὐτῷ ἠρώτων ἡσυχίαν ἄγοντα ʽπερὶ σοῦ δὲ τί* (*δέ τι* cod.) *χρὴ λέγειν τῷ βασιλεῖ;' κἀκεῖνος ʽἄλλο μηδὲν ἢ ὅτι πρεσβύτης ἐστὶν* (*ἐστιν* sine acc. cod.) *ἐν Ἀθήναις παρὰ πότον σιωπᾶν δυνάμενος'* ex Plutarcho nimirum derivata. cf. Maxim. c. 20 p. 596 Combef. ‖ **10** ecl. hab. S M (post ecl. 33, 10) Br (post eclogam ad 33, 10 indicatam) Mac. Chrys. (post ecl. 33, 2). lemma recepi ex M, om. S Br Mac. recurrit corp. Par. 515 Elt. (ʽ*Ξενοκράτους* exstabat, sed abluisse videtur cod. Par. 1168' Elter). cf. Laert. IV 11 ‖ **12** *τῇ* om. Mac. | *τὴν σιωπην* corp. Par. | *ἀπενέμε(ν)* libri Stob. *ἀπένειμεν* corp. Par. cf. Laert. *καὶ ὥραν μίαν, φασίν, ἀπένεμε σιωπῇ* ‖ **13** ecl. sine lemm. hab. S Br Mac. Chrys., addito lemm. M. recurrit Anton. I c. 73 p. 74 (*Σιμωνίδου*) Maxim. c. 20 p. 598 Combef. (male *Δημοσθ.* sed post Simonid.). cf. Plut. de garrul. p. 515 A de liberis educ. p. 10 F. temere Apollonio (cf. ecl. prox.) tribuit Kayser post Philostr. (Turici a. 1844) p. 56, unde idem error apud Hercherum ‖ **14** *ἔλεγε μηδέποτε αὐτῶ* S M Br Mac. Plut.: *μηδέποτε μὲν αὐτῷ ἔλεγε* Ant. *μηδέποτε ἑαυτῷ ἔλεγε* Max. | *αὑτῷ* pro *αὐτῷ*

13 *Ἀπολλώνιος τοῖς γνωρίμοις* (deest edit. Hercher.).

Πολλὴν ἐπιμέλειαν ποιεῖσθε περὶ τοῦ μὴ λέγειν ἃ μὴ δεῖ. παντελῶς γὰρ ἀπαιδεύτου τινός ἐστι τὸ μὴ δύνασθαι σιωπᾶν, ἀλλ᾽ ἐκλαλεῖν τὰ μὴ καλῶς ἔχοντα.

14 *Διογένους.*

Διογένης πρὸς τὸν φιλόσοφον εἶναι φήσαντα, ἐρωτῶντα δὲ ἐριστικῶς 'κακόδαιμον' ἔφη 'τὸ βέλτιστον τῶν ἐν τῷ βίῳ τοῦ φιλοσόφου λυμαινόμενος τῷ λόγῳ φιλοσοφεῖν φῄς'.

15 *Θεοκρίτου.*

Θεόκριτος ἐρωτηθεὶς ὑπὸ ἀδολέσχου ὅπου αὐτὸν αὔριον ὄψοιτο, 'ὅπου' ἔφη 'ἐγὼ σὲ οὐκ ὄψομαι'.

16 (33, 17 Mein.) *Πλουτάρχου* (fr. XXXIV 1).

Περὶ τῆς καθ᾽ Ὅμηρον ἐχεμυθίας διὰ τούτων σαφῶς δείκνυται. λέγει γὰρ

Θερσῖτ᾽ ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητὴς
ἴσχεο μηδ᾽ ἔθελ᾽ οἶος ἐριζέμεναι βασιλῆι.

καὶ τοῦ Τηλεμάχου εἰπόντος

ἦ μάλα τις θεῶν ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν

ἐπιλαμβανόμενος ὁ πατὴρ ἔφη

σίγα καὶ κατὰ σὸν νόον ἴσχανε μηδ᾽ ἐρέεινε·
αὕτη τοι δίκη ἐστὶ θεῶν οἳ Ὄλυμπον ἔχουσι.

τοῦτο ἐκσίγησιν οἱ Πυθαγορικοὶ καλοῦντες οὐδὲν ἀπεκρί-

---

tacite Meineke. post eclogam 12 praecepit ecl. 36, 25 (sine lemm.) Br
1 ecl. cum lemm. hab. SM; lemma compend. S. iteratur ecloga et lemma *Ἀπολλωνίου* corp. Par. 679 Elt. || **2** *ποιεῖσθε* (ut coniecit Meineke v. IV p. LXIV) S: *ποιεῖσθαι* M Tr. p. 175 corp. Par. || **4** *ἀλλ᾽* S: *ἀλλὰ* M corp. Par. || **5** ecl. sine lemm. hab. S, addito lemm. M, om. A || **7** *κακόδαιμον* (sine acc. M) *ἔφη* M Tr.: *κακόδαιμον ὢν ἔφη* S dittographia ut videtur, nisi praeoptes *κακοδαιμονῶν* cum Buechelero || **10** ecl. sine lemm. hab. S, addito lemm. M; sine lemm. etiam Mac. Chrys. sed post ecl. 35, 1 || **11** *ὅπου* M || **13** ecl. cum lemm. hab. S post ecl. 15, Tr. p. 176 post ecl. 16 Mein. (inde vulg.), om. M A. ex parte concordat cum Ps.-Plut. vit. Hom. c. 149, vide Diels dox. p. 97 sqq. || **14** *διὰ τούτων* compend. S: *διὰ τούτου* Tr., inde vulg. || **15** Il. II 246 sq. || **17** *βασιλῆι* S *βασιλεῦσιν* Hom. || **19** Od. XIX 40 | *θεῶν* S *θεὸς* Hom. || **21** Od. XIX 42 sq. || **23** *ἐκσίγησιν* Gomperz *Wien. stud.* II p. 12 coll. Eustath. Od. XXIV 485 p. 1968, 25 opusc. p. 95, 18: *ἐξήγησιν* S

νοντο τοῖς περὶ θεῶν ὅ τι τύχοιεν ἰταμῶς καὶ εὐχερῶς ἐρωτῶσιν.

17 (33, 16 Mein.) *Δημοσθένους* (?).

Μὴ νομίσητέ με, ὦ Ἀθηναῖοι, ἀγνοεῖν, ὅτι ἀσφαλὲς τὸ σιγᾶν ἐστι.

CAPVT XXXIV.

ΠΕΡΙ ΤΟΥ ΕΥΚΑΙΡΩΣ ΛΕΓΕΙΝ.

1 *Διονυσίου* (fr. 6 p. 795 N.²).

Ἢ λέγε τι σιγῆς κρεῖττον ἢ σιγὴν ἔχε.

2 *Εὐριπίδου Ἀρχελάῳ* (fr. 253 N.²).

Ἁπλοῦς ὁ μῦθος, μὴ λέγ' εὖ· τὸ γὰρ λέγειν
εὖ δεινόν ἐστιν, εἰ φέροι τινὰ βλάβην.

3 *Εὐριπίδου Αἰγέως* (fr. 5 N.²).

---

1 *τοῖς* (ut coniecit Wyttenbach) S: *τῶν* Tr., inde vulg. | *ὅ τι* Wyttenbach: *ὅτε* S | *εὐχερῶς* S: *δυσχερῶς* operarius ap. Gesn.² p. 214, inde vulg. ‖ **3** ecl. sine lemm. hab. S (post ecl. 17 Mein.), addito lemm. M Tr. (post ecl. 15), sed M omissa ecl. 17 Mein.; *δημοσθένουσ* M, *δίωνος* Tr., unde vulg. lemma *δίωνος* male huc retractum ex prima ecloga capitis proximi, ubi $δι^{o}$, i. e. *διονυσίου* S ‖ **4** $\overset{ΘΘ}{ω}$ S *ὦ ἀθηναῖοι* Tr.: *ὦ θεοὶ* compendio male explicato M; malim *ὦ ἄνδρες Ἀθηναῖοι*, cf. p. 323, 16 adn.

Caput XXXIV est in SM, paucae eclogae in Br Mac. Chrys. titulum habent omnes sic ut Photius, numerum S M Mac., sed *κθ'* S. ab ecloga 14 rursus incipit A ‖ **8** ecl. cum lemm. hab. S M Mac., sine lemm. Br; $δι^{o}$ S *διονυσίου* M Mac.: *Εὐριπίδου* (ex prox. ecl.) Tr., inde vulg. quam male secutus est etiam Meineke. iteratur versus et lemma *Διονυσίου* corp. Par. 682 Elt. relatus est inter Men. mon. 208, inter paroemias Mac. cent. IV 44, Greg. Cypr. Mosq. cent. III 61, prov. app. cent. III 7 ‖ **9** *κρεῖττον* S M Br corp. Par. et reliqui testes. quod in Stobaeo ferendum ‖ **10** ecl. cum lemm. hab. S M. iterat eclogam et lemma *Εὐριπίδ⟨ου⟩* corp. Par. 683 Elt. sine lemmate supra leguntur versus III 13, 9 ‖ **11** *μὴ λέγ' εὖ* quod coniectura reppererat Valckenaer diatr. p. 256 flor. 13 ut videtur: *μὴ λέγε* S M corp. Par. ‖ **12** *φέροι* SM corp. Par.: *φέρει* flor. 13 ut coniecit Cobet coll. crit. p. 203 ‖ **13** ecl. cum lemm. hab. SM; ῐ $αυ^{τ}$ pro *Εὐρ.* S

Εἰ μὴ καθέξεις γλῶσσαν, ἔσται σοι κακά.

4 *Ἀντιφάνους* (fab. inc. fr. 46 com. III p. 149).

Οὐκ ἔστιν οὐδὲν λεγόμενον μακρῶς, ὅτε
ὁ λέγων ὑποτάττει τοῖς λόγοις τὰ πράγματα.

5 *Αἰσχύλου* (fr. 397 N.^{2}).

Πρὸ τῶν τοιούτων χρὴ λόγων δάκνειν στόμα.

6 *Ἐκ τοῦ Ἰσοκράτους πρὸς Δημόνικον* (§ 41 p. 11b).

Δύο ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων, ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾶν ἢ λέγειν.

7 *Πυθαγόρου.*

Ἔλεγεν ὁ Πυθαγόρας ‘χρὴ σιγᾶν ἢ κρείσσονα σιγῆς λέγειν’.

8 *Τοῦ αὐτοῦ.*

Ἢ σιγὴν καίριον ἢ λόγον ὠφέλιμον ἔχε.

9 *Σόλωνος.*

---

1 *καθέξεις* Porson adv. p. 274: *καθέξῃς* S M | *ἔσται* tacite ed. Wechel. p. 389: *ἔστι* S M ‖ **2** ecl. cum lemm. hab. S M; *ἀντιφ*$^{\alpha}$ perspicue S *ἀντιφάνουσ* M: *Ἀντιλόχου* Tr. ‖ **3. 4** *ὅτε ὁ* S *ὅτ' ὁ* (sic) ex *ὅτε* ut videtur corr. M^2 ‖ **4** *ὑποτάττει* S: *ὑποτάττοι* M; *ὅταν Ὁ λ. ὑποτάττῃ* malit Meineke | *τοὺς λόγους τοῖς πράγμασιν* ci. Kock com. II p. 123. intellego *ὑποτάττει τοῖς λ. τὰ πράγματα* tamquam *κρηπῖδα* ‖ **5** ecl. cum lemm. hab. S M ‖ **7** ecl. hab. S M (post ecl. 34, 5) Br Mac. Chrys. (post ecl. 34, 1): *ἐκ τοῦ ἰσοκράτουσ πρὸς* $\overline{\xi}$ *δημόνι* M: *ἰσοκράτους* nec plura S Br Mac. iterat eclogam et lemma *Ἰσοκράτους* corp. Par. 684 Elt., eclogam Georgid. p. 25 (post Isocr.) ‖ **8** *ποιοῦ καιροὺς* S M Br Mac. corp. Par. Is. Georg.: *καιροὺς ποιοῦ* Tr., inde vulg. | *σαφῶς* om. Georgid. ‖ **10** *σιγῆς* S M Br Mac. corp. Par. Is. Georg.: *σιωπῆς* Tr., inde vulg. ‖ **12** ecl. cum lemm. hab. S, om. M. iterat eclogam et lemma corp. Par. 685 Elt. cf. mantiss. proverb. cent. III 46 (paroemiogr. gr. II p. 779); gnomol. Vatic. 459 ‖ **15** ecl. hab. S M; *τ̃ αυ*$^{\tau}$ (quod praetervidit Gaisford) S *πυθαγόρου* M. cf. floril. Schenkelii (*Wien. stud.* XI p. 20) 59: *Ἢ σιγὴν καίριον ἔχειν δεῖ ἢ λόγον ὠφέλιμον* ‖ **17** ecl. cum lemm. hab. S M. iteratur ecloga et lemma corp. Par. 687 Elt. eadem supra legitur III 1, 172 p. 114, 8, cf. Laert.

Σφραγίζου τοὺς μὲν λόγους σιγῇ, τὴν δὲ σιγὴν καιρῷ.

10 *Αἰσχίνου* (C. Fr. Hermann. disput. de Aesch. Socrat. rel. p. 11).

Αἰσχίνης ὁ Σωκρατικὸς ἐπιπληχθείς, ὅτι Σωκράτει ἐσχολακὼς σιωπᾷ, 'οὐ γὰρ μόνον' εἶπε 'λέγειν ἔμαθον παρὰ Σωκράτει, ἀλλὰ καὶ σιωπᾶν'.

11 *Πυθαγόρου.*

Αἱρετώτερόν σοι ἔστω λίθον εἰκῇ βάλλειν, ἢ λόγον ἀργόν.

12 *Εὐριπίδου ἐν Ἀνδρομέδᾳ* (fr. 126 N².).

Σιγᾷς· σιωπὴ δ' ἄπορος ἑρμηνεὺς λόγων.

13 *Θεόγνιδος* (625—626).

Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν,
καὶ σιγᾶν αἰεί· τοῦτο γὰρ οὐ δυνατόν.

14 *Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου* (c. 33).

Τάξον τινὰ ἤδη σεαυτῷ χαρακτῆρα καὶ τύπον, ὃν

I 58 *ἔφασκέ τε σφραγίζεσθαι τὸν μὲν λόγον σιγῇ, τὴν δὲ σιγὴν καιρῷ.* ceterum vide Brunco act. sem. philol. Erlang. III p. 339

1 *σραγίζου* M ‖ **2** ecl. hab. S M (post ecl. 34, 9) Mac. Chrys. (post ecl. 34, 6); lemma om. S Mac. cf. gnomol. Vat. 207 ‖ **7** ecl. cum lemm. hab. S M Mac. iteratur ecloga lemmate non denuo signato (post ecl. 34, 7) corp. Par. 686 Elt. cf. Sext. 152 Clit. 28 Elt.; Pyth. Vind. 7 (Syr. 7) Porphyr. ad Marc. 14; cod. Vind. 199 f. 188ʳ; gnomol. Byz. 141 p. 189 Wachsm. (Pal. 109 Bar. 176 Mon. 66 Leid. 65); flor. Laur. p. 241, 11 Mein., Nili sent. 2 p. 320 Or. et quae adnotarunt Elter Schenkl Wachsmuth ‖ 8 *βαλεῖν* (*βάλεῖν* Mac.) Mac. corp. Par. ‖ **10** ecl. hab. S M; *εὐρι^{πδ} ἐν ἀνδρομε^{δ}* S *εὐρ. ἐν ἀνδρομέδα* M quod recepi; *Εὐρ. Ἀνδρομέδας* temere Gaisford. fabularum series *Ἀρχελάῳ* (2) *Αἰγέως* (3) *ἐν Ἀνδρομέδᾳ* (12) indicium est alphabetici gnomologii manifestum ‖ **11** *λόγον* M ‖ **12** ecl. cum lemm. hab. S M. prior versus legitur poetae n. non addito Diogenian. cent. II 90, Gregor. Cypr. cent. I 86, Apostol. cent. IV 6; Suid. v. *ἀργαλέον* (vide Bergk ad Theogn. 625) ‖ **14** *αἰεὶ* Tr. et Theogn.: *ἀεὶ* S M ‖ **15** ecl. hab. S M A; *Ἐκ τοῦ Ἐπικτήτου ἐγχειριδίου* M: *Ἐκ τῶν Ἐπικτήτου* S, inde vulg., lemma cum eclogae verbis *Τάξον τινα* — 685, 5 *περὶ ἵππων* om. A ‖ **16** *σεαυτῷ* (-*τον* M) *χαρακτῆρα* S M: *χαρακτῆρα σαυτῷ* Arr.

φυλάξεις ἐπί τε σαυτοῦ ὢν καὶ ἀνθρώποις ἐντυγχάνων. σιωπὴ τὰ πολλὰ ἔστω ἢ λαλείσθω τὰ ἀναγκαῖα καὶ δι᾽ ὀλίγων. σπανίως δέ ποτε καιροῦ καλοῦντος ἐπὶ τὸ λέγειν τι ἥξομεν, ἀλλὰ περὶ οὐδενὸς τῶν εἰκαίων, μὴ περὶ ἀθλητῶν ἢ μονομάχων ἢ περὶ ἵππων ἢ βρωμάτων ἢ πομάτων τῶν ἑκασταχοῦ, μὴ περὶ ἀνθρώπων ψέγοντα ἢ ἐπαινοῦντα ἢ συγκρίνοντα. λοιπὸν ἐκείνου ἔχου τοῦ μὴ καθιέναι εἰς ὁμιλίας ἰδιωτικάς, ἀλλὰ ἂν οἷός τε ᾖς, μέταγε τοὺς λόγους ἐπὶ τὸ προσῆκον· εἰ δὲ μή, ἀπόλειπε σιωπᾶν.

15 *Σόλωνος.*

Σόλων ἐρωτηθεὶς ὑπὸ Περιάνδρου παρὰ πότον, ἐπεὶ

---

1 *φυλάξεις* SM Arr.: *φυλάξειε* operarius Gesn.² p. 215, inde vulg. | *σαυτοῦ* SM *σεαυτοῦ* Arr. Gesn.², vulg. | *ἀνθρώποις ἐντυγχάνων* M Arr.: *ἑτέροισιν ἐντυγχάνων* S unde *ἑτέροις συντυγχάνων* non recte coniecit Meineke, nam *ἑτέροισιν* scriptum est dittographia quadam ante *ἐντ.*, per *ἑτέροις* autem variari videtur *ἀ̅ν̅οις* quod *ἄλλοις* male interpretatus est librarius pro *ἀνθρώποις*, nisi ipsi *ἀνθρώποις* fortasse adscriptum erat *ἑτέροις* ‖ **2** *καὶ σιωπὴ* Arriani plerique | *τὰ πολλὰ* S M: *τὸ πολὺ* Arr. ‖ **3** *καλοῦντος* SM: *παρακαλοῦντος* vel *παρακολουθοῦντος* libri Arr. | *τὸ* S Arr.: *τῶ* M ‖ **4** *τι* libri aliquot Arr., alii omittunt: *τί* aut *τέ* ex corr. S¹ *τί* M *τὲ* Tr. | *ἥξομεν* SM Arriani aliquot: *λέξον μὲν* Arriani alii Simpl. quod recte recepit Schweighaeuser ed. mai. | *μηδενὸς* Arr. non nulli | *εἰκαίων* SM: *τυχόντων* Arr. | *μὴ περὶ ἀθλητῶν* — 5 *ἢ πομάτων* S M, ab *ἢ βρωμάτων* etiam A: *μὴ περὶ μονομαχιῶν, μὴ περὶ ἱπποδρομιῶν, μὴ περὶ ἀθλητῶν, μὴ περὶ βρωμάτων ἢ πομάτων* Arr.; cf. Arr. Epict. diss. III 16, 4 ‖ **5** *πωμάτων* tacite Meineke, sed vide p. 507, 10 ‖ **6** *μὴ* SMA: *μάλιστα δὲ μὴ* Arr. | *ἀνθρώπων* Arr.: *ἄνθρωπων* (sic) M¹ *ἀ̅ν̅ον* S *ἄνθρωπον* M² A | *ψέγοντα ἢ ἐπαινοῦντα ἢ συγκρίνοντα* S M A Arr. Simpl., *ψέγων ἢ ἐπαινῶν ἢ συγκρίνων* Arriani alii ‖ **7** *λοιπὸν* — 8 *ἀλλὰ* om. libri Arriani, cf. Arr. Epict. diss. III 16, 3 ‖ **8** post *ἂν* add. *μὲν οὖν* libri Arr. | *μετάγαγε* libri non nulli Arr. ‖ **9** *τοὺς λόγους ἐπὶ τὸ προσῆκον* S M A et sic enchiridii paraphr. (ubi *τὸν λόγον*): *τοῖς σοῖς λόγοις* (vel *τοὺς σοὺς λόγους καὶ*) *τοὺς τῶν συνόντων ἐπὶ τὸ προσῆκον* libri Arr. | *εἰ δὲ μή, ἀπόλειπε σιωπᾶν* S M A non recte: *εἰ δὲ ἐν ἀλλοφύλοις ἀποληφθεὶς* (vel *ἀπολειφθεὶς*) *τύχοις, σιώπα* libri Arr.; ʽStobaeus fortasse *εἰ δὲ* [*μὴ*] *ἀπολείπῃ, σιώπα*ʼ Buecheler ‖ **11** ecl. cum lemm. hab. S M A. simile dictum Bianti tribuit Plut. de garrul. p. 503 F, Demarato Ps.-Plut. apophth. Lacon. p. 220 A

σιωπῶν ἐτύγχανε, πότερα διὰ λόγων σπάνιν ἢ διὰ μωρίαν σιωπᾷ, 'ἀλλ' οὐδεὶς ἄν' εἶπε 'μωρὸς σιωπᾶν ἐν συμποσίῳ δύναιτο'.

16 Ἐκ τῶν Δίωνος Χρειῶν.

Τῶν συνόντων τις μειρακίων Διογένει, ἐρωτώμενος ὑπ' αὐτοῦ ἐσιώπα· ὁ δὲ ἔφη 'οὐκ οἴει τοῦ αὐτοῦ εἶναι εἰδέναι τε ἃ λεκτέον καὶ πότε, καὶ τίνα σιωπητέον, καὶ πρὸς τίνα;

17 Κλεοστράτου.

Κλεόστρατος πρὸς τὸν εἰπόντα 'οὐκ αἰσχύνῃ μεθύων;' 'σὺ δὲ οὐκ αἰσχύνῃ' ἔφη 'μεθύοντα νουθετῶν;'

18 Σωκράτους.

Τῷ γελοίῳ καθάπερ ἁλὶ πεφεισμένως δεῖ χρῆσθαι.

19 Ἀναξάρχου.

Πολυμαθίη κάρτα μὲν ὠφελέει, κάρτα δὲ βλάπτει τὸν ἔχοντα. ὠφελέει μὲν τὸν δεξιὸν ἄνδρα, βλάπτει δὲ τὸν

---

